182
M
32

317 ~~474~~

BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Est. 1 Caj. 2 Núm. 1.

BIBLIOTECA UNIVERSITARIA DE SALAMANCA

M
32

# Cathena Graecorum Patru

De la Libreria del Collegio Real de la Comp.a de Jhs de Salamanca

De la Comp.a de Jhs de Sala

Cathena in Beat. Job diuersorum ex antiquis patribus, ut Dionisio Areopagita. Origene. Gregorio Theologo. Basilio cæsariense. Jon. Chrysostomo. Gregorio Nysseno. Cyrillo Alexandrino. Theodori Mompsiestias. Theophilo Alexandrino. Seuero Antiocheno. Clemente. Methodio. Juliano. Apolinario. Olimpiodoro diacono. Euagrio, & alijs. Sunt etiã uerba sacræ scripturæ, & eius uariæ lectiones, & quædam protheoriæ

# ΙΩΒ ΕΞΗΓΗΣΙΣ ΔΙΑΦΟΡΩΝ.

+

+ κεφάλαιον αον:

+

Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ αὐσίτιδι ᾧ ὄνομα — ἀ θ' ἐν γῇ οὔς.
ἰώβ:· ἑρμη:· Ὀλυμπιοδώρου διακόνου:·
Ἡ χώρα ἡ αὐσῖτις χώρα ἐστὶ τοῦ ἤσαυ· ἀπὸ γὰρ ἤσαυ,
αὐσῖτις ἐκλήθη, ἤτοι ἀπὸ αὐς, ἑνὸς τῶν υἱῶν ἤσαυ·
βούλεται δὲ εἰπεῖν οἷον ἄνδρα εὕρηκεν εἰς εὐσέβειαν,
ἤτοι βεβήλου καὶ ἀθέσμου χώρας· αὕτη δὲ ἡ αὐσῖτις
ἐν ὁρίοις ἰουδαίας καὶ ἀραβίας, ὡς εὐσέβιος ἐπί-
σκοπων, οὕτω τὸν ἀρισταῖον ἐν τῷ περὶ ἰουδαίων ἐκλα-
βεῖν:· τὴν χώραν λουσιῶν, ἥτις ἑβραϊστὶ ἀοὺς κα- — αʹ
λεῖται:· κατὰ φύσιν μὲν εἷς τῶν πολλῶν· κατὰ — αʹ
ἀρετὴν δὲ πολλῶν ὑψηλότερος:· τοῦ ἁγίου ἰωάννου τοῦ
χρυσοστόμου:· Ὅρα πρῶτον ἐγκώμιον, ἄνθρω- — αʹ
πος ἦν· οὐ γὰρ δὴ μικρὸν ἐγκώμιον τοῦτο τὸ ἄνθρωπος
εἶναι φησὶν ἐν χώρᾳ τῇ αὐσίτιδι· καὶ τοῦτο μέγα ἐγκώ-
μιον· τὸ γὰρ ἐν ἀραβίᾳ εἶναι, ἔνθα πάντες διεφθαρ-
μένοι· ἔνθα ὁ μὲν ὑπόδειγμα τῆς εὐνομίας, τοῦτο
ἦν τὸ θαυμαστόν:·

# ΙΩΒ ΕΞΗΓΗΣΙΣ ΔΙΑΦΟΡΩΝ.

+

## + κεφάλαιον αον :

+

Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα — ἀβ ἐν γῇ Οὔς.
Ἰώβ :· ἑρμη :· Ὀλυμπιοδώρου διακόνου :·
Ἡ χώρα ἡ Αὐσίτις χώρα ἐστὶ τοῦ Ἠσαῦ· ἀπὸ γὰρ Ἠσαῦ,
Αὐσίτις ἐκλήθη, ἤτοι ἀπὸ Αὖς, ἑνὸς τῶν υἱῶν Ἠσαῦ·
βούλεται δὲ εἰπεῖν οἷον ἄνδρα εὕρηκεν εἰς εὐσέβειαν,
ἢ τοῦ βεβήλου καὶ ἀθέσμου χώρᾳ· αὕτη δὲ ἡ Αὐσίτις
ἐν ὁρίοις Ἰουδαίας καὶ Ἀραβίας, ὡς Εὐσέβιος φά-
σκων, οὕτω τὸν ἀρχαῖον εἶναι τῶν πρὶν Ἰουδαίων ἐκλα-
βεῖν :· Τὴν χώραν Λουσιῶν, ἥτις ἑβραϊστὶ Αὐσὺς κα- ᾱ
λεῖται :· Κατὰ φύσιν μὲν εἷς τῶν πολλῶν· κατὰ
ἀρετὴν δὲ πολλῶν ὑψηλότερος :· Τοῦ ἁγίου Ἰωάννου τοῦ ᾱ
Χρυσοστόμου :· Ὅρα πρῶτον ἐγκώμιον, ἄνθρω-
πος ἦν· οὐ γὰρ δὴ μικρὸν ἐγκώμιον τοῦτο τὸ ἀνδρὸς ᾱ
εἶναι φησὶν ἐν χώρᾳ τῇ Αὐσίτιδι· καὶ τοῦτο μέγα ἐγκώ-
μιον· τὸ γὰρ ἐν Ἀραβίᾳ εἶναι, ἔνθα πάντες διεφθαρ-
μένοι· ἔνθα οὐ μὲν ὑπόδειγμα ἦν εὐνομίας, τοῦτο
ἐστὶ τὸ θαυμαστόν :·

τὰ πρὸς ἀνθρώπους καὶ πρὸς θεὸν τέλειος:

Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος, ἀληθινός, ἄμεμπτος,
δίκαιος, εὐσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πρά-
γματος. ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς:
τοῦ ἁγίου Ἰω(άννου): ἀληθινὸς γάρ· οἱ φαῦλοι ψευδεῖς αὐτοί.
ὥσπερ οἱ ζωγραφούμενοι. τὸν θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς
αὐτοῦ φύλασσε· ὅτι τοῦτο πᾶς ἄνθρωπος, ἄμεμπτος, ἐπεὶ
δίκαιος, θεοσεβής. βίος γὰρ καλὸς τὸν θεὸν ἐπιγνῶναι
ποιεῖ: τοῦ αὐτοῦ: πρῶτον εἶπε τὴν ἀρετὴν καὶ τότε
εἶπε τὰ παρὰ τοῦ θεοῦ δεδομένα. ἐξ ἀρετῆς γὰρ πάντα ταῦτα
ἐγίνετο. εὐπαιδία λέγω καὶ πολυπαιδία. οὐκ ἔστιν οὖν σοι φη-
σὶν ἄγονος οὐ[illegible]. ὁ δὲ Ἀβραὰμ διὰ τοῦτο ἄγονος ἦν.
ἵνα μάθῃς ὅτι οὐ ταῦτα ὄντως ἀρετῆς ἔπαθλα. ἀλλ' ἕτερα.
διὰ δὲ τοῦτο ταῦτα ὑπέσχετό σοι συγκαταβαίνων:
Ὀλυμπιοδώρου: Καταλέγει ταῦτα ἵνα δείξῃ ὅτι ἐν
τοσαύτῃ εὐδαιμονίᾳ τυγχάνων, οὐκ ἀπαιδαγώγητος ἦν.
οὐδὲ παρεξετράπετο τὸν νοῦν ἀπὸ τῆς εὐσεβείας:
ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν. καὶ ὡς ἂν συνετελέσθησαν
αἱ ἡμέραι τοῦ πότου ἀπέστελλεν Ἰὼβ καὶ ἐκαθάριζεν αὐτούς,
ἀνιστάμενος τὸ πρωΐ, καὶ προσέφερεν περὶ αὐτῶν θυ-
σίας κατὰ τὸν ἀριθμὸν αὐτῶν: Ὀλυμπιοδώρου:
Ἡνίκα ἡ περίοδος τῶν ἑπτὰ ἡμερῶν ἐπληροῦτο, ἅπαξ
τῆς ἑβδομάδος ἔθυεν. τὰς μὲν οὖν θυσίας ὑπὲρ αὐτῶν,
εὐχαριστίας λόγῳ προσέφερε. τὸν δὲ καθαρισμὸν
ἐνθυμημάτων ἄφεσιν. τὸν δὲ μόσχον ὑπὲρ τῶν

ψυχῶν αὐτῶν· αἰτούμενος ἵνα ζῶντες αὐτῶν παραμένωσιν :·

τοῦ ἁγίου Ἰω(άννου) :· Ὁρᾷς καθαρισμόν, οὐχὶ μονωτικόν, ἀλ-
λὰ καθολικόν· μὴ μόνον τὴν διάνοιαν αὐτοῖς καὶ τὸ σῶμα ταῖς
εὐχαῖς ἀποσμήχοντα· τινὲς δέ φασιν ὅτι καὶ ἱερεῖς τὸ παλαιὸν
ἦσαν, ὥσπερ ὁ Μελχισεδέκ, ἀχειροτόνητοι· τοῦτο οὖν
ἐστὶ τὸ ἀπέστελλεν· Ὅρα δὲ πῶς καὶ ἐν τῇ θυσίᾳ ὁ-
μόνοιαν αὐτοὺς ἐδίδασκεν· ἕνα ὑπὲρ πάντων μόσχον προ-
φέρων, ὡς ὑπὲρ μιᾶς ψυχῆς :·

Καὶ μόσχον ἕνα περὶ ἁμαρτίας περὶ τῶν ψυχῶν αὐτῶν· ἔ-
λεγε γὰρ Ἰὼβ μήποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν, κακὰ
ἐνενόησαν πρὸς τὸν θεόν· οὕτως οὖν ἐποίει Ἰὼβ πάσας
τὰς ἡμέρας :· Ὀλυμπιοδώρου διακόνου :·

Τὰ γὰρ ὁρώμενα αὐτῶν εἰδὼς καθαρά, διενοεῖτο μήπως
τι ἦν ἐν αὐτοῖς κρυπτὸν παρολίσθημα· καὶ ἔθυεν ὑπὲρ τῶν
κρυφίων κατὰ τὸν λέγοντα προφήτην, ἐκ τῶν κρυφίων
μου· τουτέστι τῶν κατὰ ἄγνοιαν συμβαινόντων καθάρισόν
με :· Εὐαγρίου εἰς ΠΙΠΙ :· Διὰ τὴν ἑβραϊκὴν
ἐπὶ τοῦ κυρίου παρασημείωσιν, ταῦτα λεκτέον· δέκα ὀνόμα-
σι παρ' Ἑβραίοις ὀνομάζεται θεός· ὧν ἓν μὲν Ἀδωναῒ
λέγεται, ὅ ἐστι κύριος· ἕτερον δὲ Ἰά, ὃ καὶ αὐτὸ ἐν
τῷ ἑλληνικῷ εἰς τὸ κύριος μετελήφθη· ἕτερον δέ τι παρὰ
ταῦτα ἐστὶ τὸ τετραγράμματον ἀνεκφώνητον, ὃ καὶ
παρ' Ἑβραίοις, ὁ καταχρηστικῶς παρὰ μὲν αὐτοῖς ἀ-
δωναῒ καλεῖται· παρὰ δὲ ἡμῖν κύριος· ταῦτα δέ φασιν ἐν

τῷ μετάλῳ τῷ χρυσῷ τῷ ἐπὶ τοῦ μετώπου τοῦ ἀρχιερέως
γεγράφθαι κατὰ τὸ ἐν τῷ νόμῳ εἰρημένῳ, ἐκτύπωμα σφρα-
γῖδος, ἁγίασμα κυρίου: ΠΙΠΙ:· Τὰ δὲ λοιπὰ ὀνόματα
ἐστὶ ταῦτα· ἤλ· ἐλωείμ· ἀδωνί· σαβαώθ· σαδαΐ· ἰαὴ·
ἐσερεϊέ· καὶ τὰ προγεγραμμένα τεῖα, ὃ ἐστὶ τὸ τετράγρα-
μμον τούτοις γεγραμμένον τοῖς στοιχείοις· ἰωθ ἤπ· οὐαύ·
ἤπ· ΠΙΠΙ ὁ θεός:· Τοῦ ἁγίου ἰωάννου:·

χ Οὐχ ὅτι τοιοῦτοι ἦσαν· ἀλλ' ἐπειδὴ αὐτοί:·

+

+

Καὶ ἐγένετο ἡ ἡμέρα αὕτη· καὶ ἰδοὺ ἦλθον οἱ ἄγγελοι τοῦ
θεοῦ παραστῆναι ἐνώπιον τοῦ κυρίου:·

ι Γρηγορίου τοῦ θεολόγου:· Οὐκ οἶδα εἰ τῇ τάξει
τῆς στάσεως μετριζομένην τὸν φωτισμόν· εἴτε τοῖς μέτροις
τοῦ φωτισμοῦ τὴν τάξιν λαμβανούσας:· Καὶ αὖθις:·
ἐκεῖθεν ἐκλαμπομένας τὴν καθαρωτάτην ἔλλαμψιν,
ἢ ἄλλην ἄλλως κατὰ τὴν ἀναλογίαν τῆς φύσεως καὶ τάξεως.
οὐκ ἀγνοεῖς δὲ πάντως ὅτι γε καὶ τὸ τῆς φύσεως ὄνομα
οὐκ οὐσίας, ἀλλὰ τάξεως ἐστὶ σημαντικόν, καὶ τῆς ἑ-
κάστου πρὸς ὑποδοχὴν τῶν θείων, καὶ μέθεξιν ἐπιτηδει-
ότητος καὶ δυνάμεως:· Βασιλείου καισαρείας:·

ι Οὐ γὰρ φύσει ἅγιαι αἱ τῶν ἄνω δυνάμεις. ἢ οὕτω γ' ἂν

οὐδεμίαν πρὸς τὸ ἐπὶ τὸ ἅγιον τὴν διαφορὰν ἔχοιεν· ἀλλὰ κατ'
ἀναλογίαν τῆς πρὸς ἀλλήλας ὑπεροχῆς τοῦ ἁγιασμοῦ, τὸ μέ-
τερον παρ' αὐτοῦ ἐπὶ ἔχουσαι:· ὅτι φωτισμοῦ ἀεὶ μειζόνων
ἐν μεθέξει γινόμεναι πρὸς τελειοτέρας ἐπιστήμας ἀνά-
γονται:· Διονυσίου ἀρεοπαγίτου:· Οἶμαι
δὲ καὶ τοῦτο φαίη ἂν οὐκ ἀπεικότως· ὅτι καὶ κάθαρσις
ἐστὶ καὶ φωτισμὸς καὶ τελείωσις ἡ τῆς θεαρχικῆς ἐπιστήμης
μετάληψις· ἀγνοίας μὲν οἷον ἀποκαθαίρουσα, τῇ κατὰ
τάξιν ἐνδιδομένῃ γνώσει τῶν τελειοτέρων μυήσεων·
φωτίζουσα δὲ αὐτῇ τῇ θείᾳ γνώσει· δι' ἧς καὶ καθαίρει τὸν
οὐ πρότερον ἐποπτεύσαντα ὅσα νῦν ἐκφαίνεται διὰ τῆς
ὑψηλοτέρας ἐλλάμψεως· καὶ τελειοῦσα πάλιν αὐτῷ τῷ φω-
τὶ τῇ καθ' ἕξιν ἐπιστήμῃ τῶν φανοτάτων μυήσεων:·
Ταῦτα περὶ τῆς πρώτης τῶν οὐσιῶν φιλοσοφήσας διακοσμή-
σεως, καὶ τῆς κατ' αὐτὴν ἀμέσου τε καὶ ἀκροτάτης μυήσεως.
Ὅρα καὶ περὶ τῶν ὑφειμένων οἷα διαλέγεται τάξεων:
Ἀλλ' ἔστιν εἰπεῖν ἱερῶς ἐπὶ τῆς οὐρανίας ἱεραρχίας ὅτι
κάθαρσις ἐστὶ ταῖς ὑφειμέναις οὐσίαις ἡ περὶ ὧν τῶν
τέως ἀγνοουμένων ἔλλαμψις ἐπὶ τελεωτέραν αὐτὰς ἐπι-
στήμην ἄγουσα τῶν θεαρχικῶν γνώσεων· καὶ τῆς ἀγνοί-
ας ὧν οὔπω τὴν ἐπιστήμην εἶχον ἀποκαθαίρουσα, διὰ τῶν
πρώτων καὶ θειοτέρων οὐσιῶν, ἀναγομένας εἰς τὰς
ὑπερλάμπους τῶν θεοπτιῶν καὶ φανοτέρας
μαρμαρυγάς:·

καὶ ὡς ἐγένετο ἡ ἡμέρα αὕτη· καὶ ἰδοὺ ἦλθον οἱ ἄγγελοι
τοῦ θεοῦ, παραστῆναι ἐνώπιον τοῦ κυρίου· καὶ ὁ διάβολος ἦλ-
θε μετ' αὐτῶν· καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ:·

Γρηγορίου νύσσης:· Ἐν οἷς τὸ τῆς ὑπερουσίου θεό-
τητος κρύφιον ἄληπτον εἶναι πάσῃ γενητῇ φύσει παρίστησι·
τί τῆς μακαρίας ἐκείνης τῶν ἀγαθῶν φύσεως, πολὺ μὲν
ἐστὶ τὸ ἀεὶ εὑρισκόμενον· ἀπειροπλάσιον δὲ τοῦ πάντοτε
καταλαμβανομένου τὸ ὑπερκείμενον· καὶ τοῦτο εἰς τὸ διη-
νεκὲς γίνεται τῷ μετέχοντι, ἐν πάσῃ τῇ τῶν αἰώνων ἀϊ-
διότητι διὰ τῶν ἀεὶ μειζόνων τῆς ἐπαυξήσεως τοῖς μετέ-
χουσι γινομένης:·

Θεοδώρου μοναχοῦ ἐστίας. ἐκ
τοῦ εἰς τὸν προφήτην ζαχαρίαν:·

Πάντα σχη-
ματίζει ἡ γραφὴ καὶ εἰδοποιεῖ δεικνύουσα ὅτι τάξει
τινὶ καὶ προνοίᾳ πάντα οἰκονομεῖται τὰ ἀνθρώπινα.
οὕτω γοῦν καὶ ἐπὶ τοῦ Ἰὼβ καὶ τῆς τοῦ διαβόλου παραστά-
σεως τῆς ἐνώπιον τοῦ θεοῦ ὅλον οὕτω τὸ σχῆμα τοῦ λόγου
διετυπώθη, ὥστε γνῶναι ἡμᾶς ὅτι οὐδεμίαν ἔχουσιν, αἱ
ἐναντίαι δυνάμεις κατὰ τῶν ἀνθρώπων ἐξουσίαν· εἰ μὴ μόνον
αὐτὸς ὁ θεὸς συγχωρήσει τι γενέσθαι· οὐ γὰρ ὡς αὐτίς εἴποι
μετὰ παρρησίας παρίσταται ὁ διάβολος τῷ θεῷ, ἀλλ' ὅτι
ἤδη ἐνώπιον εἰσὶν οἱ διαλογισμοὶ τῶν ἀνθρώπων, καὶ τῶν
ἀσωμάτων πνευμάτων· δεῖξαι θέλει ἡ γραφή, ὅτι καὶ αὐτὸς
συγχωρήσας ἐπιτρέπει καὶ διοικεῖ πάντα κατὰ τὴν ἀ-
γαθὴν αὐτοῦ πρόνοιαν:·

Ὀλυμπιοδώρου:·

Σχηματίζει τὸν λόγον ἡ γραφή, διὰ τὴν ἡμετέραν νόησιν· καὶ ι
οἱ μὲν ἄγγελοι παρεστάναι τῷ θεῷ λέγονται· καὶ ὅ τε τῆς
συνήθους διακονίας ἐκπληροῦσι περὶ τοῦ προσεύξασθαι
λέγει· ἐπὶ καὶ τῶν δυνάμεων τῷ παρεῖναι ἐνώπιον αὐτοῦ
διὰ τῆς προσευχῆς δηλονότι· ὁ δὲ διάβολος οὐχ ἵσταται μὲν
ἐν τοῖς ὑπερουρανίοις τόποις· ἐκεῖθεν γὰρ ἐξεκυλίσθη· λέ-
γεται δὲ παρίστασθαι μετὰ τῶν ἀγγέλων ὡς καὶ αὐτὸς ἐν τοῖς
τόποις τῆς δεσποτείας τοῦ θεοῦ τυγχάνων καὶ ἀναμένων συγ-
χωρηθῆναι τοὺς κατὰ τῶν ἀνθρώπων ποιεῖσθαι πειρασμούς:·

ια
› Πόθεν παραγέγονας; καὶ ἀποκριθεὶς ὁ διάβολος εἶπε
› τῷ κυρίῳ· περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐ-
› ρανὸν πάρειμι:·

Ὀλυμπιοδώρου:·

Τὸ πόθεν παραγέγονας ὀνειδιστικῶς λέγεται πρὸς τὸν δια- ια
βολον, διὰ τὸ ἐκπεπτωκέναι αὐτὸν τῆς τῶν λειτουργικῶν
πνευμάτων τάξεως, ὥσπερ καὶ τῷ Ἀδὰμ ἔλεγεν ὁ θεός, Ἀδὰμ
ποῦ εἶ· ἀντὶ τοῦ ἐκ ποίων εἰς οἷα καταπέπτωκας· δια-
λέγεται δὲ πρὸς τὸν διάβολον ὁ θεὸς ἤτοι δι' ἀγγέλου, ἢ καὶ
ὁμοῦ τῷ θέλειν ἐντυποῦν τὰ νοήματα, καὶ οὐχ ὡς ἄξιον
αὐτὸν λόγου· ἀλλά γε διὰ τὸν πειραζόμενον· τὰ μὲν γὰρ
τοῦ διαβόλου κινήματα ὅπως ὥρμηται κατὰ τοῦ δικαίου
εὔδηλον οὐκ ἠγνόει θεός· καὶ ὅσον δὲ αὐτῷ συνεχώρει
πειράζειν ἐντυποῦν τὴν νόησιν· καὶ τοῦτο αὐτῷ παριστῶ-
σα ἡμῖν ἡ γραφὴ ὡς ἐν διαλόγῳ πεύσεις τε καὶ ἀ-
ποκρίσεις εἰσάγει:· Τοῦ αὐτοῦ:· Ὁ ἰαβρύπτως ιβ

πολεμεῖ καὶ περιέρχεται· οὐ γὰρ κατ᾽ αὐτῶν πανταχοῦ πα-
ρεστι· τοὺς μὲν φίλους ὑποφάμενος (?)· τοὺς δὲ ἐχθροὺς ἐξαιτού-
ιϛ μενος· οὐ γὰρ ἐξουσιάζει ἡμῶν:· Ἐπειδὴ γυμνῶν
φησὶ καὶ πειρῶν ὑποπεσομένων (?) μοι, τὸν Ἰὼβ αἰτήσασθαι, ἥκω
αἰτησόμενος αὐτόν:· Ἐ αὐτοῦ κατήγορος γίνεται, ὡς
οὐκέτι βεβαίαν ἔχει τὴν στάσιν· ἀλλ᾽ ἀστάτως πανταχοῦ πε-
ριφέρεται τὴν κατὰ πάντων ἀνθρώπων ἀναδεξάμενος μάχην
καὶ ὅτι κατ᾽ αὐτὴν ἀοίκητον περίεισι· ἐμπεριπατήσας γάρ
φησι τὴν ὑπουρανὸν πάρειμι· κατά τινα ἴσως οἰκονομίαν
θεοῦ· ὡς ἂν μὴ διὰ παντὸς διενοχλοίη ἡμῶν τῷ γένει. εἰ καὶ
ταῦτα ὁ διάδοχος ἀλαζονικῷ τῷ φρονήματι φθέγγεται.
ὡς οἷα πάντας ἀνθρώπους ὑφ᾽ ἑαυτῷ ποιησάμενος. διὸ καὶ
παρὰ πόδας ἐλέγχεται· πόλλω (?) γὰρ φησὶν οὐκ ἴσχυε κατακρα-
τήσας ὧν ἐκράτησας· ἐπεὶ πῶς ὁ πάντας ἀνθρώπους ἀπατή(σας)
ὡς φῂς ἑνὸς τοῦ Ἰὼβ οὐ περιγέγονας:·
ιϛ Περιελθὼν τὴν γῆν τὴν γῆν καὶ ἐμπεριπατήσας τὴν ὑπου-
ρανὸν πάρειμι· καὶ εἶπεν αὐτῷ ὁ κύριος. ιζ Προσέσχες
τῇ διανοίᾳ σου κατὰ τοῦ παιδός μου Ἰώβ· ὅτι οὐκ ἔστι κα-
τ᾽ αὐτὸν τῶν ἐπὶ τῆς γῆς:· :. α θ σ. ἐπὶ τὸν δοῦ-
λόν μου:· Ὀλυμπιοδώρου:·
ιϛ Οὐ δεῖ ξενίζεσθαι εἰ λεπτὸν ὑπάρχων πνεῦμα, διέδυ τοὺς
προειρημένους τόπους· καὶ γὰρ οὐδὲ ὁ θεὸς ὡς ψευδόμενον
αὐτὸν ἤλεγξεν· εὖ δὲ καὶ τὸ περιελθών· οὐ γὰρ περιέχων·
περιέρχεται δὲ ὡς αὐτόπτης ζητῶν τινὰ καταπιεῖν· ὅπως

τοῖς μὲν ταῖς ὑποβολαῖς αὐτοῦ ταῖς πονηραῖς πειθομένοις
ἑλκύσῃ· τοὺς δὲ ἀντιτείνοντας ἐξαιτήσεται. ὅπερ καὶ ἐπὶ τοῦ
ἰὼβ γεγένηται. ὅθεν οὐ βιάζεται· οὐδὲ παρὰ δύναμιν
ἡμῖν ἐπέρχεται. ὡς γὰρ δυναμένοις ἀντιστῆναι προσάγεται.
ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει· καὶ ἐὰν πνεῦμα τοῦ ἐξουσιά-
ζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς:· καὶ
μετ' ὀλίγα:· σημειωτέον δὲ ὅτι διάφοροι τόποι ἡ γῆ·
καὶ ὁ ὑπουρανός εἰσι. τῆς μὲν γῆς ὑπὸ τὸν οὐρανὸν οὔσης.
τὸν δὲ ὑπὸ τὸν οὐρανὸν τόπον, οὐ πάντων γῆς ὑπαρχόντων.
κἀκείνους δὲ περιῆλθε τοὺς τόπους ὁ διάβολος ἐνευ-
φραινόμενος τοῖς πνευματικοῖς τῆς πονηρίας δαίμοσιν:·
Ὀλυμπιοδώρου:· Ἔμφασιν ἔχει τὸ τῇ διανοίᾳ ιζ
σου, ἀντὶ τοῦ τῇ διεσκεμμένῃ τῇ κατελέγχω:· ἄλλως:·
Δυνατὸν καὶ ἀποφαντικῶς τουτέστιν οἶδα ὅτι προσέσ- ιη
χες:· Ὀλυμπιοδώρου:· Τῶν ἐπὶ τῆς γῆς, ιη
ἀντὶ τοῦ τῶν κατ' αὐτοὺς αὐτοῦ χρόνους:· Διδύμου:·
Πῶς γὰρ οὐχ ὑπερβαίνων ἅπαντας τοὺς ἐπὶ τῆς γῆς ἐτύγχα-
νεν, τοῦ θεοῦ τῶν ὅλων αὐτοῦ μαρτυροῦντος, εἶναι ἄ-
μεμπτος ἄνθρωπος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος
ἀπὸ παντὸς πονηροῦ πράγματος:· Πολυχρονίου:·
Ὁ μὲν θεὸς ἐμαρτύρει τῷ δικαίῳ ὡς ἀπὸ γνησίου τινὰ τῆς ιη
ἀρετῆς κέκτηνται, τάτε πρὸς ἀνθρώπους δίκαια φυλάττων
ἀμέμπτως· τήν τε πρὸς θεὸν εὐσέβειαν ἀκριβῶς μετιών.
καὶ ὅτι τὰ κατ' αὐτὸν σκοπῶν ὁ διάβολος, οὐ μικρὸν τὸ πεῖ-

αὐτοῦ ἐπέκλητο θαῦμα :·

› Ἄνθρωπος ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος
› ἀπὸ παντὸς πονηροῦ πράγματος. ἀπεκρίθη δὲ ὁ διά-
› βολος καὶ εἶπεν ἐναντίον τοῦ κυρίου· μὴ δωρεὰν Ἰὼβ σέβε-
› ται τὸν κύριον :· Ὀλυμπιοδώρου διακόνου :·

γο Τοῦτο εἰς τὸ ἀναιδὲς τοῦ διαβόλου, τὸ ἐναντίον τοῦ κυρίου :

ιε τοῦ αὐτοῦ : Οὐ συκοφαντεῖ τὸν δίκαιον, ὡς οὐ κατὰ ἀ-
ρετὴν, ἀλλ' ἐμπορείαν εὐσεβοῦντα· μισθωτὸς ἐστί φησιν, οὐ-
κ ἀληθινός :· τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου :·

ιε Ἐπειδὴ τῶν εἰρημένων ἐπιλαβέσθαι οὐκ εἶχεν, τὴν γνώμην δια-
βάλλει, οὐκ ἐπιλαμβάνεται τῶν φανερῶν, ἀλλὰ τῶν ἀφανῶν :·

ιε Εὐσεβίου :· Δωρεάν· ὁ μήτε διὰ κόλασιν, μήτε δι' ἐπαγ-
γελίας :· Διδύμου :· Ἴδιον τῶν φιλοκάκων, καὶ
πρὸς ἀρετὴν ἀπεχθανομένων, τὸ μὴ λογίζεσθαι γνήσια τὰ
κατὰ τῶν πέλας· ἀλλὰ πάντως λέγειν, ὡς οὐδέ τις δίκαιος
ἐστὶ δι' ἀδυναμίαν τοῦ ἀδικεῖν· ὁ δέ τις σώφρων, διὰ τὴν κα-
λουμένην ἠλιθιότητα. ὁ δὲ πρὸς χρήματα καὶ πορισμοὺς
οὐκ ἔχει, διὰ τὸ πρὸς ταῦτα ἀνεπιτήδειον· ἐθ' ὅτι τὸν πρᾶ-
ον ὑποκεῖσθαι λογιζομένους· καὶ ὅλως οὐδεὶς φαῦλος ἀ-
ποδέχεταί τινος ἀρετὴν ὡς γνησίαν ταύτης ἀρχηγὸς ὢν
τῆς κακίας ὁ διάβολος· τοιαῦτα ἐννοῶν περὶ τοῦ Ἰὼβ
ἐφανέρου αὐτὰ τῷ τὸ κρυπτὸν ἐπισταμένῳ λέγων, ὡς
διὰ τὰ ἐκτὸς ἀγαθὰ δίκαιος ἐστὶν ὁ Ἰώβ· τὸ δὲ περιέ-
φραξας ἀντὶ ἀσφαλείας αὐτῷ εἴρηται ἔμφασιν παρέ-

-χοντος, ὡς δὴ ταῦτα ἀναφαίρετος ἐστὶ καὶ ἔφοδον οὐκ ἔχο-
ντα τῷ πλήθει τῶν διαφόρων, αἰτίαν αὐτῷ τῆς ἀρετῆς εἶναι
λογιζόμενος, ὅπερ οὐ καλῶς λέγων ἠλέγχθη :. Πολυχρ :.
οὐκέτι θαυμάζει μὲν τὸν δίκαιον ὡς εἰς ἄκρον ἀρετῆς ιε
ἐληλακότα. ὑπόθεσιν δὲ τῆς τοσαύτης εὐσεβείας φέρει
τῶν προσόντων τὴν περιουσίαν. οὐκ ἄλλοθεν αὐτῷ ταύτης
ἢ παρὰ θεοῦ προσοῦσαν. ὅθεν καὶ εὐγνώμονα περὶ τὸν εὐ-
εργέτην ἠπίστατο γίνεσθαι. ἀμοιβὴν αὐτῷ παρέχοντα τὴν
εὐσέβειαν :.

Οὐ σὺ περιέφραξας τὰ ἔξωθεν αὐτοῦ καὶ τὰ ἔσω τῆς οἰκί-
ας αὐτοῦ. καὶ πάντων τῶν αὐτοῦ κύκλῳ. τὰ ἔργα τῶν χειρῶν
αὐτοῦ εὐλόγησας, καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας
ἐπὶ τῆς γῆς :. Ὀλυμπιοδώρου :.

Τῶν ἀμοιβῶν φησὶν ἤδη τυγχάνει. οἰκιακὰ συνταγματικὰ αὐτοῦ ις
αὐτοῦ ἀβλαβῆ διαφυλάττεις. εἰρήνης ἀπολαύει βαθείας.
οὐκ ἐμφύλιος οὐκ ἐξωτικὸς αὐτὸν ἐλυμήνατο πόλεμος.
ὅρα δὲ πῶς δείκνυσιν ὁ διάβολος, ὡς πολλάκις ἐπεχεί-
ρησε λυμήνασθαι τὸν ἰὼβ :. Πολυχρονίου :.

Ἵνα εἴπῃ ζῶα καὶ ταύρους καὶ τῶν βοσκημάτων τὴν περιουσίαν :. ις
Ὠριγένους : Πόθεν οἶδας ὅτι περίφρακται, οὗτος ις
ὁ ἀντίδικος ἡμῶν ὁ διάβολος ὡς λέων ὠρυόμενος,
περιπορεύεται ζητῶν καταπιεῖν τινά. ἦλθεν οὖν καὶ περὶ
τὸν ἰὼβ πολλάκις βουλόμενος ταῦτα ποιῆσαι. ὕστερον λα-
βὼν ἐξουσίαν ταῦτα πεποίηκεν. καὶ ὅτι πάντα περιπε-

-φραγμένα ἦν. καὶ ταῦτα νοήσας αὐτοῦ κεκωλῦσθαι
βουλόμενος ποιεῖν τὰ περὶ τοῦ Ἰὼβ εἶπεν· οὐ περιέφραξας
αὐτοῦ τὰ ἔσω καὶ τὰ ἔξω. ταῦτα οὖν ἐφ᾽ ὅσον οὐ δίδοται
τῷ διαβόλῳ οὐ περιέφραξας :· Πολυχρονίου :·
φ Τουτέστι πληθύνει αὐτῷ τὰ γεώργια τῆς γῆς ἀφθόνως
αὐτῷ τοὺς καρποὺς παρεχομένης :· τοῦ Χρυσοστόμου :·
φ Ὁρᾷς τὸν πλοῦτον παρὰ θεοῦ δεδομένον· ὁρᾷς ὅτι οὐκ ἐξ ἀ-
δικίας. πόσα ἔδει καμεῖν τὸν Ἰώβ, ὥστε πεῖσαι τοὺς ἀνθρώπους,
ὅτι οὐκ ἐξ ἀδικίας ἦν ὁ πλοῦτος. ἰδοὺ ὁ διάβολος
αὐτῷ τοῦτο ἐμαρτύρησε καὶ οὐκ ᾔδειν :·
ια Ἀλλ᾽ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι ὧν ἔχει πάντων.
ιβ Εἰ μὴν εἰς πρόσωπόν σου εὐλογήσει σε. τότε εἶπεν ὁ
κύριος τῷ διαβόλῳ :· Ὀλυμπιοδώρου :·

ἄλλος ἢ μὴν ἦ οὐκ εἰς πρόσωπόν σου·

ιξ Θεωρεῖ κακίαν καὶ τὴν φλόγα διαβολικήν. τὸν μόνον ἀπαθῆ
πείθειν ἐθέλει κακοποιεῖν. τὴν χεῖρά σου δὲ τὴν τιμω-
ρίαν σου. κατὰ τὸ ἡ χείρ σου ἐξολοθρεύσαι :·
ιξ τοῦ Χρυσοστόμου :· Θέλει ἵνα μὴ λέγῃ ὅτι σὺ πε-
φεισμένος αὐτοῦ ἔπληξας ὡς οἰκεῖον θεράποντα, οἰκε-
ιξ ποίησον ὅπερ ᾔτησεν ὁ διάβολος :· Ὅμως λίαν
οὐ μερικῶς, ἀλλὰ καθολικῶς ἐξαιτεῖται τὸν δίκαιον :·
ιξ Διδύμου :· Χεῖρα αὐτοῦ καλεῖ ἐν πλείστοις διαφόρως,
ἢ τὴν κολαστικὴν καὶ εἰς τοῦτο ὑπηρετικὴν δύναμιν, ἅπερ
σκεύη ὀργῆς ἡ θεία γραφὴ ὀνομάζειν εἴωθεν, ἢ τὴν σκεπα-
στικὴν καὶ φρουρητικὴν τοῦ θεοῦ δύναμιν :·

Πολυχρονίου: Ἐάσεις οὖν ἐγὼ ἐπιστῶ μοι φησὶν ὁ θ(εό)ς, ιξ
ἅψασθαι τῶν αὐτοῦ προσόντων, τοῦτε καὶ οἴκου, τοῦτε καὶ τέ-
κνων, καὶ γυμνῶσαι τῆς προσούσης περιουσίας τε καὶ δόξης,
παρασκευάσαι ἂν αὐτὸν βλάσφημα ῥήματα φθέγξασθαι,
κατὰ τοῦ θεοῦ. τὸ γὰρ εἰς πρόσωπον τουτέστιν ἐξ ἀναιδείας
ἐστὶ ἀντὶ τοῦ θ(εο)ῦ. τὸ δὲ εὐλογήσει αὐτὶ τοῦ βλασφη-
μήσει· εὐφήμως γὰρ αὐτὸ τέθεικεν ἡ θεία γραφή· οἷόν ἐ-
στι καὶ τὸ ἐπὶ τοῦ Ναβουθαὶ εἰρημένον ἐν Βασιλείαις ηὐλό-
γηκε θ(εὸ)ν καὶ βασιλέα: Ὀλυμπιοδώρου:
Ὁ μὲν οὖν θ(εὸ)ς προγνώστης ὤν, ᾔδει ὡς νικήσει ὁ ἀθλητής. ιξ
ὁ δὲ διάβολος οὐκ εἰδὼς τὸ μέλλον, οὐδὲ ἐμβατεύων καρ-
δίαις, μάτην ὑπαγγέλλεται τὴν ἧτταν αὐτοῦ:
Ἰω(άννου) τοῦ Χρυσοστόμου: Φανερῶς ἀναισχύντως ιη
οὐχ ὑποστελλόμενος. τοῦτο γὰρ ἐστὶ τὸ εἰς πρόσωπον:
Διδύμου: Ἀντὶ τοῦ καταράσηται βλασφημήσει· ταύτῃ ιη
τῇ λέξει χρώμενος ὅπως μὴ πρὸς θ(εὸ)ν τὴν τραχυτέραν προ-
σενέγκηται λέξιν:
Ἰδοὺ πάντα ὅσα ἐστὶν αὐτῷ δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐ-
τοῦ μὴ ἅψῃ: :: τοῦ σώματος:
Ὀλυμπιοδώρου διακόνου: Τοῦ πονηροῦ μὲν ιθ
πειράζοντος ἐπιτρεψόμενοι, ὁ μέγας ἀγωνοθέτης τὴν ἀν-
δρείαν ἐπιστάμενος τοῦ οἰκείου ἀθλητοῦ, αὐτῷ τῷ ἀντι-
πάλῳ δίδωσιν αὐτῷ ἔσοδον χρήσασθαι ὡς βούλεται· εἶτα
δὲ τοῦ μιαροῦ τὸν ἀκόρεστον θυμόν, μέτρῳ περιορίζει

τὸν ἀκόρεστον θυμόν· τὸ ἀκόρεστον αὐτοῦ τῆς ἐπιθυμίας·
τῆς μὲν γὰρ αὐτοῦ, φησὶν ὡς βούλει κατάχρησαι οὐσίας, αὐτοῦ
δὲ μὴ ἅψῃ· ὅσα διὰ σοφίαν ἀγωνοθέτου καὶ φιλανθρώπου
θεοῦ· πρῶτον ἐᾷ τὸν ἀθλητὴν ἐν τοῖς ἔξωθεν καὶ ἀκινδυνο-
τέροις διαγυμνασθῆναι· εἶτα νικηφόρον ἀναδείξας· τότε προ-
τίθησι καὶ τὸν περὶ τὰς σάρκας ἀγῶνα :· Τοῦ αὐτοῦ :·
ιβ Τ ἐν τῇ χειρί σου τὴν μίαν ἀφῆκα τῇ ἀκορέστῳ, τίς φησί· τίς χρεία μετὰ
τὴν ἐμὴν μαρτυρίαν, ἔλεγες ὑπὲρ αὐτοῦ· τὴν ἐπιτομὴν αὐτῆς φη-
σὶν ὁ διάβολος, ἵνα λαμπρότερος φανῇ ὁ δίκαιος· ἵνα τοῖς
μετὰ ταῦτα καὶ ὑπομονῆς καὶ θλίψεως φάρμακα
ιβ καταλείψωμεν :· Οὕτω θαρρῶ φησὶ τῷ ἀθλη-
-τῇ τῷ ἐμῷ· σὺ εἶπες ἀπόστειλον τὴν χεῖρά σου· ἐγὼ δὲ λέ-
-γω ὅτι ἐν τῇ χειρί σου δέδωκα πάντα ὅσα ἐστὶν αὐτῷ :·
ιβ Διδύμου· Τὰ ἐγκείμενα παραστατικά τυγχάνει· τοῦ
μὴ χωρὶς θείας συγχωρήσεως ὑποπίπτειν τινὰ πειρασμῷ.
φησὶ γὰρ ὁ θεὸς ἰδοὺ δέδωκα πάντα ἐν τῇ χειρί σου, ἵνα δὲ
φανερὸν γένηται, ὅτι μέτρῳ καὶ τὴν συγχώρησιν ποιεῖται,
ἐπιφέρεται· ἀλλ' αὐτοῦ μὴ ἅψῃ· ὅθεν οὔτε εἱμαρμένῃ αἱ
περιστάσεις συμβαίνουσιν, οὔτ' ἐκ τοῦ αὐτομάτου· ἀλλ' ἐκ τῆς
ιβ τοῦ θεοῦ συγχωρήσεως : Πολυχρονίου: Τοῦτ' ἔστι
συγχωρήσει ὁ θεὸς τῷ διαβόλῳ τὰ κατὰ γνώμην πρᾶξαι
περὶ τὸν δίκαιον, μόνον εἴρξας αὐτὸν τῆς κατὰ τοῦ σώ-
κ ματος βλάβης :· Ἀπολιναρίου :· Ἵνα εἰδῇ ὅτι
συνεβούλετο μὲν ὁ διάβολος μόνον μέχρι τῶν παίδων

πῆσαι τῷ πλήγματι· ἀλλὰ καὶ αὐτοῦ ἅψασθαι τοῦ δικαίου, οὐ
μὴν ἐτόλμα τοῦ θεοῦ· ἀλλ' ἢ συγχωροῦντος. συνεχώρησε δὲ καὶ
τοῦτο ὁ θεός :· κ Καὶ ἐξῆλθεν ὁ διάβολος
παρὰ τοῦ κυρίου, καὶ ἦν ὡς ἡμέρα αὕτη :·
Θεὶ μὴ ἐξῆλθεν ὁ διάβολος ἀπὸ προσώπου κυρίου, οὐκ ἂν ἐπηρέ- κ
γησε κατὰ τοῦ Ἰώβ :· Ἰουλιανοῦ :· Ὅταν
μὲν εἴπῃ ὅτι ἦλθεν ὁ διάβολος τὴν ὑπόθεσιν τοῦ πειράματος
καὶ τὴν ἐπιχείρησιν ἐξηγεῖται. ὅταν δὲ τὸ ἐξῆλθεν ἀπὸ προ-
σώπου κυρίου, τὴν συγχώρησιν διηγεῖται τοῦ θεοῦ, καὶ τὴν δο-
θεῖσαν αὐτῷ κατὰ τοῦ δικαίου κινημάτων ἐξουσίαν. ὡς καὶ
τὸ ἐξῆλθε δὲ Κάϊν ἀπὸ προσώπου τοῦ θεοῦ· τουτέστιν ἔχων
τὸν ὅρον τοῦ θεοῦ ἐπ' αὐτῷ γενόμενος πρόσταγμα τος :·
Πολυχρονίου :· Ἀντὶ τοῦ λαβὼν διὰ τῆς συγχωρήσεως κ
τὴν ἐξουσίαν ἐνεργῶν λοιπὸν ἦν :· Ἀντὶ τοῦ ἦκεν κα
τῇ ἡμέρᾳ ἐν ᾗ τὸ θέατρον ἠνοίχθη, καὶ ὁ ἀθλητὴς κατέ-
βη πρὸς τὰ παλαίσματα :·
κβ Οἱ υἱοὶ Ἰὼβ καὶ αἱ θυγατέρες αὐτοῦ, ἔπινον οἶνον
ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου :·
Ὀλυμπιοδώρου :· Ἵνα δείξῃ τὸ ὀξὺ τῆς ἐπιβουλῆς. κβ
οὔπω γὰρ μεσούσης ἡμέρας ἤρξατο τοῦ πολέμου :·
Διδύμου :· Ἀκολούθως καὶ τῆς ἡμέρας μνη- κβ
μονεύει, καὶ τῆς συνελεύσεως τῶν τέκνων, ἵν' οὕτω
καὶ τοῦ θανάτου αὐτῶν γνώηται ποσὸν τὸ ἀθρόως ὑφέ-
να καιρὸν ὑπὸ τὴν πτῶσιν τῆς οἰκίας ἀποθανόντων :·

κβ Πολυχρονίου :· Τίνος ἕνεκεν τοῦ συμποσίου τῶν
παίδων ἐμνημόνευσε, μετὰ τὴν τῶν βοῶν ἀπαρχὴν λέγων,
ἵνα παραστήσῃ τὴν κατὰ πάντων ἀθρόαν ἀπώλειαν,
καὶ τὸ ἀπροσδόκητον τοῦ κακοῦ. ἵνα εἴπῃ ὅτι τὴν ἐξουσίαν
λαβόμενος, εἴχετο τοῦ προκειμένου. καὶ ὅτι τῆς ἡμέρας ἐν-
στάσης, καθ' ἣν τὴν μάχην συγκροτεῖσθαι ἔδει τὴν πρὸς τὸν δί-
καιον· οἱ μὲν παῖδες ἦσαν ἐν εὐωχίᾳ, οὐδὲν τῶν δεινῶν
ἐλπίζοντες· ὁ δὲ διάβολος σχηματίσας πολεμίους, τῆς
εὐπορίας τὴν ὑπόθεσιν ἀφῄρητο :· Καὶ μετ' ὀλίγα :·
Τὴν δὲ τῶν παίδων μνήμην, καὶ τῆς εὐωχίας τὸ ὑπερτερές,
σημαίνειν νομίζω τὸ ἐν μιᾷ ἡμέρᾳ, πᾶσαν τὴν τοῦ πάθους
τραγῳδίαν συμβῆναι :· Ὀλυμπιοδώρου :·
οσο ὅθεν καὶ ἡ ὑπόρρησις τῆς ἀθρόας κατ' αὐτοῦ ἀπωλείας. ὁ διά-
βολος ἀφορμὰς πάσας εὑρών :·
Καὶ ἰδοὺ ἄγγελος ἦλθε πρὸς Ἰώβ, καὶ εἶπεν αὐτῷ· τὰ
ζεύγη τῶν βοῶν ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο
ἐχόμεναι αὐτῶν, καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες, ἠχ-
μαλώτευσαν αὐτάς :· Α καὶ ἐπέπεσε
Σαβά· ὁ δὲ ἑβραῖος οἱ Σαβαῖοι ἔχει· αὐτοὶ τοῦ οἱ Σαρα-
κγ κηνοί :· Εἰς αὔξησιν τοῦ πάθους ὅτι τὰ χρειώδη
ζῷα ἀπώλετο· καὶ ἐπὶ τούτοις συμφορὰ αἰχμαλωσία
καὶ φόνος :· Διδύμου :· Κατανοεῖν ἄξιον
ὅπως τὰ τῆς ἐπαγγελίας ἀθρόως γεγενημένα καὶ ἐκ τῆς διη-
γήσεως εἶχε τὸ βαρὺ καὶ πρὸς λύπην ὑπερβαίνουσαν ἐπε-

-γέστες : καὶ μετ' ὀλίγα : κἂν τὰ μὲν ἀθρόως ἀ-
παγγελόμενα ταράξῃ, ὅμως χαρᾷ τῶν συμβάντων
ὑπαρχόντων, οὐκ ἐταράχθη ὁ δίκαιος. ἐτέρπετο γὰρ ἐν ἑνὶ τῶν
ψυχῶν περὶ ἄλλου, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται :
ὡρισμένους : τὰς καμήλους πεποίηκε γενέσθαι ὑπὸ κϛ
τοὺς ἱππεῖς, τὰς ὄνους καὶ τοὺς βοῦς τοὺς ἀροτῆρας καὶ
τὴν γῆν ἐργαζομένους, πεποίηκε γενέσθαι ὑπὸ τοὺς αἰχμα-
λωτίζοντας, τὰ πρόβατα δὲ ἐμπίπρει. δηλοῦντο πῦρ καταγαγὼν
ἐξ οὐρανοῦ ἐπὶ τὰ πρόβατα. ἀλλὰ καὶ τοῖς ἱεροῖς ἐπε-
βούλευσε. καίτοι ἐδύνατο τοὺς ἄλλους ἀπολέσαι. εἰ εὑ-
ρήκει ἄλλους ἀπογινώσκοντας, οὐκ ἂν ἥψατο τῆς οἰ-
κίας. οὐδὲ τοσοῦτον εἶχε τοῦ ἄλλους ἀπολῦσαι.
εἰ εὑρήκει ἄλλους προσευχομένους, οὐδὲν ἐδύνατο
ποιῆσαι καὶ ἄλλων. ποῖος οὖν καιρός, μάθῃ ἡ ... .
συμπόσιον ... :
καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις. σωθεὶς
δὲ ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι :
Ὀλυμπιοδώρου : τοὺς μὲν οἰκέτας τοὺς κζ
ἐπὶ τοῖς κτήνεσι τεταγμένους ἀνῃρῆσθαι φησίν. ἔπρεπε
ἄλλων τοῦ καὶ ἐπιτελεῖσθαι μὴ διανοηθῆναι. σέ-
σωσται δὲ μόνος ὁ ἐξαγγείλας ταῦτα, οὐ φιλανθρω-
πίᾳ τοῦ πολεμίου. ἀλλ' ἵνα μηνυτὴς τῶν σκυθρω-
πῶν γένηται. ἴσως δὲ οὐδὲ ἀνὴρ ἦν ὁ ἀπαγγέλλων,
ἀλλ' αὐτὸς ὁ δαίμων, εἰς τοὺς ἀγγέλους ἐσχηματίζετο :

κα Τοῦ αὐτοῦ :· Θερμὴν ἀγγελίαν διαβολικὴν κατεπείγων
καὶ κατὰ αὔξησιν προερχομένην, ἐφ' ᾧ τὴν ἄσειστον τοῦ
δικαίου κατασεῖσαι ψυχήν· οὐκ εἶπεν ἁπλῶς τὰ ζεύγη τῶν
βοῶν· ἀλλὰ καὶ ἠροτρία· αὐτὴν τὸν σπόρον ἐκ τῶν τῆς γῆς
προσόδων εἰργάζοντο· οὐδὲ ἁπλῶς εἶπεν αἱ ὄνοι, ἀλλὰ
καὶ αἱ θήλειαι· ἐξ ὧν ἡ ἐπιγονὴ καὶ ἡ αὔξησις :·
Τοῦ αὐτοῦ :· Ὅλας τῶν κακῶν ἀγγελίας ἀποκομίζει:
Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ εἶπε
πρὸς Ἰώβ, πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ :·
:· Α Β· ἔτι οὗτος ἐλάλει καὶ οὗτος ἦλθεν· ἀπὸ πυρὸς
θεοῦ : Τοῦτο πρὸς τὸ ἀνένδοτον τοῦ ἀθλητοῦ :·
κβ Ὀλυμπιοδώρου: Πεποίηκεν ὁ διάβολος ἐκ τοῦ
οὐρανοῦ φέρεσθαι τὸ πῦρ ἐσχημάτισεν, ἵνα μὴ παρ'
αὐτῶν νομίσῃ πολεμεῖσθαι μόνον, ἀλλὰ καὶ παρὰ θεοῦ,
ὃν εὐσεβῶν ἐσπούδαζε· καὶ εἰς ἀνελπιστίαν βοηθείας
πέσῃ καὶ εἰς ἀπόγνωσιν :· Τοῦ ἁγίου Ἰω(άννου) :·
Μὴ νόμιζε φησὶν αὐτίνας εἶναι τὰς πληγὰς ἀκούσας αἰχ-
μαλωτεύοντας· ἄνωθεν ἐκ τοῦ οὐρανοῦ πολεμεῖ
κγ ὁ θεός :· Διδύμου :· Θεῖ γὰρ καὶ ὁ ἅγιος τὰ περὶ
τῆς ἀληθείας ἠκριβωκὼς ἐγίνωσκεν, ὡς οὐκ ἄνευ
θεοῦ ἡ τῶν πειρασμῶν ἐπίτευξις γέγονεν· ἀλλὰ μεγίστην
αὐτῷ ἔφερε τὸ γινόμενον λύπην, διὰ τοὺς σκανδαλιζο-
-μένους ὡς καὶ θεοῦ κατ' αὐτοῦ χωροῦντος· τὸ γὰρ τοὺς αἰχ-
μαλωτίζοντας ἐπελθόντας ἀφαιρεῖσθαι τὰ κτήνη, καὶ

τοὺς παῖδας

τοὺς παῖδας καταστρέψαι. ἐπεὶ αὐτὸ λογίζεσθαι
οἱ ἀπλούστεροι, ὡς νόμῳ πολεμίων ἐπελθόντων τῶν
αἰχμαλωτιζόντων ἀλλ᾽ ἄξια, ἢ πρὸς ἔχθραν τοῦτο ποιούντων,
οὐ κατὰ θεοῦ τὸ γινόμενον ἐστί. ὅτι δὲ πῦρ ἀπήγγελται
ἀπὸ θεοῦ κατεληλυθός, ὅπως ἐστὶ μή τις λογίσηται
τῶν ἀσθενῶν, ὡς οὐδὲν θαυμαστὸν ἢ ἀξίαν· καὶ παρὰ
θεοῦ τιμωρουμένου τοῦ ταύτην ἔχοντος. ἀλλὰ καὶ τοῦ συμβαίν-
τος ὁ ἅγιος συνώπλισεν ὅλως τῆς τοῦ θεοῦ καταγνώσεως
γινόμενος. οὐ γὰρ ὁ διάβολος ἐξουσίαν ἔχει πῦρ ἐξ οὐρανοῦ
καταφέρειν, ἀλλὰ θεία κρίσει τοῦτο γεγένηται. ὅπως πα-
ραστήσῃ τῷ διαβόλῳ ὁ δεδωκὼς αὐτῷ τὴν ἐξουσίαν τῶν
τοῦ Ἰὼβ ὁ θεός, ὡς ὅτι οὐ μέγει τῷ μακαρίῳ τῶν ἀν-
θρωπίνων καὶ πολλὰς πλέκει μηχανάς :.

Καὶ κατέσφαξε τὰ πρόβατα, καὶ τοὺς ποιμένας
κατέφαγεν ὁμοίως. καὶ ἐσώθην ἐγὼ μόνος, ἦλθον τοῦ
ἀναγγεῖλαί σοι. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτε-
ρος ἄγγελος καὶ εἶπε πρὸς Ἰώβ :.

:. Ϛ ἀπέκλεινεν :. Ὀλυμπιοδώρου :.

Μὴ πῦρ κατ᾽ ἀλήθειαν εἶναι νομίζε. οὐ γὰρ δημιουρ- κε
γεῖν τοῦτο δύναται. ἀλλ᾽ οὕτως ἔδειξε καὶ κατέφλεξεν
ἅπαντα. ἢ εἴπερ ἦν κατ᾽ ἀλήθειαν, ἐκ τοῦ ὄντως καὶ
τοῦτο κεκίνηκεν :. τοῦ ἁγίου Ἰω :.

Ὅρα ἡ ὅση τοῦ διαβόλου ἡ δύναμις, πῶς ἔθνη κε
τοσαῦτα ἐκίνησεν, ἔλε δαίμονας σχηματίσας. οὐ καὶ

τὴν εὐκολίαν νόησον· μὴ νομίζων πῦρ εἶναι κατὰ ἀ-
λήθειαν· οὐ γὰρ δύναται δημιουργεῖν· ἀλλ' οὕτως ἔδει-
ξε καὶ κατέπληξεν ἅπαντα :·

† Οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς· καὶ ἐκύκλωσαν
⊠ τὰς καμήλους καὶ ᾐχμαλώτευσαν αὐτάς· καὶ τοὺς
παῖδας ἀπέκτειναν ἐν μαχαίραις· ἐσώθην δὲ ἐγὼ
μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι :·

:· α οἱ χαλδαῖοι ἔθηκαν τρεῖς ἀρχάς· ἀντὶ τοῦ
τάγματα τρία :· Ὀλυμπιοδώρου :·

† Πάλιν κάτωθεν ἡ ἀγγελία τοῦ πολέμου, ὡς ἂν ἀπείη
καὶ ὑπὸ θεοῦ καὶ ὑπὸ ἀνθρώπων πολεμούμενοι, προσέθηκε
καὶ τῶν ἀνθρώπων τὴν ἀναίρεσιν, ἐφ' ᾗ μάλιστα ἀλγοῦσιν οἱ
⊠ δίκαιοι :· Διδύμου : Τὸ δὲ καὶ περὶ τῆς σφαγῆς
τῶν παίδων ἀκηκοέναι καὶ ἀνδρείως ἐνεγκεῖν τοῦτο δια-
δείκνυσι τῶν ἀνδρείαν τε τοῦ ἁγίου καὶ καρτερίαν :

ἔτι κξ τούτου λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται λέγων
τῷ ἰώβ· τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου
ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ
αὐτῶν τῷ πρεσβυτέρῳ· ἐξαίφνης πνεῦμα μέγα
ἐπῆλθεν ἐκ τῆς ἐρήμου :·

:· α ἄνεμος μέγας :· Πολυχρονίου :·

κξ Ἔτι τούτου λαλοῦντος, ἵνα μηδεμίαν ἀναψυχὴν τῶν πόνων
τῷ παραιτητῷ, ἐπικρότατα δὲ ἐκ τοῦ οὐρανοῦ ἐσχη-
μάτισε φέρεσθαι τὸ πῦρ ἵνα μὴ παρὰ ἀνθρώπων νο-

μίσῃ πολεμεῖσθαι, ἀλλὰ παρὰ θεοῦ, οὗ ἐσπούδαζεν εὐσε-
βεῖν διὰ βίου. ὅμοιον δὲ τοῦτον κατέλαβε τῷ ἔτι τούτου
λαλοῦντος ἔφη. ἵνα τῷ συνεχεῖ τῆς ἀγγελίας ταράξῃ τὸν
δίκαιον, καὶ καθάπερ νεκρὸν τῷ ἐπαλλήλῳ τῶν κακῶν
τοῖς πάθεσι παρασκευάσῃ γενέσθαι:·

Ὀλυμπιοδώρου:· Δῆλον οὖν ὡς ὑφ' ἓν ἅπαντα κη
γέγονε, μὴ δὲ ἀκουσάντων τῶν υἱῶν τὰ συμβεβηκότα·
καὶ ἀνωτέρω γὰρ ἐσημειώσατο ἡ γραφή, ὅτι παρὰ
τῷ πρεσβυτέρῳ ἀδελφῷ ἤσθιον:· Διδύμου:
ὑμάλιν πρόσκειται τὸ τῶν υἱῶν σου καὶ τῶν θυγατέρων κη
σου, ἐσθιόντων καὶ πινόντων, ἀλλὰ πρὸς ἐπίτασιν
αἰτίας καὶ τοῦτο τοῦ ἀρχεκάκου διαβόλου πραγματευομένου.
ἵνα ἡ τῶν γεγενημένων ἀπαγγελία βαρεῖα γινομένη, λύ-
πην ὑπερβάλλουσαν τῷ ἰὼβ ἐμποιῇ· κοιμωμένων γὰρ
τῶν τέκνων ἐσυμβεβήκει τὸ τῆς πτώσεως αἰφνίδιον,
λογιζόμενος οὐχ οὕτως ἐνῆλατο:· Τοῦ αὐτοῦ:·
Πρόσκειται δὲ τὸ ἐξαίφνης ἐμφαντικὸν τοῦ μὴ δύνασθαι
τινὰ διαδρᾶναι τῆς πτώσεως, οὕτω συμβάντος τοῦ
πράγματος, ἔξωθεν ἴσως τοῦ ἀγγέλλοντος εὑρεθέντος:·

Ἰουλιανοῦ: Ταῦτα κινῶν ὁ διάβολος, ἐποίει κθ
νομίζειν τὸν τοῦ θεοῦ ἄνδρα ἅπασαν ἐκπεπολεμῶσθαι
κατ' αὐτοῦ τὴν κτίσιν. ἵν' οὕτως αὐτὸν ἀποφέροι τοῦ ὀρ-
θοῦ φρονήματος. ἄνεμος ἦλθε φησίν, οὐχ ὡς πε-
φυκὼς ἀπὸ ἀνατολῶν ἢ δυσμῶν, ἀλλ' ἐκ τῶν τεσσάρων

ἄκρων προσπέσοι τῇ οἰκίᾳ, καὶ οὐ κάτωθεν χειρὸς ἔτι, ἀλλ᾽ ἄνωθεν τὰ βέλη:

λ Καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας· καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου καὶ ἐτελεύτησαν:

λ Ὀλυμπιοδώρου: Ἐπισημαίνου τὸ πικρὸν τῆς ἀγγελίας· οὐ γὰρ εἶπε καὶ ἔπεσεν ἐπὶ παῖδας τοὺς ἔνδον· καί τοιγε παῖδας ἀπώλλυεν ἔξω αὐτός φησιν· ἐσώθην δὲ ἐγὼ μόνος· ἀλλ᾽ ἰδικῶς ἐπὶ τὰ παιδία σου τῆς φύσεως ἀναμιμνήσκων, καὶ καιρίας αὐτῷ διδοὺς τὰς πληγάς:

λ Τοῦ ἁγίου Ἰω(άννου): Ἐξαίφνης ἄπαις ὁ πολύπαις γέγονε· βέλτιον μὴ λαβεῖν, ἢ οὕτω λαβεῖν· ἵνα μὴ καθ᾽ ἕνα τινὸς ἀποστερηθῇ· ὥστε ἡ παρελθοῦσα εἰρήνη καὶ γαλήνη, καὶ εὐημερία, τὴν συμφορὰν χαλεπωτέραν εἰργάσατο: αὐτοῖς ἐγένετο τάφος εἷς ἡ οἰκία:

ϛ Ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι· λα οὕτως ἀναστὰς Ἰὼβ διέρρηξε τὰ ἱμάτια αὐτοῦ:

:: Σύ(μμαχος) ἐφεστρίδα· Θ(εοδοτίων) ἐπενδύτην: Τοῦ ἁγίου Ἰω(άννου):

ϛ Ἐπὶ μὲν τῶν ἄλλων τὸ ἐσώθην ἐγὼ μόνος, ὅπως δήποτε λόγον εἶχεν· ἐνταῦθα δὲ πλέον ποιεῖ τὸ πάθος· εἰ γὰρ τῶν παίδων ἀπελθόντων, οὗτος ἐσώθην ἐγὼ μόνος· ὅθεν μοι δοκεῖ αὐτὸς ὁ διάβολος εἶναι ὁ ταῦτα ἀπαγγέλλων:

λα Ὀλυμπιοδώρου: Ἵνα μὴ δόξῃ ἀσυμπαθής τις εἶναι, ὃ δὴ καὶ φύσει καὶ ἀρετῇ ἀνοίκειον· καὶ γὰρ Δαυῒδ γεγένηται οὐ μόνον Ἀβεσαλὼμ καὶ τὸν Σαούλ· καὶ ὁ κύριος ἐπὶ Λα-

-ξάξω δακρύει· προσεκύνησε δὲ τῷ κῷ. αἰσχύνων τὸν
εἰπόντα εἰ μὴν εἰς πρόσωπόν σου εὐλογήσῃ σε :
ἄλλως :· Ἤλγησε μὲν διὰ τοὺς παῖδας· προσεκύνη-
-σε δὲ διὰ τὴν εὐσέβειαν· ἐκείρατο δὲ τὴν κόμην πεν-
θικῶς· οἷς μὲν γὰρ τὸ κομᾶν πρὸς κόσμον νενόμιστο·
οὗτοι ἐπὶ τοῖς πένθεσιν ἐκόμων τοῦ τῶν θριχῶν ἀπαλλό-
μενοι βάρους :· ἄλλως :· Διέρρηξε τὰ ἱμά-
τια καὶ αὐτὰ διδοὺς τῷ ῥαβδόχῳ· καὶ οἷα τις ἀθλητὴς
εἰς πάλην ἀποδυόμενος :·
λα Οὕτως ἀναστὰς ἰὼβ διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐκεί-
ρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ· καὶ πεσὼν χαμαὶ
προσεκύνησε τῷ κῷ καὶ εἶπεν. λβ αὐτὸς γυμνὸς ἐξῆλθον
ἐκ κοιλίας μητρός μου. τοῦ ἁγίου ἰω :·
Εἰ γὰρ μὴ τοῦτο ἐποίησεν, εἶπεν ἄν τις ὅτι ἀναίσθητον λα
αὐτὸν κατεσκεύασεν ὁ θεὸς ἐν τοῖς πάθεσιν· νῦν
δὲ δείκνυσιν ὅτι καὶ ἀλγῶν φιλοσοφεῖ :· πολυχρ :·
Τὸ οὕτως ἀκούσας πολλὴν καρτερίαν μαρτυρεῖ τῷ
δικαίῳ· ὡς γὰρ οὐδὲ διαταραχθέντα ἐπὶ τῇ τῶν λοιπῶν
καρτερία, πλὴν τὴν τῶν παίδων ἀκοὴν μηνύει· ἡ
νῦν δὲ οὐδὲν ἀπρεπὲς φαίνεται περὶ τοῦ φθεγγόμενος,
ἀλλὰ μόνον εἰς πενθικὸν μεταβαλλόμενος σχῆμα :·
Καὶ μετ' ὀλίγα :· Διὰ μὲν τῶν ἱματίων τὴν ἐπίτασιν τοῦ
πάθους δῆλον ποιῶν· διὰ δὲ τῆς ἀφαιρέσεως τῆς κόμης,
τὸ ἐπὶ τοῖς παισὶ πένθος γνωρίζων· πενθικὸν γὰρ

τὸ τοιοῦτον σχῆμα τὸ τηνικαῦτα· καὶ καταπάσατο δὲ γῆν
ὀδυρόμενος τῶν παίδων τὸν θάνατον:

σθο ὁ Χρυσοστόμου: Βαβαὶ φιλοσοφίας ὑπερβολή·
τῷ μὲν σχήματι τῇ φύσει τὸ χρέος ἀπέδωκε· τῇ δὲ
διαθέσει χωρεῖ πρὸς τὸν θεὸν καὶ κλίνει γόνυ καὶ
προσκυνεῖ γνησίως· καὶ φυσικῆς ἀσθενείας φιλοσο-
φίας ἐν μέσοις τοῖς πάθεσιν, ἐφάνη καὶ ἡμῖν τὸ τῆς
παραμυθίας σκευάσας φάρμακον· νόμος ἄνωθεν φησίν
ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγενέσθαι γυμνόν, ἀλλὰ
καὶ ἐξιέναι τοῦ βίου μετὰ τοῦ ὁμοίου σχήματος· τί οὖν
καινὸν πεπόνθαμεν φησί· φυσικῶς μὲν οὐδὲν ἔχοντες
εἰληφότες τὰ παρὰ θεοῦ. καὶ αὖθις ἀφαιρεθέντες,
ἐν μικρὸν ὕστερον τὴν στέρησιν ὑπομένειν ἀνάγκη:

σθο Πολυχρονίου: Ἀντὶ τοῦ καὶ τοιαῦτα παθὼν τῆς εἰς
θεὸν εὐσεβείας οὐκ ἀπέστη: Τοῦ ἁγίου ἰω:

σθο Πεσὼν ἐπὶ τὴν γῆν, ἐκεῖνον κατέβαλεν, ἔδειξε τὴν πίστιν,
ἔδειξε τὴν εὐλάβειαν: ὁ Χρυσοστόμου:

λβ Καὶ ἐφ᾽ οἷς πρώην ἔλαβον εὐχαριστῶ, καὶ ἐφ᾽ οἷς ἀ-
πώλεσα οὐ δυσχεραίνω:

[λγ] Γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ· [λδ] ὁ κύριος ἔδωκεν,
ὁ κύριος ἀφείλετο· [λε] ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτω
καὶ ἐγένετο· εἴη τὸ ὄνομα κυρίου εὐλογημένον:
οὐ κεῖται ἐν τῷ ἑβραϊκῷ: ὁ Χρυσοστό(μου):

λγ Γυμνὸς γὰρ εἰς τὸν αἰῶνα κατίησι λοιπόν:

Κλήμεντος: Οὐ κτημάτων γυμνός· τοῦτο μὲν γὰρ μι- λγ
κρόν τε καὶ κοινόν, ἀλλ' ὡς δίκαιος γυμνὸς ἄπεισι κα-
κίας τε καὶ ἁμαρτίας· καὶ τοῦτο μὲν οὐ τοῖς ἀδίκως
βιώσασιν ἀνεποῦς εἰδώλου: τοῦ ἁγίου Ἰω̅:

Τουτέστι μὴ γὰρ ταῦτα ἐμὰ ἦν, μικρὸν ὕστερον λγ
ἀποστήσεσθαι τούτων ἤμελλον· οὐδὲν γὰρ εἰσηνέγκαμεν
εἰς τὸν κόσμον δηλονότι, οὔτε ἐξενεγκεῖν δυνάμεθα:

Εὐσεβίου: Ὁ Ἰὼβ ὡς δίκαιος γυμνὸς ἄπεισιν κα- λγ
κίας καὶ ἁμαρτίας: τοῦ ἁγίου Ἰω̅:

Θαυμαστὸν ὅτι καὶ παρὰ θεοῦ νομίζων ἀφῃρῆσθαι εὐχα- λδ
ριστεῖ: τοῦ αὐτοῦ: Ἐγένετο πένης, καὶ λδ
μᾶλλον ἐπλούτησεν: Εὐσεβίου:

Ὁ δικαίως κτησάμενος λεγέτω, ὁ κ(ύριο)ς ἔδωκεν ὁ κ(ύριο)ς λδ
ἀφείλετο: Πολυχρονίου:

Τουτέστι στέργω τὰ παρὰ τοῦ θ(εο)ῦ γινόμενα, καὶ πλουτεῖν λδ
αὐτοῦ διδόντος βούλομαι, καὶ πένεσθαι μετὰ τῆς
αὐτοῦ βουλῆς ἐθέλω: Ὀλυμπιοδώρου:

Οὐ γὰρ οἶμαι δεῖν ἐξετάζειν δεσποτικὴν γνώμην: λε

Πολυχρονίου: Οὐδὲν ἀπηχὲς ἐφθέγξατο· φησὶ ψ
περὶ θ(εο)ῦ· ὑμνῶν δὲ ἄξιον κρίνω ἐφ' οἷς τότε
τὴν ἀρχὴν παρέσχεν· καὶ ἐφ' οἷς νῦν ἀφελέσθαι
ἐδοκίμασεν:

Ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ, οὐδὲ ἥμαρ-
τεν Ἰὼβ ἐναντίον τοῦ κ(υρίο)υ, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ,

κβ
καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ θεῷ· ἐγένετο δὲ ὡς
ἡ ἡμέρα αὕτη, λγ καὶ ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ:
: οὐ δὴ ηὐφρονεύετο πρὸς τὸν θεόν: λυμπιοδώρου:
ὁμιξῆ μὲν ὑπὸ θεοῦ παθεῖν τὰ δεινά· προσκυνεῖ
δὲ καὶ εὐχαρίστως ἀποδίδωσι τὴν παρακαταθήκην
καὶ ἄλλοις τοῖς ἀκοντίοις τοῖς διαβολικοῖς κατοξέων
τὸν ἀθλητικόν: τοῦ αὐτοῦ: τοσούτοις φησί
πᾶσι τοῖς τῶν συμφορῶν κύμασιν, οὐδὲ κατὰ διάνοιαν
τι ἀσεβὲς περὶ θεοῦ ὁ Ἰὼβ ἐλογίσατο· τοῦτο γὰρ
σημαίνει τὸ ἐναντίον τοῦ κυρίου. ἄνθρωπος μὲν εἰς πρόσ-
σωπον, ὁ δὲ θεὸς εἰς τὴν καρδίαν βλέπει:
πολυχρονίου: ὑπὲρ τοῦ οὔτε ἐν τῇ τῶν παίδων
ἀκοῇ τὴν ἀγανάκτησιν τι βλάσφημον φθέγξασθαι περὶ
λϛ θεοῦ: λυμπιοδώρου: τὸ καὶ ἔδοξε συμφορὰ
τοῖς ἀνθρώποις, ἀλλ' ἐναντίον κυρίου ἄμεμπτος:–
λζ λυμπιοδώρου: τουτέστιν οὐκ ἔσχεν ἀσεβῆ
περὶ θεοῦ ἔννοιαν. σαφέστερον γὰρ ὁ ἑβραῖος, οὐκ ἐμέ-
μψατο φησὶ τῷ θεῷ: λυμπιοδώρου:
ὁ δὲ ἐγένετο ὡς ἡ ἡμέρα αὕτη· ἀντὶ τοῦ ἦκε τις ἡμέρα,
ἐν ᾗ τὸ θέατρον ὤφθη: τοῦ αὐτοῦ:
λη μὲν θεὸς ἀόρατος πάσῃ γενητῇ κτίσει, ἄποσος, ἀ-
μεγέθης, πανταχοῦ παρών, καὶ τοῖς πᾶσιν ἐφιστάμενος.
τὰ πάντα περιλαμβάνων, καὶ οὐκ ἔστι τόπος ἔξω τῆς
αὐτοῦ δεσποτείας, καὶ πάρεστιν ἑκάστῳ κατὰ προσηκ.

τοῖς μὲν ἄλλοις ἀγγέλοις, ὡς ἄλλοις ἀπορρήτους φωνὰς ἐπιταγμάτων ἐκπέμπων· τῷ πονηρῷ δὲ ὡς πονηρῷ οὔπω ἐπίσης παιδευτικὰς αὐτοῦ ἀφείς· οὐ γὰρ δύναται τινὰ πειράζειν ὁ διάβολος, εἰ μὴ ὅτε συγχωρηθείη παρὰ θεοῦ. καὶ οὐχ ἵστανται μὲν εἰς τοὺς ἐπουρανίους τόπους μὴ γένοιτο· ἐκπέπτωκε γὰρ ἐξεκυλίσθη· πῶς γάρ φησιν ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων· λέγεται δὲ παρίστασθαι μετὰ τῶν ἀγγέλων, ὡς καὶ αὐτὸς ἐν τοῖς τόποις τῆς δεσποτείας τοῦ θεοῦ τυγχάνων, καὶ ἄνα μὲν ἐπιτετράφθαι οὔπω ἐκριφθῆναι τοῦ κατὰ τῶν ἀνθρώπων πειρασμοῦ· οὐ λείπουσι γὰρ τινὰ ταύτην ἐκπληροῦν τῷ θεῷ, ἀλλ' ἐπειδήπερ ὑπὸ τῆς τε ὁρμῆς καὶ τῆς κακίας εἰς τοῦτο κατηνέχθη καὶ μέμηνε καθ' ἡμῶν, συγχωρεῖται ὑπὸ τοῦ τὰ ἡμέτερα καλῶς διοικοῦντος πρὸς ἃ φέρειν δυνάμεθα τοὺς πειρασμοὺς ἡμῖν ἐπάγειν· ταῦτα οὖν αὐτὰ διατυπώσασα ἡ γραφὴ διὰ τὴν ἡμετέραν νόησιν, κατὰ σχηματισμὸν τὸν λόγον προήγαγεν:

Καὶ ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ, παραστῆναι ἐναντίον τοῦ κυρίου, καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν, παραστῆναι ἐναντίον τοῦ κυρίου, καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ:

+ τ. δ. θ. ὅτι ἡ στιχεῖσα οὐκ ἔστι τῶν ἑβδομήκοντα· ἀλλ' ἀφ' ἑτέρας ἐκδόσεως προσετέθη τούτοις, ὡς δὴ τοῦ ἑβραϊκοῦ οὕτως

ἔχοντος :· τοῦ ἁγίου Ἰωάννου :·

λη Οἱ μὲν ἄγγελοι ἐθαύμαζον· ὁ δὲ ἐχθρὸς διεπρίετο καὶ
ἀνεμόχλευσε μηχανάς :· τοῦ αὐτοῦ :·

λη Τί καθ' ἑκάστην ἡμέραν παρισταμένους αὐτοὺς εἰσάγει·
ἵνα μάθωμεν ὅτι οὐ καταφρονοῦντα τὰ παρόντα, ἀλλὰ
λόγον δίδωσι τῶν καθ' ἑκάστην ἡμέραν γινομένων·
καὶ καθ' ἑκάστην ἀποστέλλονται ἢ οἰκονομοῦντες
οἱ ἄγγελοι εἰ καὶ ἡμεῖς οὐκ ἴσμεν: ἀπολιναρίου:
Οἱ μὲν ἄγγελοι ἐξεπλήττοντο τῆς ἀνδρείας τὸν δίκαιον·
ὁ δὲ διάβολος δακνόμενος ἐπὶ τῇ καρτερίᾳ, ἐλέγχειν πεῖ-
ραν προσάγειν ἐβούλετο· ὁ δὲ θεὸς ἐθαυμάζετο τῆς
ἀρετῆς τὸν δίκαιον· ἧς καὶ τοῖς ἄλλοις τὴν ἀπόδειξιν πα-
ρείχετο ἐν τῇ τῶν παθῶν καρτερίᾳ, ὅπου γε καὶ κατὰ
τοσαύτην πεῖραν κακῶν, τῶν καλῶς ἐγνωσμένων
οὐκ ἀπέστη· ὁ γὰρ εὐσεβὴς τὸ ζῆν δὲ ἔχειν ἀνάγκη·
ζῆν φησὶν ἔχεται τῆς ἑαυτοῦ τελειότητος :· Ἰουλιανοῦ :·

λθ Ἦλθεν ἐν μέσῳ αὐτῶν οἱονεὶ συνειλημμένος, κα-
τῄσχυντο γὰρ καὶ φυγεῖν ὥσπερ ἠβούλετο, ὡς δια-
κόψας αὐτῷ τὴν πρόνοιαν τὴν ἐπὶ τοῦ Ἰὼβ διὰ τῆς
ἐξαιτήσεως :· Εὐαγρίου :·

λθ Ἐν τούτῳ ἐν μέσῳ λέγεται εἶναι τῶν ἀγγέλων ὁ διά-
βολος ὡς διακόψας αὐτῶν τὴν πρόνοιαν τὴν ἐπὶ
τοῦ Ἰὼβ διὰ τῆς ἐξαιτήσεως :· Ὀλυμπιοδώρου :·

μ Ἐρωτᾷ ὁ θεὸς ὅπως αἰσχυνθεὶς διεπονεῖτο· ὅταν δὲ ἐρωτ

ἤδη ἀγνωμονοῦντα, τότε ἐλέγχει κακουργοῦντα ὡς
ἠλέγξε τὸν κάϊν: · τοῦ αὐτοῦ · μ'

Ὅτι μὲν ἄγγελοι προσδιαλέγονται τῷ διαβόλῳ,
δηλοῦται μὲν καὶ ἐν τῷ παρὰ ζαχαρίᾳ τῷ προ-
φήτῃ. ἔνθα φησὶν ὁ ἄγγελος τῷ διαβόλῳ ἐπιτι-
μήσαι ἐν σοί· ὁ ἐκλεξάμενος τὴν ἱλήμ· εἴρηται
δὲ καὶ ἐν καθολικαῖς ὅτε μιχαὴλ περὶ τοῦ μωσέως
διελέγετο σώματος καὶ τὰ ἑξῆς: · καὶ
μετ' ὀλίγα · · κἀνταῦθα τοίνυν ἔστιν ἐννοεῖν,
ὡς τῷ δεσποτικῷ προστάγματι ἅγιός τις ἄγγελος
ὑπηρετούμενος τὴν διάλεξιν ποιεῖται πρὸς τὸν διά-
βολον· καὶ ὥσπερ εἴ τις δορυφόρος ἄρχοντος ἀπό-
κρισιν ἐκ τοῦ καλοῦντος φέροι πρός τινα· τοῦ ἄρχον-
τος εἶναι τὴν ἀπόκρισιν οἴδαμεν· οὕτω καὶ τῶν ἁ-
γίων ἀγγέλων· αἱ φωναὶ κατὰ γνώμην θεοῦ προσφε-
ρόμεναι, αὐτοῦ εἶναι πιστεύονται τοῦ θεοῦ· διαλέγεται
τοίνυν ὁ θεὸς τῷ διαβόλῳ διὰ τῶν ἁγίων ἀγγέλων, οὐ-
κ ἀξιῶν αὐτὸν λόγου, ἀλλὰ διὰ τὸν πειραζόμενον: ·

Πόθεν σὺ ἔρχῃ; τότε εἶπεν ὁ διάβολος ἐνώπιον τοῦ κυρίου. οἱ ο' καὶ
διαπορευθεὶς τὴν ὑπουρανόν, καὶ ἐμπεριπατήσας
τὴν σύμπασαν πάρειμι· εἶπε δὲ ὁ κύριος πρὸς τὸν διά-
βολον· προσέσχες οὖν τῷ θεράποντί μου ἰώβ, ὅτι
οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς ἄνθρωπος ἄ-
κακος, ἀληθινός, ἀληθινός, ἄμεμπτος, θεοσεβής:

μα Εὐφρείου: Διὰ τοῦτο οὐκ ἐπεισῆλθε τῷ
ἰὼβ ὁ διάβολος, ἐπειδὴ οὐκ ἦν ὑπουργήσιος, τὸ πο-
λίτευμα ἐν ὅπλοις πεπληρωμένος· ψεύδεται οὖν ἐν
πᾶσι λέγων ἐκπεπληκέναι ὁ διάβολος· τῶν γὰρ φιλο-
θέων οὐχ ἅπτεται: τοῦ ἁγίου ἰώβ:

π Τί κομπάζεις ὦ δείλαιε, μὴ τὸν ἐμὸν οἰκέτην ἰὼβ,
σὺ ποιῆσαι δεδύνησαι· εἶδες ὅπως εὐγνωμοσύνῃ τῇ
εἰς ἐμὲ παρῆλθε τὸ γεγονός: Ὀλυμπιοδώρου:

υυ Πολλοῖς ἐγκωμίοις αὔξει τὸν δίκαιον, κατὰ τοῦ ἀθλη-
-τοῦ πάλιν ἐγκαλούμενος τὸν ἀνταγωνιστήν:

μβ Καὶ αὐτῷ προσέθηκεν τὸν στέφανον τῆς ἀκακίας.
καίτοι μὴ μηκαθῆς τούτου πρότερον· ἐπειδὴ τὰ κακὰ
εὐχαρίστως ἤνεγκεν εἰπών· εἰ τὰ ἀγαθὰ ἐδεξά-
μεθα ἐκ χειρὸς κυρίου τὰ κακὰ οὐχ ὑποίσομεν· ἔτι
οὖν καὶ δοκεῖ φθέγξασθαι τολμηρόν, τὴν ἀκακίαν
προσλελόγισται. Φησὶ γοῦν καὶ αὐτὸς ὕστερον ἰδὲ
δὲ ὁ κύριος τὴν ἀκακίαν μου: Διδύμου:

μβ Ἐπέχεται δὲ κυρίως κακίας ὁ πεφυκὼς αὐτὴν δέχε-
σθαι· τότε γὰρ καὶ ὁ ἔπαινος χώραν ἔχει· ὅτι δυ-
νάμενος εἶναι φαῦλος, ἀπέχεται κακίας μίσει
τῷ πρὸς αὐτήν:

Ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ· ἔτι δὲ ἔχεται ἀκα-
κίας· σὺ δὲ εἶπας τὰ ὑπάρχοντα αὐτοῦ διακενῆς
ἀπολέσαι. ὑπολαβὼν δὲ ὁ διάβολος εἶπε τῷ

› κῶ, δέρμα ὑπὲρ δέρματος πάντα ὅσα ὑπάρχει
› ἀνθρώπω: ⁘ ἀλλὰ καὶ ἀνέσεισάς με
ἐν αὐτῷ τοῦ καταποντίσαι αὐτοῦ δωρεάν:

ὀλυμπιοδώρου: Τὸ διακενῆς, πρὸς τὸ ἀπ᾽ αὐτοῦ ἁρμοστέον, ἵν᾽ ᾖ τοιοῦτον ἢ τὸ λεγόμενον. σὺ δὲ εἶπας διακενῆς· τουτέστι ματαιολογιζόμενος, ὡς ἐὰν ἀφαιρεθῇ τὰ ὑπάρχοντα, εἰς βλασφημίαν ἐκφέρεται, ἢ διακενῆς ἀπολέσαι· ἐπειδὴ μὴ δι᾽ ἁμαρτίας ἀπώλλυτο. ἢ διακενῆς, ὅτι οὐκ εἰς εὐποιΐας: μτ

τοῦ ἁγίου ἰωάννου:
Οὐκ ἠθέλησας ὦ ἀναίσχυντε ὡς θεῷ πιστεῦσαι· ἀπὸ τῆς πείρας οὐκέτι πιστωθῆναι λοιπόν: μτ

τοῦ αὐτοῦ: Οὐκ εἶπεν ὅτι διακενῆς ἀπώλετο· ἀλλὰ σὺ εἶπας ἀπολέσαι διακενῆς, ἐπειδὴ αὐτὸς μισθὸν οὐ τὸν τυχόντα ἔλαβε τῆς ἀπωλείας: μτ

ἀπολιναρίου: Οὐκ εἰς δέον σοι φησὶ προυχώρησεν ἡ κατ᾽ αὐτοῦ κακία. τὸ μὲν σὸν ὑπόλαβε κατὰ τὴν προτέραν ἔννοιαν κεῖται. αὐτίκα τούτων οὕτως γινομένων, ἔτι κατὰ τοῦ δικαίου ἐβουλεύετο: μτ

ὀλυμπιοδώρου: Ἐλεγχθεὶς ὁ διάβολος κἀνταῦθα πάλιν ἀναισχυντεῖ, καὶ φησίν, οὐδὲν μέγα ἀλλοτρίων σωμάτων πεπονθότων οὐκ ἐβλασφήμησεν, δεδοικὼς μήποτε παροργίσῃ, καὶ κατὰ τοῦ ἰδίου σώματος ἐνέγκῃ τὴν πληγήν· τοῦτο γάρ ἐστιν ὅ μοτ

λέγει δέρμα ὑπὲρ δέρματος· καὶ γὰρ πολλάκις
τις ἵνα μὴ εἰς ὀφθαλμὸν βλαβῇ τὴν χεῖρα προτείνει,
καὶ εἰς τὸ ἧττον τίμιον μέρος δέχεται τὴν πληγήν,
ἵνα σώσῃ τὸ κυριώτερον :· Ἀπολιναρίου :·

μγ Τὸ δέρμα ὑπὲρ δέρματος καὶ τὰ ἑξῆς, τοιοῦτον ἔχει
τὸν νοῦν· τὸ θαυμαστόν φησιν εἰ τὰ ὑπάρχοντα προ-
είκατο, ὁπότε καὶ σώματος πολλάκις προϊέμεθα,
καὶ πληγῆς φερομένης τυχὸν κατὰ τοῦ ὀφθαλμοῦ ἢ τῆς
κεφαλῆς, τὴν χεῖρα ἐντιθέντες, τὸ κυριώτερον
μέρος τῆς πληγῆς ἀπηλλάξαμεν· καὶ ἅπαντα δὲ
τὸν πλοῦτον ἑτοίμως προτείνομεν ὑπὲρ τῆς ἑαυτῶν
σωτηρίας :·—

› Ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει· οὐ μὴν δέ, ἀλλὰ ἀπο-
› στείλας τὴν χεῖρά σου, ἅψαι τῶν ὀστῶν αὐτοῦ, καὶ
› τῶν σαρκῶν αὐτοῦ· εἰ μὴν εἰς πρόσωπόν σε εὐ-
› λογήσει· εἶπε δὲ ὁ κύριος τῷ διαβόλῳ· ἰδοὺ παραδί-
› δωμί σοι αὐτόν :· ∴ ἢ εἰ οὐκ εἰς πρό-
σωπόν σου εὐλογήσει σε : Ὀλυμπιοδώρου :·

με Αἰτεῖ τοῦ πληκτικῶς αὐτοῦ πειρᾶξαι· δείκνυσι
δὲ καὶ ἐντεῦθεν ὡς οὐδεμίαν ἔχει καθ' ἡμῶν ἐ-
ξουσίαν ὁ διάβολος, εἰ μὴ ὑπὸ θεοῦ συγχωρηθείς
κατὰ τὰς αὐτοῦ περὶ ἡμᾶς ἀρρήτους οἰκονομίας:

με τοῦ ἁγίου Ἰω(άννου): Τουτέστιν, ἀλλὰ μὴν εἰ τὴν
ψυχὴν οὐ δίδως λαβεῖν· τοῦτο γὰρ ἐνέφηνε ξητῶν

διὰ τοῦ λέγειν πάντα ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει·
τὸ γὰρ στόμα πλῆρες φησίν :· τοῦ αὐτοῦ :
ὥστε ἂν ἐλεεῖν μὲν δύναται αὐτὸν εἰ λάβοι συγχώ- με
ρησιν, κακὸν δὲ ποιῆσαι δύναται :· διδύμου:
ἴσθι γὰρ εἰ καὶ ἐξέστησεν ὅτι εἰ μὴ θεὸς ἐπιτρέψῃ, με
οὐδὲν αὐτὸς καθ' ἅτινος δύναται, τῆς ἐπιτροπῆς συγ-
χωρουμένης, ὅτι σοφὸς γίνεται ἀπὸ παρὰ θεοῦ γι-
νομένη :· τοῦ ἁγίου ἰωάννου :·
οὐχ ἁπλῶς τῶν σαρκικῶν εἶπεν, ἀλλ' ὥστε καὶ ἐνδοθ ξ
τεθῆναι τὸ κακόν :· ἀπολιναρίου:
ὁ εὐλογήσει πάλιν κατὰ τὴν ἐγγίστην εὔνοιαν υοο
εὐφήμως κεῖται· ὁ γὰρ ἑβραῖος σαφῶς βλασφη-
μίαν ἔχει :· ὀλυμπιοδώρου :· σ
τουτέστι τότε σε φανερῶς βλασφημήσει :·
τοῦ αὐτοῦ :· πάλιν ὁ φιλάνθρωπος θεὸς
τοὺς οἰκείους στεφανίτας ἀγγέλοις καὶ ἀνθρώποις
δημοσιεύειν βουλόμενος ἐπιτρέπει καὶ τοῦτο :
τοῦ ἁγίου ἰωάννου :· ἐκ τούτου μαν- μϛ
θάνομεν ὅτι ὅσα δύναται κατὰ συγχώρησιν
δύναται· δοκεῖ δὲ αὐτῷ τὰς χεῖρας ἐκτείνειν
τὸν ἀντίπαλον μᾶλλον :· ἵνα κἀκεῖνος πλέον μϛ
εὐδοκιμήσῃ καὶ μὴ αἰσχυνθῇ :· διδύμου:
ἐπιτρέπει καὶ τοῦτο ὁ κύριος πρὸς ἡμετέραν ὠφέλειαν, μϛ
ἵνα χαρακτὴρ καὶ τύπος ἀνδρείας κατασταθῇ ἐν στήλο-

-τερατείαις ὁ Ἰὼβ τεθεὶς σκοπὸς τῆς τοιαύτης ἀρετῆς
καὶ τοῖς τότε μεταγενεστέροις ὑπάρξῃ ὃ καὶ γέγονεν.
αὐτοῦ γάρ ἐστι τοῦ ἀθλητοῦ καὶ ἀγωνιστοῦ λέγοντος
ὅτι οἶδα ὅτι δίκαιος ἀναφανοῦμαι. παραδιδοὺς
δὲ ὁ κύριος φησί· μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον.
ὅπερ νοηθείη οὕτως. παρακοπὰς πολλάκις καὶ τοῦ
ἡγεμονικοῦ διαστροφὴν ἔν τισιν ὁρῶμεν γινομένας,
δι' οὓς παρ' αὐτὴν οἶδε λόγους ὁ τὸ κρυπτὸν ἐπιστάμενος
θεός. τούτων οὕτω παραδοθέντων ὅ φησιν ὁ κύριος,
τοῦτό ἐστι μὴ κάρον αὐτῷ καὶ διαστροφὴν τοῦ ἡγε-
μονικοῦ ἐργάσῃ, ἀλλὰ τήρησον αὐτοῦ καὶ δσε
ὧν καὶ ἐξῃτήσω:

Μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον. καὶ ἐξῆλθεν
ὁ διάβολος ἀπὸ προσώπου τοῦ κυρίου:

μξ Ὀλυμπιοδώρου: Ἀντὶ τοῦ οὐ καθίεταί σοι
ἀποκτεῖναι αὐτόν, ἤγουν τὸ εἰς παραφροσύνην αὐτὸν
αὐτὸν ἀγαγεῖν. ὃ καὶ μάλιστα ἐσπούδαζεν ὁ διάβολος, ἵνα
καὶ ἄκοντα αὐτὸν τοῖς τῆς βλασφημίας περιβάλῃ
ῥήμασιν. Πολυχρονίου:

μξ Ὡς εἰς σωφρόνων ἔκστασιν αὐτὸν ἀγαγεῖν βουλόμενον
ἐκώλυσεν. εὕροι δ' ἄν τις ἀληθὲς τὸ λεγόμενον
καὶ ἐπὶ τῶν εὐαγγελικῶν· οὐ γὰρ ἔπειθον οἱ δαίμονες
ἐν τοῖς χοίροις εἰσοικισθέντες, ἀπῶσαι αὐτοὺς
ἀπώλεσαν πρὶν τοῦ Χριστοῦ τὴν ἐπιτροπὴν ἐδέξαντο.

ἐντεῦθεν δὲ δῆλον ὡς κατὰ ταυτὸν ἅπαντα συνέβη. οὐ γὰρ ἐν διαφόρῳ τῷ χρόνῳ, ἐγένετο τὰ προσηνεχθέντα, ἐν ἀπειρίᾳ τοσαύτῃ ἐτύγχανον οἱ παῖδες· ἀθρόον δὲ τὸ δεινὸν ἐπήνεγκεν ὁ ἐχθρός, ὡς ἂν καὶ χαλεπωτέρα γένοιτο τοῦ πάθους ἡ τραγῳδία: ἀπολιναρίου:

Ἔξεισι δὲ ὁ διάβολος λοιπὸν βουλευόμενος κατὰ τῆς ψυχῆς μηχανήσασθαι. μαίνεται γὰρ ὁ διάβολος, ὡς εἰς παραφροσύνην αὐτὸν ἄγειν ἠβουλήθη, ἵνα καὶ ἄκοντα τοῖς τῆς βλασφημίας περιβάλῃ ῥήμασιν. ὅπερ οὐκέτι συνεχώρησεν ὁ θεός. ἵν' ἐρρωμένῳ τῷ λογισμῷ τὴν ἐν τοῖς πάθεσιν ἐπιδείξηται ἀνδρείαν. τινὲς δὲ οὕτω φασὶ τοῦ ἐλέφαντος αὐτῷ τὸ πάθος ἐπενηνέχθαι.

Καὶ ἔπαισε τὸν Ἰὼβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν μέχρι κεφαλῆς:

ἐλέφαντι: ὀλυμπιοδώρου:

Μετὰ τὴν τῶν κτημάτων καὶ τῶν οἰκετῶν καὶ τῶν παίδων ἀφαίρεσιν, τότε τὸ τῆς χαλεπῆς ἕλκος ὁ διάβολος ἐπήγαγεν, ὡς δριμεῖς μὲν ἔχειν τὰς χώρας ἐν τοῦ σώματος καὶ ἐπιδάκνοντας· ἀπορίαν δὲ εἶναι παντελῆ τῶν τε ἀναγκαίων καὶ τῶν νοσοκομούντων· καὶ τῆς μὲν πόλεως κεχωρισμένος ἔξω καθῆσθαι· τῇ δὲ χειρὶ τοὺς μὲν σώματος χώρας οὐχ ὑπεδέχετο, ἵνα μὴ καὶ μᾶλλον ἀποκναίοιτο, ἀλλ' ὀστράκῳ τούτους ἀπέξεεν:

λέξ ἐν τῷ ἕλκει Πονηρῷ, παροξυτόνως ἀναγνωσθῇ, ἵνα σημαίνῃ τὸ ἐπαχθὲς καὶ ἐπίπονον:

Καὶ ἔλαβεν ὄστρακον ἵνα τὸν ἰχῶρα ξύῃ, καὶ αὐτὸς ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως :

∴ οὗτος ἦν πολύς · ∴ ε ἐπὶ πολλοῦ :

Ὀλυμπιοδώρου : Τίνος ἕνεκεν οὐχὶ χερσὶν οὐδὲ παντελῶς ἀπέξεεν ὥστε μὴ τὴν θεραπείαν μείζονα γλυκαίνουσαν ἀηδίας ὑπόθεσιν· ὁ δὲ αὐτὸς ἑαυτὸν θεραπεύων οὐ κατεχόμενος, πῶς ἂν ἑτέρων ἐτύγχανεν; αὐτὸς ἑαυτοῦ δήμιος ἦν, οὐ δορυφορῶν ταῖς πληγαῖς· ἀλλὰ τὴν συρρέουσαν σηπεδόνα περικόπτων :

Ἀπολιναρίου : Πολλοῦ γὰρ τοῦ ἰχῶρος φερομένου ἐν τῇ ἐκροῇ, ὥστε δριμυτέρους ἐμποιεῖν τοὺς πόνους, τὸ περιττὸν ἀποξύεσθαι διὰ τῶν ὀστράκων ἠβούλετο· ὁ δὲ ἑβραῖος τῷ καθῆσθαι ἐν αὐτῷ ἔχει : Καὶ μετ᾿ ὀλίγα : Περιέπεσε διὰ τῶν παθῶν ὁ Ἰώβ, καὶ ἐφίετο μὴ πεῖραν εἶναι τὰ συμβαίνοντα, ἀλλὰ παρὰ θεοῦ τιμωρίαν, ἀκοινώνητος ὢν τοῖς πολλοῖς· μᾶλλον δὲ βαρὺς ἅπασι λογιζόμενος· καὶ τοῦτο τὴν καθ᾿ αὐτοῦ ἁμαρτίαν δηλοῖ· πρὸ τῆς πόλεως ἐπὶ τῆς κοπρίας ἐκαθέζετο, ἐξιλεούμενος τὸν θεὸν μή ποτε ἐν ἀδήλοις ἡμαρτηκὼς ἀγνοοίη· ἐφ᾿ οἷς ἐφίετο δεῖν εὐμενῆ καταστῆναι τῷ πενθικῷ σχήματι τὸν τιμωρησάμενον : Ὀλυμπιοδώρου :

μη. Πολλῶν τῶν παθῶν τὴν βαρύτητα μηνύει· ὡς γὰρ μηκέτι τῶν πολιτῶν ἤτοι τῶν συγγενῶν φερόντων τοῦ

πάθους τὴν ψυχὴν, ἐξῆλθε τῆς πόλεως ὁ τοῦ κόσμου ἀπό-
τειος, ὃν οὐχ οὕτω λαμπρὸν ἡ βασιλεία κατέστησεν ἢ
πορεία ἀπέδειξε· τὸ δὲ ἐπὶ πορείας καθῆσθαι, ἐξι-
λεουμένου ἦν τὸν θεὸν, μή πως τί ἄκων ἥμαρτεν:

Οὐκ ἐῶνται γὰρ ἐν πόλεσιν ὁμοδίαιτοι τοῖς ἄλλοις οἱ ἐλε- μη
φαντιῶντες: τοῦ ἁγίου Ἰωάννου:

Τίνος ἕνεκεν ἐπὶ πορείας, ὥστε τὰ καταπίπτοντα μη
συγκαλύψαι τῇ θημωνίᾳ. τίνος δὲ ἕνεκεν αἴθριος, ὥσ-
τε μὴ ἀποπνῖξαι ἑαυτὸν τῇ δυσωδίᾳ, ὅπερ ἂν ἔπαθεν·
εἴγε ἐν οἰκίσκῳ τινὶ κατακέκλειστο: Ἰουλιανοῦ:

Οὐδὲ γὰρ οἶκον αὐτῷ καταλείπει: μη

Χρόνου δὲ πολλοῦ προβεβηκότος, εἶπεν αὐτῷ ἡ γυνὴ
αὐτοῦ: Οὐ κεῖται αὐτῷ ἑβραϊκῶ:
λ θ καὶ εἶπεν: Ὠριγένους:

Ὅρα τὸ κακοῦργον· ὅτε πολὺς διῆλθε χρόνος τότε ἐπιτί- ooo
θεται. τότε γὰρ μάλιστα τῆς ἀλγηδόνος ἐλέγχεται·
τότε μάλιστα τῆς δυνάμεως ἐξασθενεῖ. διπλᾶ τὰ
τῆς ἀσθενείας τῶν. τῷ τε τὸν φέροντα ἀσθενέστερον
γενέσθαι. τῷ μηκέτι τοῦ χρόνου. καὶ τῷ τὴν ἐλπίδα
ἀπογνωσθῆναι μᾶλλον: Καὶ μεθ' ὀλίγα:

Μὴ τοίνυν τοῦτο ἴδωμεν ὅτι γυνή, ἀλλὰ τί συμβουλεύει.
τοῦτο καὶ τοῖς νῦν ἀνθρώποις παραινῶν πρὸς τὰ τῶν προ-
σώπων ἀξιώματα βλέπειν, ἀλλὰ πρὸς τὸν τρόπον
τῆς συμβουλῆς, γυνή ἐστιν ἵνα βοηθῇ. οὐχ ἵνα

ὑποσκελίξει: Ὀλυμπιοδώρου:

μθ Ὁ πανοῦργος διάβολος ὁ λέων ἱκανῷ τῷ χρόνῳ κατηρ-
γάσατο τὸν δίκαιον, τότε καὶ τῇ τῆς γυναικὸς ἀσθενείᾳ
συνεργεῖται· τετήρηται γὰρ ὑπ' αὐτοῦ ὥσπερ ὕστερον μη-
χάνημα κατά τινος ἀσείστου τείχους· τὸ δὲ ὅλον τῶν
θεοῦ συγχωρήσεως· διὸ καὶ τὴν γυναῖκα οὐδεὶς ἐλεεῖ·
ἐφ' ᾧ διὰ πάντων ἀγωνισάμενον τὸν ἰὼβ στεφανίτην
ἀναδειχθῆναι: Τοῦ ἁγίου ἰωάννου:

μθ Ὅρα διαβολικὴν ἀπάτην, ἐνενόησε τὴν εὔαν, τοῦτο
φησὶ πρῶτον καὶ ἤνεγκεν ἄνθρωπον· τοῦτο καὶ τοῦτον περιγε-
νέσθαι δυνήσεται: Θεοφίλου ἐπισκόπου

μθ ἀλεξανδρείας: Ἐκίνησεν αὐτοῦ τὴν γυ-
ναῖκα ὁ διάβολος, καὶ ὡς πολεμικὸν ὄργανον ἤρχετο
πρὸς τὸν ἄνδρα ἡ γυνή, πολεμικὰ φέρουσα ῥήματα,
κἀγὼ πλανομένη καὶ λάτρις: Διδύμου:

μθ Ἀπονήσας ἐν τῶν τοσούτων προσβολῶν ὁ διάβολος καὶ
μὴ δυνηθεὶς αὐτὸν καταβαλεῖν ἐκ τῆς ἀφαιρέσεως
τῆς περιουσίας, καὶ τῆς τῶν τέκνων φθορᾶς· ἔτι γε
μὴν δὲ ἐκ τῆς ἀμέτρου κακώσεως τοῦ σώματος, τεῖθον
αὐτὸν πλέκει παρασκευάζει τὴν τῆς γυναικὸς ὁμιλίαν.
ἴσως διὰ ταύτης τὸν ἰὼβ ὡς καὶ διὰ τῆς εὔας τὸν ἀδὰμ
ἀπατήσειν· ἐκείνου γὰρ πολλοῦ προβεβηκότος, ὡς
οὐδὲ αὐτὸς δεδύνηται πείθειν τὸν ἀθλητὴν τὰ τῆς ὀλι-
γωρείας προφέρει ἡ γυνὴ ῥήματα:

Μέχρι τίνος

φ

Μέχρι τίνος καρτερήσεις λέγων, ἰδοὺ ἀναμενῶ χρόνον
ἔτι μικρὸν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτη-
ρίας μου :· ∴ ἔτι ἐμμένεις τῇ ἁπλότητί σου :·

Ὀλυμπιοδώρου: Τί τὸ παρὸν ἀεὶ διωθούμενος ἀπὸ τῶν μελλόντων αὐτὸν παραθαρσύνεις εἰκῇ :· φ

Ὠριγένους: Τὸ πάντων μηχανημάτων προλαβόντων ἰσχυρότερον, ὕστερον ὁ διάβολος προφέρει· εἶτα καὶ ταύτην ἔλαβες· εἶτα μετὰ τῶν παίδων κατέχωσας. τινὲς δέ φασι οὐδὲ τῆς γυναικὸς εἶναι τὰ ῥήματα· ἀλλ' αὐτὸν εἰς αὐτὴν τυπωθέντα ταῦτα φθέγγεσθαι. οὐδὲ γὰρ ἦν τὴν γυναῖκα τοῦ Ἰὼβ τοιαύτην εἶναι, πλὴν εἴ τις λέγοι τῇ συμφορᾷ περιτραπεῖσαν τοιαύτην αὐτὴν γεγενῆσθαι :· Καὶ μετ' ὀλίγα: Εἰκὸς οὐ ταύτην πρώτην γεγενῆσθαι τὴν συμβουλὴν, ἀλλὰ πολλάκις πολλὰ τούτων ἀνοήτως χαλεπώτερα παρὰ τῆς γυναικός· ὅρα διαβολικὴν ἀπάτην, ἐνενόησε τὴν Εὔαν, τοῦτο φησὶ τὸν πρῶτον κατήνεγκεν ἄνθρωπον, τοῦτο καὶ τοῦτον περιγενέσθαι δυνήσεται· ἀλλ' ὦ ἄθλιε καὶ ἀνόητε, ἐκεῖνον ἥττονα γαστρὸς εὑροῦσα, τὸν ἐπαγγελτὸν ἀπάτης· τοῦτον δὲ ὁρᾷς φιλοσοφίαν, καὶ αὐτῆς περιγινόμενον τῆς φύσεως· οὐ κατέκαμψεν αὐτὸν χρημάτων ἀπώλεια, οὐδὲ παίδων θάνατος ἄωρος, οὐδὲ βάσανος σώματος ἀπαραμύθητος. οὐδὲ χρόνου μῆκος τοσοῦτον· καὶ τῶν ὑπὸ πραγμάτων· οὐ κάμνου φ

ταῦτ' οὖν ὑπὸ λόγων προσδοκᾷς χειρώσασθαι:·

τοῦ αὐτοῦ:· Τί τὸν ἀθλητὴν ἐκλύειν, τί καταστέλλεις τὰς χεῖρας, δέον ἐπαίρειν κατὰ τὸν ἀπόστολον ἔτι μικρόν, ἔτι μικρόν:· Ὀλυμπιοδώρου:·

μ̄ Τί παισὶ γὰρ εἶχον τὴν ἐλπίδα τῆς διαμονῆς οἱ πάλαι· καὶ τὴν μέλλουσαν ἐπαγγελίαν ἀνάστασιν ἐμιμοῦντο θνητήν:· τοῦ ἁγίου Ἰω(άννου):·

ν̄ Οὐ μέμνηται τῶν χρημάτων, οὐδὲ τῶν θρεμμάτων, ᾔδει γὰρ μικρὰ λείψανα, ἀλλὰ τὸ μάλιστα αὐτοῦ καθάψασθαι ἴσχυε· ποῖ φησὶ προσδοκᾷς ἔσεσθαί σοι μεταβολήν, μήτ' οὓς ἀφανισθέντας ἐπανελθεῖν ἐπὶ λοιπὸν ἄγονος, ἄπαις, πρόρριζος ἀνεσπάσθης, οὐ καταλειφθέντος τινὸς ποῦ μνημονευθήσει:·

ν̄ Διδύμου: Οὐδὲ ἐλπίδα ἕξεις εἰς τὴν αὐτὴν ποτὲ ἐλθεῖν ἀπόλαυσιν τῶν ἀγαθῶν, ἃ μόνα ἀγαθὰ εἶναι ἐνόμιζε, τῶν κατ' ἀλήθειαν ἀγαθῶν ἀλογοῦσα:·

Ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς· υἱοὶ[να] καὶ θυγατέρες ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι· οὓς[νβ] εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων· σύ[νγ] τε αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθησαι διανυκτερεύων αἴθριος:

Θο Διδύμου: Οὐχ υἱός οὐ θυγάτηρ περιλέλειπται, οἳ τὴν μνήμην τῆς διαδοχῆς φυλάξουσι μονονουχὶ λέγουσα, ὅτι εἰ καὶ ὑγείαν συμβαίνῃ, ἀνόνητος ἡ τῆς ὑγείας ἀπόλαυσις παίδων οὐκ ὄντων:·

τοῦ ἁγίου ἰωάννου :· Εἶτα τὸ περιπαθὲς τῆς ἐμῆς να
κοιλίας φησὶν ὠδῖνες καὶ πόνοι, ὠδῖνες μὲν τοῦ τοκ(ετοῦ)·
πόνοι δὲ τῆς ἀναστροφῆς :· τοῦ αὐτοῦ :·
Ἵνα δείξῃ καὶ αὐτὴν κοινωνοῦσαν τῆς συμφορᾶς, ἀπείθανος νβ
γὰρ φησὶ σύμβουλος, ὁ ἐν ἀλλοτρίοις φιλοσοφῶν κακοῖς·
φησὶν οὖν ὅτι τοὺς μὲν πόνους ὑπέστην, τῶν δὲ καρπῶν
ἀπεστέρημαι· ὅρα πῶς εὔκαιρον τὸ ἐπιτάφιον τῶν
παίδων :· τοῦ αὐτοῦ : Οὐδὲ αὐτός με- νγ
γάλη ἔμφασις αὐτὸς ἐκεῖνος ὁ δίκαιος, ὁ θαυμάσιος,
τὸ κεφάλαιον ἡμῖν τῶν ἀγαθῶν : διδύμου :·
τὰ πάντων τῶν ῥημάτων αὐτῆς βέλος ἐξαποστέλ- νγ
λουσα :· Κἀγὼ (νδ) πλανῆτις καὶ λάτρις,
τόπον ἐκ (νε) τόπου περιερχομένη καὶ οἰκίαν ἐξ οἰ-
κίας, προσδεχομένη (νς) τὸν ἥλιον πότε δύσεται, ἵνα ἀ-
ναπαύσωμαι τῶν μόχθων καὶ τῶν ὀδυνῶν αἵ με
νῦν συνέχουσιν :· τοῦ ἁγίου ἰω(άννου) :·
Ὅρα πῶς ἐλέγχει τοῖς ἐκείνου τὰ ἑαυτῆς, οὐκ ἰσχύει τὰ νζ
σά, κραταιῶ τὰ ἐμά :· ἀπολιναρίου :·
Ἔφη συμμίξας καὶ τὸ ἑαυτῆς πρόσωπον, ἵνα διὰ τῶν
παίδων μνήμης τε αὐτῆς πάθη μειζόνως ἐκκαλέ-
σηται εἰς ἀποδυσπέτησιν τὸν δίκαιον : Καὶ
μετ᾽ ὀλίγα :· Καὶ ἄλλοτε ἄλλον ἐκ τόπου τόπον ἀμεί-
βουσα καὶ θυροκοποῦσα ἀθλίως πείνῃ τῆς ἐφη-
μέρου ἕνεκεν τροφῆς, ἢ τοσαύτην χορηγίαν τῶν ἀγαθ(ῶν)

κεκτημένη. ἵνα εἴπῃ οὐ μόνον τοὺς παῖδας ἀπολω-
λέκαμεν τῆς ἡμετέρας μνήμης τὴν ὑπόθεσιν, καὶ
αὐτὸς δὲ σύ, ὑπὸ τοσούτων κατέχῃ δεινῶν· ἀλλὰ καὶ
τὴν ἐσχάτην πενίαν ὑπέστημεν μισθωτῶν δίκην τὴν
τροφὴν ἑαυτοῖς συλλέγοντες, οἱ ἄφθονον τοῖς δεομένοις
τὴν χορηγίαν παρέχοντες: τοῦ ἁγίου Ἰω(άννου):

νε Δουλεύουσα καὶ προσαιτοῦσα, οὐδὲ αὐτὴν γὰρ συνεχώ-
ρει ὁ ἐχθρὸς ἐλεεῖσθαι πρός τινος:

νε Οὐδὲ δουλείας ἠνέσχετο, οὐδὲ ἐν οἰκίᾳ μιᾷ κατα-
στῆναι τῆς πενίας τὴν ἀσχημοσύνην ἐστίν:

νϛ Ὀλυμπιοδώρου: Θεοτίως· ἐλευθερίως γὰρ
τὴν ἀναλεαφθεῖσαν ἡ γυνή, ὅσον τοῖς ἄλλοις ἡδύ φησιν ἐστὶ
τὸ τὴν ἀκτῖνα ὁρᾶν, τοῦτο ἐμοὶ βαρύ:

> Ἀλλ' εἶπόν[νζ] τι ῥῆμα εἰς κύριον καὶ τελεύτα. ὁ δὲ[νη] ἐμβλέψας
> εἶπεν αὐτῇ, ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν
> ἐλάλησας: ἀπὸ τοῦ εὐλό-

γησον θεόν· ἀπορρωσῶν: Ὀλυμπιοδώρου:

νζ Ὁ λέγει τοιοῦτόν ἐστι, διὰ βλασφημίας ἐπισπάσαι τὸν
θάνατον· τοῦτο γάρ σοι μόνον τῶν κακῶν ὑπολεί-
πεται λύσις· ἐγγὺς δὲ αὕτη τοῦ διαβόλου ἡ καὶ τῆς
μελλούσης ἐλπίδος στερῆσαι αὐτὸν ἐθέλουσα:

Ἰουλιανοῦ: Οἱ δέ φασιν, ὅτι ὡς εὐσε-
βὴς καὶ ὑπ' αὐτῷ πάλαι παιδευθεῖσα, συμβουλεύει
δι' εὐχῆς αὐτὸν λοιπὸν ἐπισπάσασθαι τὸν θάνατον.

ἵνα μή τινες ἐπ' αὐτῷ σκανδαλιζόμενοι δυσφημῶσιν.
ὅθεν φασὶ καὶ Ἰὼβ ἄνοιαν αὐτῆς γυναικώδη καταγινώ-
σκειν, καὶ οὐκ ἀσέβειαν. τοῦτο δὲ οὐκ ἔοικεν:

τοῦ ἁγίου Ἰωάννου, εἰς τὸ δὴ εἶπόν τι ῥῆμα: νξ

Μετὰ τὸ τὴν τραγῳδίαν ἀκριβῶς διηγήσασθαι, τότε τὴν ἀναί-
σχυντον ἐπιφέρει συμβουλήν. καὶ οὐδὲ αὐτὸ φανερῶς
εἶπε βλασφήμησον. οἱ γὰρ πονηρὰ συμβουλεύοντες,
οὐ τολμῶσιν ἀνακεκαλυμμένην εἰσάγειν τὴν συμβουλήν.
τί λέγεις ὦ γύναι; δέον ἐξιλεώσασθαι. δέον καταλ-
λάξαι, παροξῦναι μᾶλλον παραινεῖς. εἰ γὰρ ὁ θεὸς ταῦτα
ἐποίησε, παρακαλέσαι αὐτὸν οὐ βλασφημῆσαι δεῖ.
πόθεν δὲ δῆλον ὅτι καὶ ἐρῶ καὶ τελευτήσω. πλὴν ὅρα
πῶς εἶχε περὶ τῆς βλασφημίας ἡ γυνή, ὡς καὶ παρα-
χρῆμα αὐτὴν θάνατον ἐπάγειν ἱκανὴν ἡγεῖτο:

ἀπολιναρίου: τουτέστι διὰ τῆς βλασφημίας νξ
ἐπίσπασαι τὸν θάνατον. ὡς γὰρ περὶ τὰ κατὰ ἐμ-
μελείας παρελκούσης αὐτῷ τὴν ζωήν, καὶ τοῦ θεοῦ πάντως
τιμωρησαμένου αὐτοῦ εἰ βλασφημήσει. ταύτην προ-
σφέρει τὴν συμβουλήν ἄμεινον τὸ ἀποθανεῖν τοῦ ζῆν
μετ' ὀδύνης τιθεμένη: Ὀλυμπιοδώρου:

Καὶ πρὸ τῆς φωνῆς ἀπὸ τῆς ὄψεως μόνης διεκρούσατο νη
τὰ μηχανήματα: τοῦ ἁγίου Ἰω(άννου):

Μετ' ὀργῆς ἐπαλεύσας. τὸν γὰρ θυμὸν ἐνέφηνε διὰ νη
τῆς ὄψεως. καὶ ὅρα πῶς κεκαλυμμένως καὶ τὴν γυναῖκα

ἐπέγνω, καὶ τὴν συμβουλὴν οὐκ ἐδέξατο. οὐκ εἶπε ἄ-
φρων εἶ καὶ ἀνόητος, ἀλλὰ τί; οὐδὲν ἄξιον αὐτῆς, οὐδὲ
τῆς ἀναστροφῆς, καὶ τῆς παρ' ἐμοῦ παιδεύσεως ἐφθέγξω:
νθ Ὀλυμπιοδώρου: Κὰν γὰρ οὐκ ἀφροσύνη τὸ
νομίζειν ὁμοῦ τῇ βλασφημίᾳ καὶ τὴν τελευτὴν ἐπακολου-
θεῖν, ἢ ὅλως τολμᾶν βλασφημοῦντα ῥήματα προσφέρειν
κατὰ θεοῦ, τούτοις παιδεύσας, τῷ τε βλέμματι καὶ τῷ λόγῳ
νουθετεῖ φέρειν εὐχαρίστως τῶν δυσχερῶν τὴν ἐπαγωγήν.
ἡ δὲ τὴν νουθεσίαν δεξαμένη, ἐφησύχασεν· διόπερ οἶμαι
καὶ τῶν ὑστέρων κοινωνὸς γέγονε τῷ Ἰώβ. τῷ δὲ ὥσ-
περ μία, τινὲς εἰς τὴν Εὔαν ἐξέλαβον:
ξ Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, τὰ κακὰ οὐχ ὑ-
ποίσομεν· ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ,
ξα οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον τοῦ θεοῦ:
ξ Ὀλυμπιοδώρου: Τούτοις δὲ παιδεύσας
τῷ τε λόγῳ καὶ τῷ βλέμματι νουθετεῖ φέρειν εὐ-
χαρίστως τῶν δυσχερῶν τὴν ἐπαγωγήν· πολλοὶ μὲν γὰρ
φησὶν οὐδὲ εὐθηνίας τινὸς ἐπειράθησαν· ἡμεῖς δὲ
πάντες ταύτης ἀπολελαυκότες ἐκ θεοῦ. τί πρὸς τὰ ἐναν-
τία δυσχεραίνομεν· τί δὲ μὴ μετὰ πολλῆς τῆς εὐχα-
ριστίας ὡς παρὰ γνησίου δεσπότου καὶ ταῦτα δεχό-
ξ μεθα: Οἱονεὶ ἡπλωμέναις χερσίν. καὶ μὴν
ἐκείνων μὲν ὀλίγοι κοινωνοί. τούτων δὲ πολλοί:
ξ Τί φής. εἴπωμεν τὸ κακὸν ἄγει τῶν ἔξωθεν, ὅπερ τὸ ἐν

ἡμῖν καὶ τοῖς πάθεσιν· μὴ καὶ τὸν λογισμὸν προσκληρώ-
σωμεν· κακὰ οὖν εἶπε τοὺς πειρασμούς: Ὀλυμπιοδώρου:
Ἀσφαλίζεται πάλιν ἡμᾶς ἡ γραφή, καὶ τὴν χαμερπῆ τε καὶ
ἀναμαρτησία, καὶ τὴν ἐν τοῖς πειρασμοῖς τοῦ ἀνδρὸς μεγα-
λοψυχίαν προσμαρτυρεῖ· καὶ τὰ ἐν παντὶ τῷ βιβλίῳ τοῦ
ἀνδρὸς νοήσωμεν ἐπιμελῶς· πεπληθήσης οὖν αὐτοῦ παντα-
χόθεν τῆς μεγαλονοίας καὶ ὡς παρ' ὅλους τοὺς ἀγῶνας
ἐνίκησε, μηδὲν ταπεινὸν ἐννοήσωμεν περὶ αὐτοῦ
ἐν τῇ τῶν ἐφεξῆς ἐγκαλῶν περιφορᾷ: Ἰουλιανοῦ:
Οὐ μόνον κατὰ διάθεσιν οὐκ εἶπε τι κατὰ θεοῦ, ἀλλ' οὐδὲ ξα
ἔξω ἐπὶ πολλῆς τοῖς χείλεσιν:
ξβ
Ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ τὰ κακὰ πάντα τὰ
ἐπελθόντα αὐτῷ, παρεγένετο ἕκαστος ἐκ τῆς
ἰδίας χώρας πρὸς αὐτόν· ξγ Ἐλιφὰζ ὁ Θαιμανῶν βα- : ἔθνος περὶ τὸ Σινᾶ
σιλεύς· ξη Βαλδὰδ ὁ Σαυχαίων τύραννος:
: Σ ὁ Θαιμανίτης· ⊥ Σαυχαίων ἀδολε-
σχία αὐτῶν: Θ σωΐτης: Ὀλυμπιοδώρου:
Ἐάν τι λέγῃ διὰ τί μετὰ τοσοῦτον χρόνον οἱ φίλοι παρα- ξδ
γεγόνασιν· ἐννοείτω πρῶτον μέν, ὡς διαφόρους
ᾤκουν χώρας, καὶ μετὰ πολὺ μὲν ἴσως ἤκουσαν.
τὸ δὲ παράδοξον τῆς συμφορᾶς καὶ ἄπιστον ἐδό-
κει, εἰ ἐπὶ κορυφῆς ἀρετῆς ἀνεπίληπτος ὁ Ἰὼβ καθέστη.
καὶ περιέμενον διὰ πλειόνων πιστώσασθαι τὴν ἀκο-
ήν. εἶτα καὶ ἐπισκέψασθαι καὶ ἰδεῖν εἰ ἀληθῆ τὰ γινόμενα

ἐν τούτοις μὲν οὖν ὁ χρόνος ἐτρίβετο· πρὸς δὲ τούτοις
ὅτι τὸ ἀληθὲς ἔγνωσαν βασιλεῖς ὄντες, καὶ ἐνδημεῖν
μέλλοντες, ἀνάγκην εἶχον πρότερον εὐτρεπίζεσθαι τὸ
ὑπήκοον, διαταχθῆναι τὰ κατὰ τὸν οἶκον. ἐπιστῆσαι
τοῖς ἀρχομένοις τοὺς ἀνθ' ἑαυτῶν· ταῦτα πάντα αὐτοὺς
ἐπισχόλει καὶ ἐνεβράδυνον. καὶ εἰ μὴ σφόδρα γε ἀ-
γαπητικοί τινες ἦσαν καὶ δίκαιοι, οὐ πάντας οἰκίας
καταλιπόντες χώρας τε καὶ βασιλείας, ἀφικνοῦντο
πρὸς τὴν ἐπίσκεψιν· ἀλλὰ δι' ἑτέρων τὴν χρείαν ἐπλήρουν·
ἔξεστι δὲ νοεῖν, ὡς καὶ οἰκονομία τις ἦν ἡ τῆς ἀφί-
-ξεως ἀναβολή· ἐπειδὴ γὰρ ὁμοῦ τῇ τῶν φίλων διαλέξει,
καὶ τὸ πᾶν τοῦ ἀγῶνος ἐλύθη, τοῦ θεοῦ χρηματίσαντος,
καὶ τὸν δίκαιον ἀνακτησαμένου καὶ στεφανώσαντος,
οἰκονομία τις θεία ἀναγκαία γέγονεν ἐμβραδῦναι τοὺς
φίλους, ἵνα παράτασιν σχῇ τὰ τοῦ σκάμματος, καὶ
μειζόνων ἀθλήσας ὁ δίκαιος, δικαιότερον ἀναρρηθῇ
μβ παρὰ τοῦ θεοῦ: Μία τις ὑπελείπετο τῷ Ἰὼβ
παραμυθία, τῶν φίλων ἡ παρουσία· ἀλλὰ καὶ ταύτης
αὐτὸν πρὸς πειρασμὸν ἔτρεψεν ὁ διάβολος· διὰ
δὲ τούτων δηλοῖ, ὡς χρόνον ἔτριψεν ἐν τῷ πάθει·
καὶ γὰρ πολὺ διέτριψαν ὡς εἰκὸς οἱ φίλοι ἕως
οὗ ἀκριβῶς ἀκούσωσι καὶ διαθῶνται τὴν ἑαυτῶν
ἀρχὴν καὶ οὕτως ἐνδημήσωσι καὶ συνθῶνται παρα-
καλέσαι αὐτόν· δίκαιοι δὲ ὄντες δῆλον ὅτι καὶ οἱ τρεῖς

βασιλεῖς· οὐ γὰρ ἂν ἦσαν φίλοι τοῦ ἰώβ· δίκαιοι δὲ ὄντες
καὶ μὴ ζητοῦντες τὴν αἰτίαν τῆς πληγῆς, ἀλλ' ὡς ὄντα τὸν
φίλον, οὐ πάνυ ἀδίκως ἐσφαγμένην τὴν πληγὴν τοῦ θεοῦ
καταδεχόμενοι: Ἐλίφαζ ὁ θεμανῶν βασιλεύς δ
ἢ θεοῦ μου φαυλισμός: Θαιμάν, ἔκλειψις δ
ἄλλων: Βαλδὰδ παλαίωσις ἢ ἀπόδοξος: π ξ
Θαιμὰν πόλις ἰδουμαίας, ὥς φησι καὶ ὁ προφήτης
ἀμώς· ὁ δὲ ἐλίφαζ υἱὸς θαιμάν· ÷ ἡ σωφάρ-
φου ἡ χώρα καὶ ἡ κώμη θεμαν ἀπέχουσα πετρῶν
δεκαπέντε σημεῖα: Τὴν σαυχὴ πόλιν, ξο
εἶναι φασὶ μωαβιτῶν· τούτων ἦν βασιλεὺς ὁ βαλ-
δάδ· τὸ γὰρ τύραννος ἐνταῦθα, ἀντὶ τοῦ βασιλέων
κεῖται: Καὶ σωφὰρ ὁ μιναίων
βασιλεύς· καὶ παραγενόμενοι πρὸς αὐτὸν ὁμοθυ-
μαδόν· τοῦ παρακαλέσαι καὶ ἐπισκέψασθαι αὐτόν·
ἰδόντες δὲ αὐτὸν πόρρωθεν οὐκ ἐπέγνωσαν· καὶ βοή-
σαντες φωνῇ μεγάλῃ ἔκλαυσαν:
σωφὰρ σκοπὸς ἢ φαυλισμός· ὁ νωμα-
θίτης· ἢ ναμαθίτης: Ὀλυμπιοδώρου:
Τουτέστι τῶν ἀμμανιτῶν· εὑρίσκομεν δὲ ἐν τῇ γε- ξε
νέσει τὸν σωφὰρ υἱὸν τοῦ ἐλιφὰζ τοῦ υἱοῦ ἠσαῦ ἐκ
τῆς ἀδάας: Τοῦ αὐτοῦ ἰωάννου:
Τουτέστι κοινῶς συνέδραμον πρὸς τὸν προκείμενον. ομ
τὸ δὲ ἐπισκέψασθαι, τουτέστι συμπενθῆσαι· αὐτῷ

γὰρ ἡ ἔννοια δηλοῖ· φαίνονται γὰρ ἐπὶ πολὺ προσ-
μείναντες αὐτόν, οὐ καὶ τοῦτο πεποιηκότες, εἰ μὴ
μόνον συνάψασθαι προειρημένῳ: Ὀλυμπιοδώρου:
ξε Ἀντὶ τοῦ συμπαθῆσαι· πολλοὶ γὰρ δὴ καὶ ἄλλοι παραγίνονται
ψιλῆς ἕνεκα θέας: Τοῦ αὐτοῦ:
Τῆς λώβης τοὺς πλησίους αὐτοῦ χαρακτῆρας ἐξαφα-
νισάσης: Τοῦ ἁγίου Ἰωάννου:
Τὸ τοῦ πάθους ἐπαχθὲς κἀντεῦθεν νόει: Τοῦ αὐτοῦ:
Ἠλλοιώθησαν εἰκὸς τῶν ἑλκῶν εἰς ἐσχάτην δυσειδίαν
μεταβαλόντων τὴν μορφήν: Ὀλυμπιοδώρου:
Τὴν τοῦ φίλου συμφορὰν ἰδόντες, καὶ τὴν [illegible]
τῶν πραγμάτων μεταβολὴν ἐνθυμηθέντες ἔκλαυσαν
μετ' οἰμωγῆς: –
Ῥήξαντες ἕκαστος τὴν ἑαυτοῦ στολήν: ξζ καὶ καταπασά-
μενοι γῆν ἐπὶ τὰς κεφαλὰς αὐτῶν παρεκάθησαν
αὐτῷ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας· ξη καὶ οὐδεὶς
αὐτῶν ἐλάλησεν· ξθ ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν
μεγάλην σφόδρα: ὡς ἐπὶ νεκρῷ:
β΄ ε΄ πρὸς αὐτὸν λόγον: Ὀλυμπιοδώρου:
Ὡς νεκρὸν πενθοῦντες τῶν τεθνηκότων ἀπερριμμένον
ἐλεεινότερον: Τοῦ ἁγίου Ἰωάννου:
Ὅρα μεῖζον τῆς ἀπὸ τοῦ λόγου παραμυθίας τὸ δεινὸν ὅς
καὶ τοῦτο σιωπῶς ἐποίησαν τοῖς πράγμασιν αὐτοῖς
παρακαλοῦντες τῇ προσεδρίᾳ τῷ διαρρῆξαι τὰ ἱμάτια:

Ὀλυμπιοδώρου: Οὐ πάσας τὰς ἡμέρας καὶ ξζ
πάσας τὰς νύκτας, ἀλλ' ἤρχοντο πρὸς αὐτὸν νύκτας καὶ
ἡμέρας: τοῦ αὐτοῦ: Ἦλθον μὲν οὖν παρα- ξη
καλέσοντες, συγχεόμενοι δὲ εἰκόνα, ἐξ ἧς παρα-
μυθήσονται, ἐσιώπων: τοῦ ἁγίου Ἰωάννου:
Πάντα ταῦτα καλὰ καὶ φίλων ἄξια, καὶ συμπαθοῦς
τεκμήρια· τὰ μετὰ ταῦτα δὲ οὐκέτι:

+

Ἔνθα ἐλθόντες οἱ φίλοι τοῦ Ἰώβ, καὶ ἰδόντες αὐτόν, τὸν
θρῆνον ποιοῦντες αὐτῷ, παρρήσσοντες τὰς στολὰς αὐτῶν,
καὶ γῆν ἐπὶ τὰς κεφαλὰς πάσσοντες: εἰκόνες
ἦσαν ἐν τῷ παλαιῷ βιβλίῳ ἐν ἑκάστῃ ὑποθέσει:

+

Ἔνθα παρακαθίσαντες τῶν φίλων τῷ Ἰὼβ ἑπτὰ ἡμέρας
καὶ ἑπτὰ νύκτας, καὶ ἀδημονούντων περὶ τῆς πληγῆς
τοῦ Ἰώβ· ἀπ' ἐκείνου λαλεῖν, συνέβη ἡ πραγματεία
ὅλου τοῦ βιβλίου, τοῦ ἐλλιποῦς ἀκρωτηριασμένου:
+ καὶ πάλιν τύποι τινὲς τῶν πράξεων:

+

+

+ περὶ θεωρεία· κεφαλαίου γ^ον ·

+

Ἀλγεῖ μὲν ὁ δίκαιος, καὶ οὐχ ἥκιστα ἀλγύνεται· οὐ γὰρ τῶν ἀπαθῶν ἢ ἀγενῶν· ἀλλὰ τῶν ἐν τοῖς παθήμασι φιλοσοφούντων. ὠδυνᾶτο μὲν κατὰ μὲν τὸ φαινόμενον, ὑπὸ τῆς ἐν τῇ σαρκὶ πληγῆς, δριμυτάτως κεντούμενος· κατὰ δὲ τὸ νοούμενον οἷα δίκαιος καὶ φιλόθεος, ὁρῶν τινὰς σκανδαλιζομένους ἐπὶ τοῖς αὐτοῦ πάθεσιν· ὡς δὴ τοῦ δικαίου τοιαῦτα ὑπομένοντος. ἤλγει τοιγαροῦν καὶ ὠδυνᾶτο, καὶ διὰ τὰ πάθη, καὶ τῆς τοῦ θεοῦ δόξης ὑπ' ἄλλων διασυρομένης. καὶ γὰρ ὅταν λέγῃ, ἵνα τί ἔθου με κατεντευκτήν σου, οὐ πάντως κατὰ θεοῦ ἐνετύγχανε· μὴ γένοιτο· τίνι γὰρ εἶχεν ἐντυγχάνειν· ἀλλὰ τοῦτό ἐστιν ὅ φησιν· ἵνα τί δι' ἐμὲ διαπαντὸς τὸ ὄνομά σου βλασφημῆται. ἐθορύβει τοῦτο δὲ οὐχ ἥκιστα καὶ εἰλίγγια, καὶ σφοδρῶς τῇ τοῦ θεοῦ τετρωμένος ἀγάπῃ, μὴ τελείαν ἐγκατάληψιν ὑπέμεινεν ἐξ ὑπὸ θεοῦ· οὐδὲν γὰρ οὕτω τιμωρεῖται ψυχὴν λογικὴν καὶ φιλόθεον, ὡς τὸ ὑποπτεύειν καταλελῆφθαι παρὰ θεοῦ. κἂν μυριάκις εἵλετο τὸν θάνατον· ἢ μετὰ ἀλγηδόνων καὶ τοιαύτης ὑποψίας τοῖς ζῶσιν ἐγκαταλέγεσθαι·

σῶ ἐπεὶ μὲν, τὴν τῶν κτημάτων ἀπώλεια, καὶ τὴν τῶν παί-
-δων ἀθρόα τελευτὴν, οἵας ἀφῆκε χαριστηρίους φωνὰς
ἠκούσαμεν, καὶ ὅπως τὴν γυναῖκα ἐξεπαίδευσεν·
ἀπαρκεστὲς τι παρὰ τοῦ διαβόλου λογισαμένω· καὶ
ὅσα μετὰ πεῖραν καὶ ἐξουδένωσιν καὶ τὸ δριμὺ πά-
θος ἐφθέγξατο, καὶ ὡς οὐδὲν αὐτὸν τῶν ἀνθρωπίνων
συμπτωμάτων διεθορύβησεν· ὡς δὲ οἱ φίλοι
παρεγένοντο ἄνδρες δίκαιοι καὶ συμπαθεῖς, εὔκαι-
ρον ᾠήθη θεωρῶν αὐτῶν τὴν ὑπομονὴν καὶ τὴν
ἀγάπην, ἐπ' αὐτὸν εἰπεῖν καὶ δημοσιεῦσαι, τὰς
κατὰ ψυχὴν ἀλγηδόνας· καὶ φθέγγεται μὲν καθ' ἱστο-
ρίαν ἀκίνδυνα· οὐ γὰρ ἦν τοῦ διαβόλου τὸ σπού-
-δασμα τὸ παρασκευάζειν τὸν δίκαιον βλασφημῆσαι
θεόν· ὃ δὲ οὐδαμοῦ φαίνεται, τοιοῦτό τι διαπεπραξά-
-μενος· ἀλλὰ καὶ μᾶλλον εὐφημήσας καὶ χαριστηρίους
ἀναπέμψας φωνάς, καταρᾶται δὲ τὴν ἡμέραν τῆς
γεννήσεως, καὶ τὸν θάνατον ἐπιποθεῖ διὰ τὰς ἀνω-
τέρω λεχθείσας αἰτίας· πρὸς δὲ διάνοιαν μυστήριον
λαλεῖ· καὶ περὶ τῶν ἤδη προγεγονότων φιλοσοφεῖ·
καὶ πληροφορεῖται τὸ μέλλον· τοιαῦται γὰρ ἀεὶ τῶν ἁγίων
προφητῶν αἱ ῥήσεις· ἐπὶ δὲ αὐτῶν τῶν λέξεων γενό-
μενοι, σαφηνίσωμεν τὴν ἔννοιαν, αὐτοῦ ὁδηγοῦν-
-τος ἡμᾶς πρὸς τὴν ἑρμηνείαν· τοῦ καὶ τὸν ἀγιώτατον ἰ-
-ὼβ πρὸς τοὺς ἀγῶνας ἐνισχύσαντος;

+

+ πρώτη τοῦ Ἰὼβ πρὸς τοὺς φίλους
διάλεξις, κεφάλαιον γ(ον) :

+

ξθ Μετὰ τοῦτο ἤνοιξεν Ἰὼβ τὸ στόμα αὐτοῦ, καὶ κατη-
ράσατο τὴν ἡμέραν αὐτοῦ λέγων, ἀπόλοιτο ἡ ἡμέ-
ρα ἐν ᾗ ἐγεννήθην : : Δ καὶ τὰ λοιπὰ τοῦ ῥητοῦ :

ξθ Ὀλυμπιοδώρου : Ἀνοίγων τὸ στόμα ὁ
δίκαιος, κεκρυμμένους δημοσιεύει θησαυρούς
καὶ ὁ ἀπόστολος τὸ στόμα ἡμῶν ἀνέῳγεν· διὰ καὶ
ὁ κ(ύριο)ς ἀνοίξας φησὶ τὸ στόμα αὐτοῦ ἐδίδασκεν :

ο Τοῦ αὐτοῦ : Τολμηρὸν εἶναι κρίνας
τὸ κατὰ θεοῦ ἄδικόν τι λογίζεσθαι : Τοῦ αὐτοῦ :

οα Ἐπιφέρει τὰ τῆς ἀθυμίας ῥήματα, καὶ καταρᾶται
πρᾶγμα οὐχ ὑφεστηκός. ἀλλ' ἡμερονύκτιον παρελθόν,
καὶ ὅτι ἀθυμοῦσιν ἐν ταῖς περιστάσεσιν οἱ δίκαι-
οι, καὶ Ἰερεμίου κλαίοντος ἀκούσῃ :

Σευήρου ἐπισκόπου Ἀντιοχείας :

οα Ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην· οἱ μὲν οὖν
πρὸ τῆς χάριτος πάσχοντες ἠθύμουν· οἱ δὲ ἀπόστολοι
ἔχαιρον· μὴ τοίνυν τὰ πρὸ τῆς χάριτος ἕλκε εἰς ἀ-
κολουθίαν τῆς χάριτος· καὶ πρὸς μὲν τὸ πρόχειρον ταῦτα.

ἐποίησεν ἐμμελῶς δὲ ὡς προφήτης μυστήρια λαλεῖ·
καὶ ἐπειδὴ γέννησιν οἶδεν ἡ γραφή, οὐ τὴν κατὰ σάρκα
μόνον, ἀλλὰ καὶ τὴν ἀπὸ τρόπου εἰς τρόπον μεταβολήν,
οἷον ἀπὸ ἀρετῆς εἰς κακίαν· ἢ καὶ ἔμπαλιν· ἀποκλέ-
-αται ἐπεύχεται τὴν ἡμέραν τῆς ἁμαρτίας, ἐν ᾗ ὁ ἀδὰμ
παρέβη· τὸ γὰρ τῆς ἀνθρωπότητος οἰκειοῦται πρόσω-
πον καὶ φησίν· ὅτι ἀπόλοιτο ἡμέρα καθ' ἣν ἀπὸ τῆς
ἀρετῆς εἰς τὴν φαυλότητα ὁ ἄνθρωπος ἐτράπη, καὶ πέ-
πτωκεν εἰς πάθη καὶ θάνατον· τὴν χάριν τῆς ἀθανα-
σίας καὶ ἀφθαρσίας ἀποβαλών· καὶ ἄλλως δὲ ὀρθῶς
πῶς εἶπεν ἐν ᾗ ἐγεννήθην· οὐ γὰρ ἐν ᾗ ἐπλάσθη ἐκ πη-
λοῦ, ὡς ἐκ τῆς παραβάσεως εἰσελθούσης τῆς φθορᾶς
ἐντεῦθεν ἤρξατο τὸ εἶδος τῆς γεννήσεως· οὕτω καὶ δαυὶδ
τὴν ἁμαρτίαν θρηνῶν, ἐπὶ τὴν ἀρχαίαν παράβασιν
ἀναφέρει λέγων· ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην,
καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· ἠσθένηκε
γὰρ τὸ εὐόλισθον ἡ φύσις :

οα Ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην· καὶ οβ ἡ νὺξ ἐν ᾗ
εἶπαν ἰδοὺ ἄρσεν : Σευήχου συντόμως εἰς
τὸ αὐτό : Πρὸς θεὸν ὅλον ἔχων τῆς διανοί- οα
ας τὸν ὀφθαλμόν, ἕως μὲν ἔτι μόνος ἦν μετὰ τῆς γυ-
ναικός, ἐπαιδαγώγει ταύτην [illegible] λέγων
εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκδεδοικὼς ἅμα καὶ
ἐπαράσασθαι ἑαυτῷ θάνατον· μὴ ἄρα καὶ τοῦτο λύπει

θεῷ. ἐοίκασι δὲ παραφρονοῦσιν οἱ φίλοι καὶ ἐκφέρει τού-
τους κατὰ πεπτωκότος τῇ ἀθυμίᾳ ἐπὶ ταῖς τοσαύταις αὐ-
τοῦ συμφοραῖς, ἀπὸ καὶ τῷ ἐσχάτῳ πολέμῳ· μὴ ἄρα
ἐπ' αὐτῷ οὗτοι κατηγορήσωσιν ἀδικίαν τοῦ θεοῦ. καὶ
διὰ τοῦτο ἐπαρᾶται τὴν ἡμέραν τῆς ἑαυτοῦ γεννή-
σεως φάσκων, εἴθε μὴ ἐγεννήθην· ἵνα μὴ δι' ἐμὲ
κατηγορηθείη ὁ θεός: Τοῦ ἁγίου Ἰω(άννου):

οα Ὁρῶν γὰρ ὁ δίκαιος ὡς ἡ μὲν βαρύτης τῶν συμβάντων
ἐξέπληξε τοὺς φίλους, καὶ τῆς πληγῆς τὸ φορτικὸν ἐννοῶν,
καὶ τὸ παρακινηθῆναι αὐτοὺς ἐπὶ πολὺ κρίνων ἐπαχθές,
καὶ ὡς ἐπὶ τούτοις τὸ πρότερον αὐτοὺς συνεγνώκετο,
καὶ ὡς ἔπος εἰπεῖν πάντα ὁρῶν εἰς τοὐναντίον αὐτῷ
περιστάντα. οὔτε ἀποθέσθαι αὐτοὺς ἐμπλήκτως,
ἄτοπον εἶναι νομίζων τοὺς ἐπὶ τιμῇ ἐληλυθότας,
τούτους ὕβρει μεταπέμψασθαι, οὕτως ἁπλῶς ἀπεῖναι
παρακαλεῖ, αἰδούμενος αὐτῶν τὴν φιλίαν, καὶ
πάντα ἐννοῶν καὶ ὑπὸ πάντων δαπανώμενος, ἐπὶ τοὺς
ἥκει τοὺς λόγους, τέως τινὰ ἀπολογούμενος τοῖς
φίλοις ὡς ἐθέλοι μὲν διαλέγεσθαι· οὐ δυνάμενος,
δὲ τῷ πλήθει τῶν δεινῶν βαρυνόμενος :

οβ Ὀλυμπιοδώρου: Πρὸς μὲν τὸ ῥητὸν ἡμέ-
ραν δίδωσιν ἡ γραφὴ τὸ ἡμερονύκτιον. πρὸς δὲ διάνοι(αν)
τὴν αὐτὴν ἡμέραν καὶ νύκτα καλεῖ καθ' ἣν εἴληφε
τὴν ἀρχὴν ἡ ἁμαρτία. καὶ ἡμέραν μὲν ὡς φω-

-τισμοῦ ἔχουσαν ἐπαγγελίαν· ἔσχατον γὰρ φησὶν ὡς θεός
θεοῦ· νύκτα δὲ λέγει, ὡς ἐπισκοτίσασαν τὴν ψυχὴν καὶ
ἐπαγαγοῦσαν τὸν θάνατον· ὥστε δὴ λοιπὸν ἐναργέστερον
τὴν διαφορὰν ὀφθῆναι τοῦ ἄρσενος πρὸς τὸ θῆλυ:

σευήρου ἐπισκόπου ἀντιοχείας: πάλιν οβ
ἐνθάδε καταρᾶται τοὺς ὀνομάσαντας αὐτὸν ἄρσενα,
ὡς μόνου χριστοῦ οὕτως ἄρσενος καὶ αὐτῷ ἁρμοζούσης
τῆς ὀνομασίας διὰ τὸ ἐκθηλυνθῆναι τὸ τῶν ἀνθρώπων γένος
τῇ παραβάσει· διὸ οὔτε ἡμέραν δεῖ κυρίως καλεῖν τὰ
περὶ τῆς ἐπιδημίας, ἀλλὰ νύκτα καθ᾽ ἣν ἡ φύσις ἀπώ-
λεσε τὸ ἄρρεν ἀξίωμα:

οϛ: οζ
› Ἡ νὺξ ἐκείνη εἴη σκότος· καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ κύριος
› ἄνωθεν· μηδὲ ἔλθοι εἰς αὐτὴν φέγγος· ἐκλάβοι δὲ
› αὐτὴν σκότος καὶ σκιὰ θανάτου· ἐπέλθοι ἐπ᾽ αὐτὴν
› γνόφος· καταραθείη ἡ ἡμέρα ἐκείνη, καὶ ἡ νὺξ
› ἐκείνη ἀπενέγκοιτο αὐτὴν σκότος:

:θ ϛ ἡ ἡμέρα ∴ μὴ αὐτὴ ποιήσετο αὐτῆς·
μὴ γένοιτο ἐν καταλόγῳ κύκλων ∴ ἐν
ἄλλῳ αὐτὴ τετάρτῳ· καταραθείη ∴ ἀπὸ
ἀνατεῖλαι ἐπ᾽ αὐτῷ: ὀλυμπιοδώρου:

ἐν ἀφωνίᾳ εἴη μὴ μνημονευομένη: π σου αὐτῇ: οϛ
ἀναζητουμένης γὰρ αὐτῆς ἀναγκαίως εἰς μέσον τὸ οζ
συμβὰν ἐλάττωμα τοῖς ἀνθρώποις ἔρχεται. μὴ ἀναζητου-
μένης δέ, λήθη τῆς ἐφ᾽ ἡμῖν κατάρας, καὶ τῆς

ἐκεῖθεν ἀποφάσεως γίνεται· ὅθεν μὴ δὲ φέγγος ἐλθεῖν
ἐπ' αὐτὴν εὔχεται, ὡς μὴ ὁρᾶσθαι τὰ ἐν αὐτῇ παρὰ τοῦ
οϛ ἅπαξ ἡμαρτημένα. Τουτέστι δεξάσθω μου ταύ-
την τὴν οἰκεσίαν ὁ θεὸς ὥστε μὴ μετὰ τῶν λοιπῶν ἡμερῶν
τεθῆναι, ὡς ἂν μὴ ἡ μνήμη τῆς γενέσεως ὑπομνήσεις
οϛ τῶν ἐμῶν συμφορῶν γένοιτο: Εἰς αὐτὸν τὸν διά-
βολον ἐλθεῖν εὔχεται τὰ δι' αὐτοῦ ἡμῖν συμβεβηκότα
κακά· αὐτὴν γὰρ τὰ ἐν αὐτῇ συμβάντα λέγει. Τὴν κατὰ ϛ
καὶ τὴν ἀπόφασιν σκότος καὶ σκιὰν θανάτου τὸν διά-
βολον ὀνομάζων: Τοῦ ἁγίου Ἰωάννου:
οϛ Ἐπειδὴ γὰρ οὐ περὶ ὑφεστώσης φύσεως διαλέγεται, ἢ
τινὸς ζῴου θάνατον ἢ φθορὰν οὐκ ἐπηύξατο· ἀλλὰ
τοῦ ἐναντίου τῆς ἡμέρας παράτασιν εὔχεται· οἷον ἡ μεσο-
λαβηθεῖσα ἡμέρα ἑκατέραις ταῖς νυξί, τῇ παρα-
τάσει τοῦ σκότους ἔλθοι τοῖς ἀριθμουμένοις:
Μὴ εἴη εἰς ἡμέρας ἐνιαυτοῦ· μὴ δὲ ἀριθμηθείη εἰς
ἡμέρας μηνῶν· ἀλλ' ἡ νὺξ ἐκείνη εἴη ὀδύνη· καὶ
μὴ ἔλθοι ἐπ' αὐτὴν εὐφροσύνη μὴ δὲ χαρμοσύνη·
ἀλλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν
ἐκείνην: ⊙ ε' μηδὲ συναφθείη.

※ Ἐπίσχητος· ὁ Ἑβραῖος αὐτὴ τοῦ ὀδύνην με-
μονωμένην φησίν: Ὀλυμπιοδώρου:
οε Ἐνιαυτὸν καλεῖ τὸν καιρὸν τῆς παρουσίας τοῦ κυρίου, κατὰ
τὸ εἰρημένον ἐκ προσώπου αὐτοῦ· καλέσαι ἐνιαυτὸν

τῷ σταυρῷ· εὔχεται οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ μὴ γενέσθαι
αὐτῆς μνείαν· ἵνα μὴ λογισθῇ ἡμῖν τὰ παραπτώματα
ἐπιφανεὶς τῷ κόσμῳ χριστὸς ὁ θεός : Σευήρου ἐπισ-
κόπου ἀντιοχείας ἀπὸ λόγου ρη : Προφητικῶς οε
καὶ ἐσχηματισμένως περὶ τοῦ μέλλοντος αἰῶνος ἐπεύχεται
καθ' ὃν ζῶσιν οἱ ἅγιοι μακαρίαν ζωὴν ἐν ἀκαταπαύστῳ
φωτὶ ἡμέρας, παυομένου τοῦ νῦν αἰῶνος, τοῦ ἐν νυ-
κτὶ καὶ ἐνιαυτοῖς ἀριθμουμένου· οὗ καὶ ἐπεύχεται
περαιωθῆναι : Ὀλυμπιοδώρου : Εἰ γὰρ ος
ἐλογίσθη ἡμῖν καὶ μὴ ἀφεθῇ ἡ ἁμαρτία, ἤμελλεν
ἂν συμπαραληφθῆναι ἐν χαρᾷ ὁ ἡμέτερος ἔλεγχος:
ἢ καὶ ἄλλως : Ἐνωσθήτω ἡ νὺξ ἐκείνη φησὶν ὅτι
φαύλη ἐστί· καὶ διὰ τοῦτο μιαθήσω ὡς ὀδύνης
αἰτία: Τοῦ αὐτοῦ : Ὁμοῦ προσεύχεται
καὶ προφητεύει τὰ μέλλοντα, εἰς Χριστὸν ἀναπέμπων τὴν
διάνοιαν· τίς γὰρ τὴν ἁμαρτίαν κατέλυσε καὶ ἐ-
ξηφάνησεν ἐν ἑαυτῷ· τίς δὲ τὸ νοητὸν ἐχειρώσατο
κῆτος· εἰ μὴ ὁ δι' ἡμᾶς ἄνθρωπος γενέσθαι καταξιώσας
τοῦ θεοῦ λόγος : Τὰ τῆς ἐμῆς κατάρας πληρώ-
σειεν: Ὁ μέλλων τὸ μέγα κῆτος χειρώσα-
σθαι· σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης:
Σευήρου ἐπισκόπου ἀντιοχείας, ἀπὸ λόγου ρν :
Τίς δέ ἐστι τὸ μέγα κῆτος ἢ ὁ διάβολος ὁ ἀρχαῖος ὄφις·
ὁ τῆς ἁμαρτίας εἰσηγητής· ὁ τὴν ὑπὲρ ὅλην τῶν ἡμετέρων

ἡδονῶν ἐνδυναστεύσας· καὶ μετὰ πολλῆς ὅσης ἀδείας
ἐννηξάμενος· καὶ ταύτῃ κῆτος γενόμενος, ὄντως, κατὰ-
παντὸς ὁ κύριος ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ· καὶ καταρ-
γήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ :

2το Τοῦ αὐτοῦ σευήρου ἀπὸ λόγου Γ̄ : Περὶ τοῦ
χριστοῦ προεφήτευσε μηνύων καὶ τὸν τύπον τοῦ Ἰωνᾶ, καὶ
τὸ αὐτοῦ κατὰ τοῦ διαβόλου τρόπαιον : Ἀπολιναρίου :

2το Κῆτος λέγει, οὐ πολλαχοῦ ἡ θεία γραφὴ δράκοντα ὀνομάζει·
μάλιστα δὲ ἐν τοῖς τελευταίοις τοῦ ἰὼβ βιβλίου ἡνίκα τ-
σημεῖον καὶ πάντα ὑπερφέροντα διὰ τῶν οἰκείων λόγων
δείκνυσι θεός· διὰ τοῦτο οὐχ ἁπλῶς κῆτος λέγει· ἀλλὰ πρὸς

2το τὸ ἔθηκε τὸ μέγα : Διδύμου : Ἐπεὶ γὰρ ὁ διά-
βολος κῆτος εἴρηται, αἴτιος τῆς πτώσεως τῶν ἀνθρώπων
γεγονώς, ὑπὲρ δὲ ταύτης ἵνα λυθῇ τὴν ψυχὴν ἀνα-
φέρει· ἀκολούθως τῇ προφητείᾳ λέγεται· ὡς καταρ-
γηθήσεται ὁ τὸ κράτος ἔχων τοῦ θανάτου διάβολος·
καὶ γὰρ τοῦτο ἐποίησε τῇ καθαρότητι ψυχῆς ὑπὸ τοῦ ἁ-
γίου πνεύματος κινούμενος, ὡς καὶ τοῖς ἁγίοις δοθῆναι
ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ
ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ : Καὶ μετ' ὀ-
λίγα : Καλῶς δὲ τὸ μέγα εἴρηται, δηλοῦν
τὸ κατὰ τὴν ἐνανθρώπησιν· οὐ γὰρ ἥρμοζε γυμνῇ τῇ
θεότητι καταργῆσαι τὸν διάβολον· ἀλλὰ διὰ τοῦ ναοῦ τοῦ
λόγου γενομένου τοῦ ἐκ σπέρματος τοῦ ἀπατηθέντος

καὶ βλέποντος

καὶ βλέποντος ὑπὸ τοῦ διαβόλου ἐνεργείας αὐτοῦ δια-
φόρους συνουσίας δηλοῖ· διάβολος γὰρ καὶ αὐτὴ κεί-
μενος καὶ πονηρὸς καὶ λέων καὶ δράκων καὶ ὄφις καὶ
κῆτος διὰ τὸ περισσὸν λέγεται· διαφόρως αὐτοῦ τὴν κα-
κίαν ἐνεργοῦντος, ὅπερ ἀναιρετικόν ἐστι τοῦ μανιχαϊ-
κοῦ δόγματος :· Ἰουλιανοῦ: Οὐδὲ οὔτε
κατὰ θεοῦ φθέγγεται, οὔτε κατὰ τῶν ἔργων αὐτοῦ· ἀλλὰ τοῖς
συνοῦσιν ἐπαρᾶται, παρηγορῶν ἑαυτὸν καὶ τὰς ὀδύνας
παραμυθούμενος· καὶ γὰρ καὶ ἡ νὺξ ἐκείνη καὶ τὸ φῶς
τῶν ἄστρων καὶ τοῦ ἑωσφόρου τὸ λάμψαι ἐν ἐκείνῃ τῇ
νυκτὶ παρέσχηκε :·

Σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης· ὑπομείναι καὶ — : καὶ μὴ
εἰς φωτισμὸν μὴ ἔλθοι, καὶ μὴ ἴδοι ἑωσφόρον ἀνα-
τέλλοντα· ὅτι οὐ συνέκλεισε πύλας γαστρὸς μητρός μου· ἀ-
πήλλαξε γὰρ ἂν πόνον ἀπὸ ὀφθαλμῶν μου :·

:· ὑπομείναι ἐν τῷ σκότει: Ὀλυμπιοδώρου :·

Τῆς ἁμαρτίας φησὶν ἡ ἐπὶ νύκτα καὶ τὰ ἄστρα, αἱ πο-
ιοῦσαι τερατοπόλητες· καὶ τὰ κακὰ ἐξαφανισθείησαν· καὶ μὴ
νικήσοι τὰ πονηρὰ τῶν ἀγαθῶν ποτέ· τοῦτο γὰρ λέγει τὸ
εἰς φωτισμὸν μὴ ἔλθοι· ἀντὶ τοῦ γνωσθείησαν τῆς ἀ-
μαρτίας τερατοπόλητες, ὅτι σκότος εἰσὶ καὶ μὴ ἰσχύσαιεν
ἀπατῆσαι μηδὲ πλανᾶσθαι, ὅτι ἔχουσί τι χρηστόν· τὸ
δὲ καὶ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα, συνεκτικῶς
φησίν· ἀλλ' αὐτὸ τὸ ὂν ἀπαιτήσει· οὐ γὰρ δύναται τὸ

ἁμαρτία ὑπομεῖναι τὸν ἑωσφόρον ἐν ταῖς ψυχαῖς ἡμῶν
ἀνατέλλοντα· ἑωσφόρος δέ ἐστιν, ὁ περὶ τοῦ θεοῦ λόγος,
ὁ τὴν ἡμετέραν καταλάμπων ψυχήν: τοῦ αὐτοῦ:·

οθ Ὅτι μου τὴν ὀργὴν τῆς παραβάσεως οὐκ ἐκώλυσεν:·

οθ ἀπολιναρίου:· Ἐπειδή φησιν εἰς φῶς προῆλθον,
ἵνα τί μὴ συναπέθανον ταῖς μητρικαῖς ὠδῖσιν. ἀπή-
λλαξε γὰρ πόνον ἀπὸ ὀφθαλμῶν μου. οὕτω γὰρ ἄν φησί
μὴ γενόμενος, οὐδεμίαν πεῖραν τῶν παρόντων ἔλαβε
π δεινῶν:· Ὀλυμπιοδώρου:·

Εἰ μὴ γὰρ διὰ τὴν ἁμαρτίαν φησί καὶ τὴν γενομένην παρα-
τροπήν, νόσοι τοῖς ἀνθρώποις συνέβαινον:·

[πα] Διατί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα· ἐκ γαστρὸς δὲ ἐξῆλ-
θον, καὶ οὐκ εὐθὺς ἀπωλόμην· [πβ] ἵνα τί δὲ συνήντησάν μοι
γόνατα· [πγ] ἵνα τί δὲ μαστοὺς ἐθήλασα:·
:· τὴν κακίαν ηὔξησα:· Ὀλυμπιοδώρου:·

πα Κατὰ μὲν τὸ ῥητὸν ἔννοια πρόδηλος, κατὰ δὲ ἀναγωγήν,
καλόν ἐστι φησὶν ἢ μηδὲ ὅλως τινὰ φαῦλον ἡμῖν γεννηθῆναι
λογισμόν· ἢ καὶ εἰ γένοιτο, παραχρῆμα αὐτοῦ ἐξαφα-
νισθῆναι: τοῦ ἁγίου Ἰωάννου:·

πα Ὥσπερ ὁ χριστὸς εἰπών, καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη, οὐδὲν
ἕτερον ἐδήλωσεν, ὅτι δεινὰ αὐτὸν ἀναμένει καὶ χαλεπά.
οὕτω καὶ ἐνταῦθα ὁ ἰὼβ λέγων, εἴθε μὴ ἐγεννήθην, οὐ
τῆς δημιουργίας τοῦ θεοῦ καταψέγει, ἀλλὰ τὸ μέγεθος
τῆς συμφορᾶς παρίστησιν· ὅρα δὲ τὴν εὐλάβειαν ὡς

ἄπαντα τοῦ θυμοῦ εἰς τὴν ἡμέραν ἐκλέει, οὐ τολμῶν τοῦ-
-τον ὑπερβῆναι τὸν ὅρον, ἀλλ' εἶτ' αὖ ἄλλα λέγων ἢ ἡμέρα ἢ
ἡ νύξ, καὶ εἴθε ὅτι τέως τῶν παρόντων οὐκ ἐπειρώμην
κακῶν καὶ μὴ μισθὸν εὐσεβείας ἐκομιζόμην:

Ὀλυμπιοδώρου: Ὡς οὐκ ὤφειλον φησὶν οὔτε πβ
εἰς γόνατα τεθῆναι τιτθῆς, πρὸς δὲ θεωρίαν, ἐπειδὴ
μὴ ἐθήλασα φησὶν ἐπὶ τῇ παραβάσει: Ἀπολιναρίου:·

Σφόδρα ἀσαφῶς κεῖται· κατὰ γὰρ αὔξησιν τὰ καθ' ἑαυτὸν πβ'
λέγει· δεικνὺς ὡς αἱρετὸν αὐτῷ ἦν τὸ τὴν ἀρχὴν μὴ γε-
-νέσθαι· τὸ γὰρ συνήντησάν μοι γόνατα, ἀντὶ τοῦ ἐπειδὴ
ἐτιθηνήθην ἐπὶ γονάτων βασταχθεὶς παρὰ τῆς τροφοῦ:·

Τοῦ αὐτοῦ: Τουτέστιν οὐ τὸ ὑπὲρ ἐμοῦ εὑρέθη ἡ
τῆς παιδικῆς δυσχερείας ἀνεχομένη. καὶ χορηγοῦσα
τὴν νηπιώδη τροφήν:

πε Νῦν ἂν κοιμηθεὶς ἡσύχασα, ὑπνώσας δὲ ἀνεπαυσάμην
μετὰ βασιλέων βουλευτῶν γῆς, οἳ ἠγαυριῶντο ἐπὶ ξί-
-φεσιν, ἢ μετὰ ἀρχόντων ὧν πολὺς ὁ χρυσός· οἳ ἔπλησαν
τοὺς οἴκους αὐτῶν ἀργυρίου:·

:· Ε οἰκοδομήσαντο ἐρείπια ἑαυτοῖς:·

Ὀλυμπιοδώρου:· Ἀλλὰ τοῦ θανάτου φησὶν πε
ἡγεῖσθαι βαρύ· ἀλλὰ γὰρ ἡσυχία ἐστὶ τῶν εἰς τὸν παρόντα
βίον κακῶν, καὶ τελευτήσας νῦν, ὅμοιος ἔσομαι βασι-
-λεῦσι καὶ ἄρχουσι· ποῦ γὰρ νῦν ἐκείνων ἡ δυναστεία,
καὶ ἡ ἐπὶ τῷ πλούτῳ πεποίθησις, ἥτε ἐν βουλῇ καὶ συνέσ

μεγαλαυχία· πάντων ὁ θάνατος περιεγένετο· τί τοίνυν
θρηνεῖ ταῦτα φησίν, ἃ μὴ παραμένειν πέφυκεν·
εἶτα ἵνα μή τις οἴηται πάντα ἴσα εἶναι ἐκεῖ, δείκνυσιν
ὡς ἔστι διαφορὰ ἀσεβῶν τε καὶ εὐσεβῶν· κατὰ τὸ π(αρὸν)
δὲ σώματι, τοὺς τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν τῆς ζωῆς
βαδίζοντες λέγει :· τοῦ αὐτοῦ :·

πτ̄ Ὡς ἂν ὁ μηδὲ ὅλως τεχθείς· ὥσπερ οὖν ἔφη ἢ μὴν ὑπνῶν
καὶ ἀναπαύεσθαι, ἀλλὰ πρόδηλον ὅτι κατὰ τὸ θεωρη-
ματικὸν νοηθήσεται, ὡς εἰ καὶ τὴν ἁμαρτίαν ὁ προ-
πάτωρ εἰργάζετο εἰς αἰῶνας ἀναπαύετο, οἷα τις ὑπνῶν
ἡδέως :· τοῦ ἁγίου Ἰωάννου :·

πτ̄ Ὅπερ καὶ Ἠλίας φησίν· ἱκανούσθω μοι, μὴ ἐγὼ κρείττων
εἰμὶ τῶν πατέρων μου :· ἀπολιναρίου :·

πτ̄ Τουτέστιν ἀπηλλάγην τῶν κατεχόντων κακῶν, μηδὲ
εἰς φῶς προελθών :· ἄλλο :· Οἱ ἅγιοι κοί-
μησιν καὶ ὕπνον καλοῦσι τὸν θάνατον, διὰ τὴν ἐλπίδα
τῆς ἀναστάσεως :· ἀπολιναρίου :·

Κοίμησιν μὲν καὶ ὕπνον τὸν θάνατον λέγει ἀπὸ τοῦ σχή-
ματος τὴν προσηγορίαν θέμενος· βούλεται δὲ εἰπεῖν,
ὅτι ξένον ἂν πεπόνθειν οὐδέν· ὃ γὰρ κοινόν ἐστι τῆς φύ-
σεως τῶν ἀνθρώπων, τοῦτο καὶ αὐτὸς ὑπάρξει ἐξ ἴσης· οὐ γὰρ
ἐστὶν οὐδείς, ὃς διαφεύξεται τὴν τελευτήν, καὶ κοινῶς καὶ
βασιλέων καὶ τῶν ἐπὶ συνέσει μεγαλοφρονούντων ὑπε-
ο̄το ξιόντων τὸν βίον :· τί γὰρ τὸ περισσότερον

τῆς βασιλείας ἢ τῆς φρονήσεως :· Τῶν σοφῶν στο
συμβούλων, καὶ τῶν κατὰ φαῦλον βασιλέων καὶ ἀρχόντων :·
τοῦ ἁγίου Ἰω(άννου) :· Ἐμοὶ δὲ δοκεῖ καὶ ἐκείνους κα- φο
ταστέλλειν καὶ σβέσειν, καὶ μέγα τι νομίζειν εἶναι τὰ ἀν-
θρώπινα πράγματα. δεικνῦσι καὶ ἡ τῆς συμφορᾶς
φιλοσοφεῖ ῥήματα :·
Ὡς ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρός, ἢ
ὥσπερ νήπιοι, οἳ οὐκ εἶδον φῶς· ἐπεὶ ἀσεβεῖς ἐξέκαυ-
σαν θυμὸν ὀργῆς· ἐκεῖ ἂν ἐπαύσαντο καταπόσει τῷ
στόματι :· Σ κατ᾽ ὀργήν·
:· Θ ἔμβρυον μὴ ἰδὼν φῶς :· ἐπαύσαντο κλονή-
σεως :· Σ ἐπαύσαντο σπῶντες. οἱ δὲ ἰσχύϊ :·
Ὀλυμπιοδώρου: Ἔκτρωμά ἐστι τὸ μήπω διαμορ- πδ
φωθὲν τελείως ἐν τῇ γαστρί· νήπιον δὲ λέγει τὸ μήπω
δεξάμενον αἴσθησιν τῶν τῷ βίῳ καλῶν ἢ φαύλων. τὸν
δὲ πειρατὸν τῶν λόγων, διότι οἱ μὲν οὐδὲ τελεσφοροῦν-
ται· οἱ δὲ καὶ τελεσφορηθέντες, νεκροὶ γίνονται· οἱ δὲ
ὁμοῦ τῇ γεννήσει τὸν θάνατον ὑπομένουσι, τοῖς ἀνε-
φίκτοις τοῦ θεοῦ κρίμασιν καταλελειφθέντες :·—
τοῦ ἁγίου Ἰω(άννου): Ἵνα μὴ δόξῃ αὐτὸν ἐπαίρειν, καὶ πδ
τοῖς ἀμβλωθριδίοις ἑαυτὸν παραβάλλει :·
Θεοδοτίων· Ἀντὶ τοῦ ἐξέκαυσαν θυμὸν ὀργῆς, ἐκό- πε
πασαν ὀργῆς φησίν· ἤγουν ἐλόφησαν τῆς ἰδίας ὀργῆς
καὶ κακίας, ἤγουν ἐξῆψαν καθ᾽ ἑαυτῶν τὴν θεί(αν)

πε ὀργίλῳ. Ὁ χυμιστὸς πώρου: Κράτιστον ἡμᾶς
διδάσκει μάθημα, ὅτι εἰ καὶ δι' ἁμαρτίαν ὁ θάνατος,
ἀλλ' οὖν χρησίμως καὶ φιλανθρώπως ὁ θεὸς τοῖς ἀνθρώποις καὶ τοῦτον
ἐμηχανήσατο· καὶ γὰρ οἱ ἀσεβεῖς φησὶν οἱ παραχθέντες
καὶ ὑπεροψίαν κατὰ θεοῦ θρασυνόμενοι, παύονται καὶ ἀ-
ναπαύονται τοῦ κακοῦ· μηκέτι θυμούμενοι ἢ ὀργι-
ζόμενοι, καὶ οἱ ἐν ὀδύναις σωματικαῖς ὄντες, τῶν πόνων
πς λήγουσιν: Τοῦ ἀλλου ἴσως: Ἀλλὰ τί λέγεις
ἀσεβὴς ἐγὼ καὶ πονηρός· ἀλλὰ καὶ οὗτοι ταύτης ἔτυχον τῆς
παραμυθίας: Τοῦ αὐτοῦ: Εἶτα λοιπὸν
ἐγκώμιον θανάτου, ὅτι οἱ μὲν τῆς κακίας ἀπέστησαν·
οἱ δὲ τῆς ταλαιπωρίας ἀπηλλάγησαν· οἱ μὲν εὗρον λιμένα
τῶν δεινῶν· οἱ δὲ κώλυμα τῆς πονηρίας, καὶ τὸ μέ-
γιστον, ὅτι οὐδ' ἔστι πάλιν προσδοκῆσαι τὰ πρότερα· ἀλλὰ ἀ-
ναπαυομένους ἀεὶ μένειν ἐπὶ τῆς ἀναπαύσεως· διὸ
καὶ ὅτι πάντων ἐστὶ λύσις τῶν δεινῶν: —
Ἀπολλιναρίου: Δείκνυσι τοῦ θανάτου τὸ ἐπί-
κερδες. ἀσεβεῖς μὲν γὰρ λέγει, τοὺς κατὰ θεοῦ θρα-
συνομένους· καθόλου δὲ τοὺς ἀλαζόνας σημαίνει·
ἵνα οὖν εἴπῃ ὅτι ὁ θάνατος ἐλέγχει αὐτῶν τὴν ἀσθέ-
νειαν, καὶ ἀναστέλλων τῆς ἀνοήτου μανίας:
φ Τοῦ αὐτοῦ: Τουτέστιν οἱ ἐν δυσχερείαις
πειρατῶν ἐξεταζόμενοι καὶ ἀνάπηροι τὸ σῶμα
παύονται τῆς ὀδύνης, ὁμοθυμαδὸν δὲ δι' αἰῶνος,

καὶ κοινῶς ἐκπλήρους τοῦ βίου καλεῖται ἡ τελευτή:

Ὁμοθυμαδὸν δὲ οἱ αἰώνιοι· οὐκ ἤκουσαν φωνὴν φορολόγου· μικρὸς καὶ μέγας ἐκεῖ ἐστί· καὶ θεράπων οὐ δεδοικὼς τὸν κύριον αὐτοῦ· ... ὁμοῦ δεσμῶται ἀόχλητοι· ... ἅμα δέσμιοι εὐθηνήσαντες τῷ ... εἰς ... ἐπαναγκαστῶν: ὥστε οἱ ... ἐλεύθεροι ἀπὸ τῶν κυρίων αὐτοῦ: Ὁ χρυσοστόμου:

Ἀλλὰ καὶ οἱ ἐξ αἰῶνος φησὶ τελευτήσαντες ἐκεῖ τυγχάνουσι τοῦ ... τῶν παραλόγων καὶ ἀπαιτητῶν τῆς ἐπηρείας ἀπηλλαγμένοι, ἵνα εἴπῃ τῶν τοῦ βίου συμφορῶν ἐκτὸς γενόμενοι: τοῦ αὐτοῦ: πτ

Φορολόγον φησὶ τὸν διάβολον, ἐπειδὴ ὥσπερ τινὰ ἄδικον φόρον τελεῖν ἡμᾶς, αὐτῷ τὴν ἁμαρτίαν ὠθεῖ· πάντας οὖν ὁμοῦ τοὺς ἐξ αἰῶνος ἀποθανόντας, ἀπηλλάχθαι φησὶ τοῦ φορολόγου: φ

Καὶ ἄλλως: Ἐπειδήπερ οἱ δίκαιοι φησὶν οὐκ ἤκουσαν τῆς φωνῆς τοῦ φορολόγου, ὥστε τὰ φαῦλα πράττειν· τοιγαροῦν πάντες ὁμοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν εὑρεθήσονται: τοῦ ἁγίου κυρίλλου ἐπισκόπου ἀλεξανδρείας:

Καὶ νῦν ἱερὸς μακαρίζει λόγος τοὺς μὴ ἀκούσαντας φωνὴν φορολόγου· οἱ γὰρ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν κατεξανιστάμενοι, καὶ πατοῦντες ἀρχὰς καὶ νικῶντες τὰ πνευματικὰ τῆς πονηρίας, κρείττω γεγόνασι τῆς τοῦ φορολόγου φωνῆς: τοῦ ἁγίου ἰω(άννου): φ

Πάντων ἐστὶν ἀνώτερον ὁ θάνατος, οὐ μόνον οὐδέν ἐστιν φ

ὑπομεῖναι δεινόν, ἀλλ' οὐδὲ μέλλει ἀπονεῖ τὰ δεινὰ παρα-

φ στῆναι: Ἀπολληναρίου: Φορολόγος λέγεται, ὁ τὰς συμφορὰς συλλέγων, οἷον εἰ ὁ ἀπαιτητὴς οὓς παρέλθοις ἔθος τε καλεῖν τοῖς πολλοῖς· καὶ ἡ θεία προθεσμία γένηται, ἵνα ἤδη δὴ μετὰ θάνατον οὐκ ἔστιν ἀξία βασιλέως καὶ ἰδιώτου, οὐδ' ἂν ἀπαιτοῦντος καὶ ἀπαιτουμένου, οὐδὲ πλουσίου καὶ πένητος. ἀλλὰ λύσας ὁ θάνατος τοῦ παρόντος βίου τὸ σχῆμα, ἐν ἰσοτιμίᾳ πάντα κατέχει:

πζ Ὀλυμπιοδώρου: Πολὺ καλλίον παρόντα βίον ἡ ἀνωμαλία· πολὺ μετὰ τὴν τελευτὴν ἡ ἀποδημία ἡ ἐλευθερία: Ἀπολληναρίου:

πη Τ αὐτὸ περὶ τοῦ θανάτου διὰ πολλῶν φιλοσοφήσας ὡς σηπόμενος καὶ σκώληκας βρύων, καὶ τῷ ἰχῶρι περιρρεόμενος. καὶ ὥσπερ τῶν ἀλγηδόνων περὶ ἐπιλαθόμενος, καθαρᾶς διανοίας ὄμματι, τὰ κάλλιστα ἡμῖν τῶν μαθημάτων παραδέδωκεν: Τοῦ ἁγίου Ἰωάννου:

πη Ὁ πάλαι φησὶ δεδοικὼς τὸν ἑαυτοῦ δεσπότην, ἐκεῖ οὐ φοβεῖται: Ἵνα τί δέδωται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς· οἳ ὁμείρονται τοῦ θανάτου καὶ οὐ τυγχάνουσιν· ἀνορύσσοντες ὥσπερ θησαυρούς· περιχαρεῖς δὲ ἐγένοντο ἐὰν καταλάβωσιν, θάνατος ἀνδρὶ ἀνάπαυσις.

∴ οἱ μὲν ἅγιοι ἴσως τι καὶ ὀφελοῦσι τὸν βίον. οὗτοι δὲ τί:

πθ Π ολλαχοῦ ἡ γραφὴ τὸ εἶναι ἐπὶ παρακλήσεως τίθησιν· οἷον καί

ἀποδυσπετήσεως· ὡς ἐπὶ τοῦ ἵνα ἡ ἀπώσω ὁ θεὸς εἰς
τέλος· οὕτω κἀνταῦθα ὁ δίκαιος οὐ μέμφεται· ἀλλ᾽ ἱκετεύει
μὴ ἐγκαταληφθῆναι παρὰ θεοῦ· καὶ γὰρ αἱρετώτερος φη-
σὶ τοῦ ὀδυνηροῦ βίου ὁ θάνατος: τοῦ ἁγίου Ἰω(άννου):
ταῦτα δὲ λέγει, ἵνα ὅταν ἀκούσῃς τῆς γυναικὸς συμβου- σ̊ο
λευούσης αὐτῷ· εἶπόν τι ῥῆμα πρὸς κύριον καὶ τελεύτα·
μὴ νομίσῃς ὅτι διὰ φιλοζωΐαν αὐτὸν μὴ ἐπεπλήξαι,
ἀλλὰ δι᾽ εὐσέβειαν· ὁ γὰρ οὕτω ποθεινὸν ἡγούμενος αὐτῷ,
καὶ μέγα τι νομίζων αὐτῷ ἀγαθόν· παρὸν αὐτῷ εὑ-
ρεῖν οὐκ ἐτόλμησεν: τὴν ἄγαν ἐπιθυμίαν
διὰ τοῦ δεῖξαι προΐεται: ἀπολιναρίου:
ταύτην γοῦν ἔχουσι τὴν ἡδονὴν ἀποθνήσκοντες, οἱ ἐν σ̊ο
συμφοραῖς ἐξεταζόμενοι, ἣν ἔχουσιν οἱ φιλόχρυσοι
ἐπὶ τῇ εὑρέσει τοῦ θησαυροῦ: ὀλυμπιοδώρου:
καθ᾽ ἕκαστα φησὶ θάνατος ἀνδρὶ ἀνάπαυσις· πέρας
γὰρ ἐστὶ τοῦ ἐνταῦθα βίου, καὶ συγκλείει τὰς ἐνταῦθα
τῶν ἀνθρώπων πράξεις· ὥστε μὴ δύνασθαι ἡμᾶς ἔτι φαῦλον
πράττειν· ἀλλὰ καὶ τὰ κατὰ τοὺς πόνους τῆς ἀρετῆς ἔχει πέρ(ας)·
ἐκεῖ γὰρ οὐκέτι οἱ ἀγῶνες, ἀλλ᾽ οἱ στέφανοι, οὐκέτι οἱ
ἱδρῶτες, ἀλλ᾽ ἡ ἀνάπαυσις· τοῦτο συνέκλεισεν ὁ θεὸς
κατ᾽ αὐτοῦ, αἴτιος τοῦ καὶ τῶν πόνων τῶν περὶ τὴν ἀρετὴν
πέρας ἔχει· ὁ θάνατος καὶ τῆς κακίας ἀποχή:
ἀπολιναρίου: Οὗ ἡ ὁδὸς ἀπεκρύβη ἀπ᾽ αὐτοῦ.
καὶ οὗτός φησιν· ἀπαλλαγὴν γὰρ πορίζονται τῶν πόν(ων)

ἐναντίαν τοῖς ἀπολαύουσιν, ἐφ' ἑκάστῳ θλιβόμενοι,
ἐν τῇ ταυτότητι τῆς φύσεως τὴν ἀνωμαλίαν ὁρῶντες.
τὸ γὰρ οὗ ἡ ὁδὸς ἀπεκρύβη, τουτέστιν οὗ αἱ πράξεις εἰσὶν
ἀφανεῖς· ἵνα εἴπῃ οὐδενὸς ἀπολαύει ἀγαθοῦ: ·

Ὧν ἡ ὁδὸς ἀπεκρύβη ἀπ' αὐτοῦ· συνέκλεισε γὰρ ὁ θεὸς
κατ' αὐτοῦ· ϛα πρὸ γὰρ τῶν σίτων μου στεναγμός μοι ἥκει·
ϛβ δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ· ϛγ φόβος γὰρ ὃν ἐφ-
ρόντισα ἦλθέ μοι: · ·· ἄλλ(ως). ὅτι εἰς πρόσω-
πον ἄρτου μου στεναγμός μοι ἐλεύσεται: ·

ϛ Ὀλυμπιοδώρου: · Συνέκλεισε. αὐτοῦ καὶ
τῶν πόνων τῶν περὶ τὴν ἀρετὴν πέρας ἔχει ὁ θάνατος,
καὶ τῆς κακίας ἀποχήν. τίνα δὲ τῶν βελτιόνων ἔχει ἐν
τῷ μεταξὺ οὗ ἡ ὁδὸς ἀπεκρύβη ἀπ' αὐτοῦ· μετὰ τὸ
εἰπεῖν θάνατος ἀνδρὶ ἀνάπαυσις. ὁ δὲ νοῦς οὗτος.
τοῦ θανάτου φησὶν ἡ ὁδὸς ἀπεκρύβη ἀπ' αὐτοῦ. οὐ
γὰρ οἶδε πότε ὁ θάνατος ἐφίσταται ἐπὶ τὸ ἐφήδιον: ·

ϛ Σύμμαχον ἀπέφραξεν ὁ θεὸς κατ' αὐτοῦ φησὶ τουτέστιν
ἀνενέργητον αὐτὸν ἐποίησεν: · Ὀλυμπιοδώρου:

ϛα Οὐδὲ γὰρ ἐξ ἐναντίας φησὶ τροφῆς μεταλαμβάνω: ·

ϛα Ἀπολιναρίου: · Ἀλλ' οὐδὲ ἔχει τις εἰπεῖν ὡς
τιν' ἄλλως ταῦτα φημί, οὐδὲ πάθος ἐκεῖνο· οὐδὲ
γὰρ τὴν τροφὴν φησὶν ἀπονητὶ λαβεῖν δύναμαι·
ἀεὶ δὲ τοῖς παθήμασι βαρούμενος στένω: —

ϛβ Ὀλυμπιοδώρου: · Ποίῳ φόβῳ· μήπως τι ἢ ὁ

ἐγκατάλειψιν ὑπέστη παρὰ θεοῦ. ὁ γὰρ φθάσαντες ἐπέσο-
μεν, μυριάκις εἰρήκω τὸν σωματικὸν θάνατον, ἢ τὸ
ὑποστῆναι τὴν ἄνωθεν ἐγκατάλειψιν: ἀποκηρεα:
Ἐπάν ποτε φησὶν αὔξησιν τῶν δεινῶν ἐπίσχω, καὶ ὑπο- ϛβ
κατὸ μεῖζον ἀπὸ τῶν παρελθόντων: Ὀλυμπιοδώρου:
Ὁ μέγας Ἰὼβ ἐξ ὑπερβαλλούσης φιλοσοφίας, ἐν πλούτῳ ϛγ
καὶ εὐθηνίᾳ, οὐχ ἧττον οὐ μὴν τελευτῷ, ἀλλὰ καὶ σφό-
-δρα ἐπεπόνθει μήτι προσκρούσῃ θεῷ, καὶ αὐτὸς
τῆς θείας ἐπισκοπῆς γυμνωθῇ. διατοῦτο νῦν ἀγωνιᾷ,
καὶ τὸν θάνατον ποθεῖ, ὑπονοῶν ὅτι τοῦτο πέπονθεν
ὅπερ ἐφοβεῖτο. καὶ ὁ ὑπ' αὐτοῦ ποθούμενος θεός, α-
πεσκέφθη τὰ κατ' αὐτόν: Τοῦ ἁγίου Ἰω(άννου), ἐκ
τοῦ εἰς τὸν Ματθαῖον ὑπομνήματος λόγου λα:
Ἐν πλούτῳ καὶ ἐν τρυφῇ καὶ ἐν πολλῇ παρρησίᾳ ϛγ
διατελέσας ζῶν, τὰς ἀπωλείας καθ' ἑκάστην ἡμέραν
ὠνειροπόλει συμφοράς. διατοῦτο οὐδὲ αὐτόν
ἐθορύβει προσπιπτόντων μεγάλων καὶ ἀφορήτων:
Καὶ ὃ ἐπεπόνθειν συνήντησέ μοι. οὔτε εἰρήνευσα
οὔτε ἡσύχασα, οὔτε ἀνεπαυσάμην. ἦλθε δέ μοι
ὀργή: : διὰ τὸν τοῦ θεοῦ φό-
βον. :: ἀ κλόνησις. Ὡσανεὶ ἔλεγε,
πρὸς ὃν ἀεὶ τοῖς λογισμοῖς ἠρχόμην: Ὀλυμπιοδώρου: —θε
Οὐ γὰρ διετέλεσα ἐν ἀπολαύσει ὧν εἶχον ἀγαθῶν: ϛα
Ἄλλως: Οὐδέποτε ἠμεριμνησα εἰρηνεύων

πρὸς τὴν ἁμαρτίαν. ἀπολλιναρίου:

στί ϛ τί φησιν ἐκεῖνα προέσχηκα. οὐδὲ γὰρ μέχρι τέλους
ἐν τῇ τῶν ἀγαθῶν εὐετηρίᾳ διέμεινα ἄθλιος καὶ
ὀξεῖαν τὴν μεταβολὴν λαβών. τὸ γὰρ εἰρήνευσα,
ἀντὶ τοῦ ἔμεινα ἐν τῇ ταυτότητι. τὸ δὲ ἡσύχασα, ἀν-
τὶ τοῦ ἐν τῇ τῶν ἀγαθῶν μετουσίᾳ. τὸ δὲ ἀνεπαυσάμην.
τουτέστιν ἔσχον ἡδονήν τινὰ τῶν ὑπαρχόντων, οἷς ἀ-
κολούθως τὸ ἦλθε δέ μοι ὀργὴ ἐπήγαγε. τουτέστιν οὔπω
λέσθω τινὰ τῶν κατὰ τοῦ βίου ἀγαθῶν ἡδονὴν δεξάμενος,
πικρᾶς καὶ ἀνικέστου τῆς τιμωρίας ἐπειράθην. τοι-
γαροῦν οὕτω διατελῶν, εἰς οἷα νῦν πέπτωκα φησίν:~

\+

\+

\+ προθεωρία κεφαλαίου ιδ':

\+

Καὶ ταῦτα μὲν ὁ ἐν τοῖς βασάνοις κείμενος, ταῦτα ὁ
ἐκ πολυτόκων πένης, ὁ ἐκ πολυπαίδων ἄπαις, ὁ πάλαι

ἐλεεινὸς καὶ ἀπερριμμένος ὁ φιλόσοφος, καὶ πέπει-
χημεν ὡς ἐπαναπαύεται τῶν ἀλγηδόνων· ἔξω δὲ γίνεται
τοῦ σώματος ἐν αὐταῖς μέσαις ταῖς βασάνοις, καὶ
προφητεύει κατὰ θείαν χάριν, καὶ τὸ περὶ ἀθανα-
σίας ψυχῆς κάλλιστον εἰσηγεῖται μάθημα, διὸ καὶ δι-
δάσκει μὴ συναπόλλυσθαι τοῖς σώμασι τὰς ψυχάς·
ἀλλ' ἐν ᾅδου τὸ ζῆν ἔχειν· καὶ παιδεύει τοὺς πλουσίους,
καὶ παραμυθεῖται τοὺς ἐν ἀνάγκαις, πένητας ἀπαθεῖς
εἶναι λέγων, καὶ τῶν ἐν βίῳ φοβερῶν, καὶ τῶν ποικί-
-λων ἡδέων· καὶ ὅτι χρησίμως καὶ σφόδρα εἰκότως
ὑπὸ θεοῦ τοῖς ἀνθρώποις τὸ τοῦ θανάτου μυστήριον ᾠκονο-
μήθη· διὰ τὸ καὶ κακίαν ἐπέχειν, καὶ πόνων φέρειν
ἀνάπαυλαν, καὶ ὡς οὐδὲν καταφρονεῖν ἐν ταῖς εὐθυ-
νίαις· ἀλλ' ἐννοεῖν τοῦ βίου τὸ εὐμετάπτωτον, καὶ
πεποιθέναι καὶ ὅτι τὸ ἀποθανεῖν ἄμεινον, ἢ ἐν
προσκρούσει γενέσθαι θεοῦ. ταῦτα οὖν ἐνηκότες
οἱ περὶ τὸν Ἐλίφαζ· ὑποπτεύσαντες δὲ βλασφη-
μίαν εἶναι κατὰ θεοῦ τὸ ποθεῖν τὸν δίκαιον ἀπαλ-
λαγῆναι τοῦ βίου, ἀλόγῳ κινοῦνται ζήλῳ· καὶ ἀνα-
φθέντος αὐτοῖς τοῦ θυμικοῦ, οὐκ εὐλόγῳ θυ-
μῷ χρώμενοι περὶ τοῦ δικαίου· πλανῶνται περὶ
τοὺς τῆς προνοίας λόγους, καὶ νομίζοντες ὅτι δι' ἀ-
μαρτίας μόνον πάσχουσιν οἱ ἄνθρωποι τὴν ὑπὲρ τοῦ
θεοῦ δῆθεν συνηγορίαν ἀναλαβόντες· ὅτι δὴ καὶ

καὶ ὡς ἁμαρτωλὸν τιμωρεῖσθαι τὸν Ἰὼβ προσθήκη τῶν ἀλγηδόνων οἱ ἐπὶ παραμυθίαν ἥκοντες αὐτῷ γεγόνασι. ποιοῦσι δὲ τοῦτο οὐ κακονοίᾳ τινί, ἀλλ' οἰόμενοι τὸν ἑαυτῶν φίλον, ἐπιστρέφειν, καὶ κρείσσονα ποιεῖν, καὶ διὰ τοῦ ἐκφοβεῖν ἐπὶ μετάνοιαν προτρέπειν. διὸ καὶ ὑπὸ τοῦ κυρίου, ἀγανακτοῦνται μὲν ὡς οὐ δίκαια λαλήσαντες· συγχωροῦνται δέ, ὡς οὐ κακονοίᾳ τινί, εὐνοίᾳ δὲ μᾶλλον τῇ περὶ τὸν δίκαιον καὶ τῇ πρὸς θεὸν εὐλαβείᾳ, τοιαῦτα φθεγξάμενοι· ἔστι δὲ οὐδὲ ἡ τῶν φίλων ἀντιλογία ἀνωφελὴς ἡμῖν, εἰ καὶ μὴ κατὰ τὸ δέον, μήτε ἐν καιρῷ, μήτε ἐπὶ προσώπου ταῦτα μὴ ὀφείλοντος ἀκούειν γέγονε. πρῶτα μὲν γὰρ διδασκόμεθα, μὴ ὡς ἔτυχε τὰς παραινέσεις ποιεῖσθαι, ἀλλὰ μετὰ πολλῆς εὐλαβείας καὶ δεήσεως τῆς πρὸς τὸν θεόν· ὅπως ἀσφαλεῖς ἡμῶν καὶ ἀδελφοὺς φυλάξαι τοὺς διαλογισμούς· καὶ ὅτι οὐδεμία ὠφέλεια, μᾶλλον δὲ καὶ βλάβη, τὸ μὴ κατὰ τὸ δέον κρίνοντι, ἢ ὑπὲρ θεοῦ δοκεῖ ποιεῖσθαι τοὺς λόγους· πέφυκε γὰρ ὁ πονηρὸς ἐφεδρεύειν ἡμῶν ταῖς διαλέξεσι, καὶ τὸ θεῖον τῆς ψυχῆς ἐκταράττειν μέρος, ὡς ἂν σκοτισθέντος τοῦ νοῦ καὶ τῆς εὐθείας παρατραπέντες, οἱ ἐπ' ὠφελείᾳ πολλάκις συναχθέντες βλάβης αἴτιοι γινόμεθα. πιθανῷ δὲ προοιμίῳ χρησάμενος ὁ Ἐλιφάζ, ἐν μέσοις πλανᾶται τοῖς λόγοις· καὶ πειρᾶται δεικνύναι ὡς δι' ἁμαρτίας πάσχει ὁ Ἰώβ· καὶ ἐπιστρέφει τὸν ἐπεστραμμένον.

καὶ πρὸς θεοσέβειαν ἕλκειν τὸν ἄμεμπτον καὶ θεοσεβῆ.
καὶ παρὰ τὰς πάσας ἀλγηδόνας τοιαῦτα φιλοσοφήσαντα:

+

+ πρώτη τοῦ ἐλιφὰζ πρὸς τὸν ἰὼβ ἀντίρρησις:

κεφάλαιον δον:

Ϛε
Ὑπολαβὼν δὲ ἐλιφὰζ ὁ θαιμανίτης λέγει· Ϛϛ μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ· ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει: β εἰ λημψόμεθα λαλῆσαι πρὸς σὲ κοπιάσεις: ε ἐὰν ἀναλάβωμεν λόγον μοχθήσεις:

Ὀλυμπιοδώρου:

Τὸ ὑπολαβὼν τουτέστι τοῦ ἰὼβ διαδεξάμενος: Ϛε

τοῦ αὐτοῦ: Οἶδα φησὶν ὦ ἰώβ, ὅτι οὐδέποτέ σοι λελαλήκαμεν λυπηρά, ὥστε σε κοπῶσαι· νῦν δὲ ἐπειδὴ μὴ δυνάμεθά σου φέρειν τὴν τραχύτητα τῶν ῥημάτων εἰς ἀντιλογίαν ἥκομεν: Ϛϛ

τοῦ ἁγίου ἰω(άννου): Τὸ ὑπονοθεύειν ἡ γένεσιν τὴν α- Ϛϛ

μαρτίαν λέγειν, ὑπὸ τὴν γλῶσσαν αὐτοῦ πόνος καὶ κό-
πος· οὐκ εἶπε μὴ ἐπεπράξαμεν, ἀλλὰ μὴ λελάληταί σοι·
ἐπειδὴ γὰρ ἔλαμπεν ὁ βίος αὐτοῦ πανταχοῦ, καὶ πολ-
λὰ τῆς ἀρετῆς ὑπομνήματα πανταχοῦ τῆς γῆς εἶχε,
μὴ τοῦτο φησὶν εἴπῃς εἰ καὶ αἱ πράξεις σου καλαὶ καὶ
ἀγαθαί· συμβαίνει γὰρ ἐν τοῖς ῥήμασι γεγενῆσθαι τὴν
ξς ἁμαρτίαν : διδύμου : Ὅπερ δηλοῖ καὶ
αὐτὸς σὺ πολλάκις ἐλεγκτικοῖς λόγοις πρός τινας πεπτε-
πτωκότας ἐν θλιβεροῖς· ἵνα τὸ λελάληται ἐνεργητικῶς
ἀκούσωμεν ὡς τὸ ἐπεσκέπτω σοι : πολυχρονίου :
ξε Ὁ μὲν Ἰὼβ ἐν τοῖς προλεχθεῖσι κατέπαυσε τὸν λόγον τῆς ἀ-
μηχανίας διὰ τῶν ῥημάτων, παραμυθίαν ἑαυτῷ
πορειζόμενος· ὁ δὲ Ἐλίφαζ ὕβριν νομίσας θεοῦ τὴν ἀ-
ποδυσπέτησιν τοῦ Ἰὼβ, οὐκ ᾠήθη δεῖν ἡσυχίαν πα-
ρελθεῖν· ὥσπερ τὴν ὑπὲρ θεοῦ συνηγορίαν ἀναδεξάμενος
βούλεται διὰ τῶν οἰκείων λόγων, δεῖξαι δι' ἁμαρτίας
αὐτὸν τὰ συμβάντα πεπονθέναι. ἐφ' οἷς ὡμολογη-
μένοις καὶ μέμφεται τῇ τραχύτητι τῶν ῥημάτων, ὡς
κατὰ θεοῦ τετολμηκότι, καὶ βλασφημήσαντι τὸν
δημιουργὸν δεσπότην. ἐπὶ τῇ ἀποδυσπετήσει τῆς
γεννήσεως, δέονται χάριν γινώσκειν, ἐφ' οἷς οὐκ ὄντ
παρήγαγε, καὶ μεταμελείᾳ τῶν ἐπταισμένων ἐ-
ξιλεοῦσθαι τὸν θεόν : καὶ μετ' ὀλίγα :
Ἐγὼ μὲν γὰρ ᾤμην σε περὶ θεοῦ διαλέγεσθαι· περὶ

τοῦ εὐσεβῆ τοῦ λογισμοῦ ἑκάστοτε ἐσχηκέναι· καὶ
μὴ δὲ πώποτέ τι ἀπηχὲς περὶ αὐτοῦ λογίσασθαι· οὐδὲ
ὡς ἔοικεν, καθάπερ ἐντραφεὶς τοῖς πονηροῖς ἔθεσι,
καὶ τρόπον τινὰ τῆς ἀσεβείας ὢν τρόφιμος· εἰς τοσαύτην
ἀνωμαλίαν ἐξεκυλίσθης λόγων: διδύμου:

Αὐτός μὲν πολλοῖς προσήγαγες παράκλησιν· τὰ δὲ σὰ ῥή- ε
ματα, ὀλιγωρίας πεπληρωμένα· οὐδεὶς οἷός τε ἐστὶ
φέρειν· ταῦτα δὲ ἔλεγεν ἀγνοῶν τὴν δύναμιν τῶν πα-
ρ' αὐτοῦ εἰρημένων:

Εἰ [ϛξ] γὰρ σὺ ἐνουθέτησας πολλούς· καὶ [ϛη] χεῖρας ἀσθενοῦς
παρεκάλεσας· ἀσθενοῦντάς τε ἐξανέστησας ῥήμα-
σιν· γόνασί [ϛθ] τε ἀδυνατοῦσι θάρσος περιέθηκας·
[ξ] νυνὶ δὲ ἥκει ἐπὶ σὲ πόνος, καὶ ἥψατό σου· σὺ δὲ ἐ-
σπούδασας, [α] πότερον οὐχ ὁ φόβος σου ἐστὶν ἐν ἀφρο-
σύνῃ: ∴ ἐσφαλῶτας·

∴ ἐσπούδασας ἀπορρίψαι μὴ φέρων αὐτόν:

τοῦ ἁγίου ἰω(άννου): Ὁ ἐκεῖθεν ασιν αὐτοῦ ϛξ
κατορθωμένα· ἐνῆν γὰρ αὐτῷ αὐτίκα θεῖναι τὴν πενί-
αν· ἔτι τινας ἀπὸ λόγων ὠφέλησεν: διδύμου:

Δηλοῖ ὅτι ἃ σὺ ἄλλοις εἰς παραμυθίαν παρήγγελλες, ταῦτα ϛξ
τέως τινὰ τοὺς σοῦ παραμυθοῦντας ὑπὸ λύπης οὐχ ὑπομι-
μνησκόμενος· τὸ δὲ ἐσπούδασας, ἀντὶ τοῦ τεταρά-
ξαι: πολυχρονίου: Μάχεται φησὶ τῇ παρ- ϛξ
-α ὑπολήψει τὰ παρόντα· ὁ γὰρ πολλάκις ἄλλους ἀναρ-

-ρώσας τοῖς λόγοις, καὶ μονονουχὶ πεπτωκότας διαναστῆσαι·

πῶς ἐν τοσαύτῃ ταραχῇ καθέστηκας τὸν λογισμόν, οὐ

δὲ τοὺς ἑαυτοῦ ἀναδεχθεὶς λόγους· ἀρκεῖ γὰρ πρὸς

παράκλησιν ἡ μνήμη τῆς εἰς ἑτέρους ὑπὸ σοῦ γενομένης

ϛη παραινέσεως: Ὀλυμπιοδώρου: Πράξεις

ἀμέμπτω τοῦ μετερύθησας: τοῦ αὐτοῦ:

ϛθ Μαρτυρεῖ αὐτῷ ὅτι καὶ τοῦ παρακλητικοῦ εἶχε λόγου:

ρ τοῦ αὐτοῦ: Ἐσπούδασας. τουτέστιν ἐν θο-

ρύβῳ καὶ ἐν ταραχῇ καθέστης· εἴρηται δὲ ἡ λέξις

ἀπὸ τοῦ τοὺς θορυβουμένους σπεύδειν: τοῦ αὐτοῦ:

α ἔοικεν φησὶν ἐπὶ τῶν πεπτωκότων, ὅτι καὶ τὴν ἐλπίδα

φοβεῖσθαι τοῦ θεοῦ· ἐλέγχει γάρ σε τῶν οἰκείων ὑπομι-

μνησκόμενον λόγων· καὶ ἐν ταῖς ἑτέρων μόνον, ἀλλὰ

καὶ ταῖς σαυτοῦ συμφοραῖς φιλοσοφεῖν· σὺ δὲ ἄρα οὐ

καθαρὸν τοῦτον τοῦ θεοῦ φόβον ἐκέκτησο· ἀλλ᾽ ἐν κακίᾳ διάγων,

ἔλεγες ἐλπίζειν ἐπ᾽ αὐτόν ὅπερ ἐστὶν ἀφροσύνης:

α Πολυχρονίου: Τουτέστιν οὐ δέοντα πράττεις, ἀλλὰ τοῖς

ἄφροσιν παραπλησίως, εἴπερ καὶ ἀνυποστάτους ἑαυτῷ

ὑποτείνων τοὺς φόβους: τοῦ ἁγίου Ἰωάννου:

α Μάταιον πλέκει σοι λογισμόν· ἐπειδὴ γὰρ ἔλεγε· φόβος

γὰρ ὃν ἐφοβούμην ἦλθέ μοι· οὗτος φησὶν ὁ φόβος ἐν ἀ-

φροσύνῃ ἦν· καὶ ἡ ἐλπίς σου ἀπὸ τῆς κακίας τῆς καρδίας

σου ἦν· ἄδηλον γὰρ φησὶν ἀγαθὸν ὄντα, τοιαῦτα

προσδοκᾶν, ὥστε σεαυτὸν ἤλεγξας, ὅτι βίου τις πονηροῦ:

Καὶ ἡ ἐλπίς σου καὶ ἡ κακία τῆς ὁδοῦ σου· μνήσθητι οὖν τίς καθαρὸς ὢν ἀπώλετο· ἢ πότε ἀληθινοὶ ὁλόρριζοι ἀπώλοντο, καθ' ὃν τρόπον εἶδον τοὺς ἀροτριοῦντας τὰ ἄτοπα. οἱ δὲ σπείροντες αὐτά, ὀδύνας θεριοῦσιν ἑαυτοῖς:

∴ θ ἡ ὑπομονή σου καὶ ἡ ἀπλότης τῶν ὁδῶν σου:

∴ ἀκ σ ἄτοπα θ ἀνωφελές· Πολυχρονίου:

Ἀλλ' ἴσως φησὶν εἴποι τις ἄν, ὡς τὴν ἄκραν μετῆλθε οὐδέπω πολιτείας εἰς θεὸν ἐλπίδος ἔχεις, καὶ αὕτη ἡ γνώμη βαρύνεσθαι σοι τὴν πληγὴν παρέξεται: Ὀλυμπιοδώρου:

Οὐ παρ' ὧν ἔπραξεν, ἀλλ' ἀφ' ὧν ἔπαθεν κατακρίνει τὸν δίκαιον, ἀγνοῶν τοῦ θεοῦ τὰς οἰκονομίας· τὸ δὲ ὁλόρριζοι, ἔμφασιν ἔχει τοῦ πάντα αὐτὸν ἅμα ἀπολέσαι τὸν πλοῦτον, τοὺς παῖδας, τὸ σῶμα αὐτοῦ: τοῦ ἁ ἰω:

Ἔσω φησίν, ἔχεις εἰπεῖν, ὅτι ἔπαθον τι δεινὸν ἕτεροι· ἀλλ' οὐ μέχρι τῶν ἐκγόνων ἦλθεν αὐτοῖς τὰ δεινά:-

τοῦ αὐτοῦ: Ὥσπερ σὺ φησὶ πανώλεθρος ἀπόλωλας· ἀλλ' οὐ καταπωλεῖται ὦ βέλτιστε ὁ ἀληθὴς Ἰώβ: Πολυχρονίου:

Ἀλλ' ἐάσας φησὶ τὴν περὶ σεαυτοῦ πρόληψιν, ἀκριβὴς τῶν πραγμάτων ἐξεταστὴς γενοῦ· εὑρήσεις γὰρ ὡς οὐδεὶς ἀμέμπτως βιώσας ὑπέστη πολὺ δίκην: Ὀλυμπιοδώρου:

Ὅτι ὃ σπείρει τις, τοῦτο καὶ θερίσει κατὰ τὸν ἱερὸν ἀπόστολον, πρόδηλον καὶ καλῶς εἴρηκεν ὁ Ἐλιφάζ· ἐπειδὴ δὲ δεῖ ἀροτριᾶν, εἶτα σπείρειν, εἶτα θερίζειν ἀκολούθως ἐξείληφε τὴν τροπὴν τοῦ λόγου· ἐκεῖνο δὲ οὐκ ἐνόησεν.

ὅτι οὐ παντὸς ἐνταῦθα ἡ ἀνταπόδοσις· πολλοὶ γὰρ τῶν
φαῦλα πραξάντων, ἀνεπεγκλήτως ἀπῆλθον μὴ κολασθέντες,
ἐν τῷ παρόντι βίῳ, ἀλλὰ τηρούμενοι τῷ μέλλοντι δικαίῳ κριτη-
ρίῳ: Πολυχρονίου: Τουτέστι πρόκεινται εἰς τι-
μωρίαν οἱ τὰ παράνομα ποιοῦντες. τούτους γὰρ φησὶν
ἴδον ἐγὼ ὑπὸ τὴν τοῦ θεοῦ πίπτοντας ψῆφον: Καὶ εἰ-
κότως φησίν· ἀξίως γὰρ τῶν σφετέρων ἔργων τὴν ἐπι-
καρπίαν δέχονται: Οἷς γὰρ οἱ πονηροὶ κατέρου-
σι κακοῖς, κατ' ἀλλήλων ἀθροίσονται πράξεων τὴν κόλασιν:
Ἀπὸ προστάγματος κυρίου ἀπολοῦνται· ἀπὸ δὲ πνεύματος ὀργῆς αὐτοῦ
ἀφανισθήσονται. σθένος λέοντος, φωνὴ δὲ λεαίνης,
γαυρίαμα δὲ δρακόντων ἐσβέσθη:

∴ ὡς ἐπὶ πραγμάτων πονηρῶν:

Τοῦ ἁγίου Ἰω(άννου): Μὴ νοήσῃς φησὶ δαιμόνων εἶναι πο-
νηρῶν, μηδὲ ἄλλων ἐπὶ τοῖς τύχων τὰ συμβαίνοντα· θεός ἐστιν ὁ
κολάζων· οὐκοῦν ἀναμφισβήτητον δίκαιον εἶναι τὴν κό-
λασιν: Πολυχρονίου: Τουτέστιν οὐ δεῖται τοῦ
θεοῦ· ἀρκεῖται γὰρ προστάξας εἰς τιμωρίαν τῶν ὑπευ-
θύνων: Ὀλυμπιοδώρου: Τὰς ὁρμὰς τῶν παθῶν
τοῖς θείοις ἀπεικαστέον. τὸν δὲ μυρμηκολέοντα
τῷ διαβόλῳ. μύρμηκα μὲν ὄντα τοῖς εὐσεβέσιν. εἴπερ
ἐπὶ τοιοῦτον τι ξύλον, εἶτα καὶ τῷ λόγῳ συντελεῖται.
εἰ μὴ ηὗρεν οὗ φησὶ λεοπῆν παρὰ σοὶ ὁ διάβολος.
τουτέστιν εἰ μὴ εἶχε ἄδικος, ἀπώλετο ἄν, ὅπερ ἐστὶν

ἄπρακτος.

ἄπρακτος ἔμεινεν, καὶ αἱ τῶν παθῶν προσβολαὶ ἀπε-
σβέννυντο καὶ διελύοντο· κατὰ κοινοῦ γὰρ λείπει τὸ διὰ
τὸ μὴ ἔχειν βορὰν: ἢ καὶ ἄλλως: λέοντι τὸν ἰὼβ
διὰ τὴν βασιλικὴν συνέκρινε δύναμιν· φωνὴν δὲ λε-
αίνης· καὶ γαυρίαμα δρακόντων προσέθηκεν, ἐνδεικνύ-
μενος ὡς ἀσθενικός τε εἴη καὶ σοβαρὸς τῷ φρονήματι·
ἤγουν τὸ μὲν φωνὴν λεαίνης εἰς τὴν γυναῖκα· τὸ δὲ τῶν
δρακόντων γαυρίαμα εἰς τοὺς παῖδας δὲ τοῦ ἰώβ· πάντα
δὲ ταῦτα σβεσθῆναι φησὶν ἐπεμβαίνων τοῖς ἑαυτοῦ πα-
θεσιν· τὸ δὲ μυρμηκολέων, ὤλετο παρὰ τὸ μὴ ἔχειν βο-
ρὰν· αἰνίττεται πάλιν τὸν ἰὼβ [illegible] μὲν [illegible]
σιναίου δὲ πεπληρωμένου ὑπόκρισιν· εἰ ὢν φησὶν ἦσθα
ἀληθινός, καὶ μὴ μέχρι λόγων εἶχες τὸ θεοσεβές· οὐ-
δὲν ἄν σοι τούτων συνήντησεν· τὸ γὰρ σπώμενοι λεόντων,
ἔλειπον ἀλλήλους· πάλιν εἰς τοὺς παῖδας δὲ τοῦ ἰώβ,
ὧν τὴν ὁμόνοιαν διέλυσεν ὁ θάνατος: ἄλλως:
τ ταῦτα καὶ ἐρώτησιν ἀνάγνωθι· ἆρα οὐχὶ καὶ μεγάλα
καὶ μικρὰ ζῶα ἐμμένει τοῖς ὅροις τῆς φύσεως, καὶ πῶς
ἂν αὐτὸς φησὶ μεταλλευθείη τῶν ὅρων τοῦ θεοῦ· ὥστε καὶ δι-
καιοπραγῶν εὐλογῆσαι: ἄλλως: λαμβάνει
δὲ φύσιν ἀλόγων· οὐ πάνυ τι χρησίμην τῷ ζῆν τῶν ἡμε-
τέρων, ἀλλὰ καὶ ἐπίβουλον· ὁ τοίνυν φησὶ καὶ ἐν τούτοις
τὴν εὐταξίαν διατηρῶν πολλῷ μᾶλλον καὶ ἐπ᾽ ἀνθρώπων:
ἄλλως: καὶ τὰ σφόδρα δυνατά, ἀπὸ προσαίτησις

κυρίου ἀπολοῦνται: —

Μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν· σκύμνοι
δὲ λεόντων ἔλιπον ἀλλήλους· εἰ δέ τι ῥῆμα ἀληθινὸν ἐ-
γεγόνει ἐν λόγοις σου· οὐδὲν ἄν σοι τούτων ἀπήντησεν:

ἀ εἰσώλετο· ὁ ἀνυπόσταλος λέων ἀπώλετο:

οὐδὲ γὰρ καθ' ἑτέρων νομεύονται: ὁ δ' ὑπερεῖς

καὶ οἱ σκυμαλοὶ οὐκ εἰς διαδοχὰς παραπέμπονται·

Ὀλυμπιοδώρου: Οὕτω νεῖλος ἐν τῷ ἀσκητικῷ,
μυρμηκολέων ὁ διάβολος, ἐπειδὴ μικρά τινα προπα-
ρασκευάζων ἁμαρτάνειν. καὶ λαθραίως ὑπεισιὼν, εἰς
μεγάλα πταίσματα, ἐπείγων καταφρονεῖν: Ἄλλως:

Τινὲς ζωόφυτα φασὶν αὐτὰ εἶναι. φύονται μὲν ἐν τῷ
ὠκεανῷ. οὐκ ἔχοντα δὲ ἀναλογοῦσαν τροφὴν καὶ ἀπολ-
λύμενα· οἱ δὲ φασὶν αὐτὰ δίχα τροφῆς μὴ ζῆν:

Ἄλλως: Φησὶν ὅτι ἐστιν, ὃ ἄλλως ἑρμηνευθῆναι οὐ δύ-
ναται· θέλει δὲ εἰπεῖν ὅτι πᾶς ὑπερήφανος καὶ ἄδικος σβέν-
νυται: Τοῦ ἁγίου Ἰω: Αἰνίττεται ὅτι πολλάκις συ-
μνά τινα εἶπεν ὁ Ἰώβ. ἴσως ἢ εἰς ξύλον τινὰς ἀγαθο· ἢ καὶ
ἑτέρας ἐκείνου οἰκονομίας: Πολυχρονίου:

Ὅτι φησὶν ἐκ τῶν εἰρημένων συλλογίζεται αὐτὸς δίκην σε πλη-
μμελημάτων τινῶν ὑποτίνειν· οὐ γὰρ ἂν εἴ τι τῶν προ-
σηκόντων παρὰ σοῦ γέγονε, τοσοῦτον ἂν πεῖραν ἔλαβες
κακῶν τοῦ θεοῦ οὐδαμῶς παρορῶντος, τῶν δικαίων τὰς
πράξεις: Ὁρᾷ τὰ μεγάλα καὶ ὑπὲρ αἴσθησιν

καταλαμβάνομεν, μή τι περὶ θ(εο)ῦ:

Πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ τοῦ.
φόβῳ καὶ ἠχῷ νυκτερινῇ· ἐπιπίπτων φόβος ἐπ' ἀν-
θρώπους· φρίκη δέ μοι συνήντησε καὶ τρόμος· καὶ
μεγάλως μου τὰ ὀστᾶ συνέσεισεν: ~

∴ ἐν ἐκπλήξει ἀπὸ ὁραμάτων νυκτερινῶν· ἐπ'
ἐμὲ ἐλαλήθη λαθραίως ὡς ἐν κλοπῇ· καὶ ἐδέξατο
οὖς μου ψιθυρισμὸν παρ' αὐτοῦ· ∴ τὰς τῆς ψυ-
χῆς δυνάμεις: Ὀλυμπιοδώρου:

Ὅρα φησὶν οὐκ ἐδέξατό μου τὸ οὖς παρ' αὐτοῦ ἐξαίσια ε
παρὰ θ(εο)ῦ δηλαδή, ἵνα σοι φανείην ἀξιόπιστος νουθετῶν
τὴν εἰς τὸ θεῖον εὐλάβειαν· τὸ γ(ὰ)ρ δέξεται ἐνταῦθα,
ἐδέξατο νοήσεις, πολλαχοῦ τῆς γραφῆς χρόνον ἀντὶ
χρόνου λεγούσης· καὶ μὴν φησὶ πολλάκις καὶ παρ' ἄλλων
ἄλλων ἀκηκοώς, καὶ κατ' ἐμαυτὸν ἐννοῶν περὶ τῆς
θείας μεγαλειότητος φόβου τε παντὸς ἐνεπλήσθην· κ(αὶ)
μέντοι καὶ νυκτερινοὺς ἤχους· λέγει δὲ τοῦτο ἀπὸ τοῦ φύ-
σει συμβαίνοντος· καὶ γ(ὰ)ρ ἀπείρων νυκτῶν ἡσυχί-
ας ἐπιλαβούσης τὸ πᾶν, οἷα τινὸς ἤχους περιϊούσης,
ὑπόληψιν ἔχομεν· βούλεται οὖν εἰπεῖν ὅτι ἡ ἐ-
μὴ καὶ ἀκίνητος μένει μὴ κατεπτοημένος, ὅτι δὲ
τοῦ θ(εο)ῦ τὴν ὑπερφυΐαν· καίτοι φησὶ καὶ πνεῦμα ἐπὶ πρό-
σωπόν μου ἐπῆλθε· τουτέστιν οὐδὲ ἄμοιρος εἰμὶ θείας
ἐλλάμψεώς τε καὶ ἀποκαλύψεως· ἀνέστην δὲ καὶ οὐ-

-κατέγνων· αὐτίκα τοῦ πολλάκις ὑψοῦσά μου τὸν λογισμόν,
καὶ οὐδὲν ἧττον τῆς θεοπτίας ἀπώλισθον· καὶ θεοῦ φησίν,
ὅτι ποτέ ἐστιν ἰδεῖν ἐθέλων· μόνας εἶδον αὐτοῦ τὰς ἐνερ-
γείας· τοῦτο γάρ ἐστιν εἶδον καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλ-
μῶν μου· τὸ δὲ ἀλλ᾽ ἢ αὔραν καὶ φωνὴν ἤκουον· τοιοῦ-
-τόν ἐστιν, καθάπερ ἡ φωνὴ καὶ τὸ ἀνεμιαῖον πνεῦμα· ὁπό-
ασι μὲν ἑαυτῶν τὴν αἴσθησιν· εἰς δὲ θέαν αὐτοῖς οὐκ ἔρ-
-χεται· τὸν ὅμοιον τρόπον καὶ ἡ θεία φύσις· τί οὖν οὐ φησίν
σὺ ἰώβ· τοῦτο γὰρ διὰ πάντων ἐθέλει σημαίνειν, αὐτί-
φιλοσοφήσεις καὶ οὐ καταντήσει θεοῦ, τοῦ οὕτως ὑπερ-
φυᾶ: Ὅταν ἐνθυμηθῶ περὶ θεοῦ, πάντα μοι φοβερὰ
φαίνεται : Μεγάλοι αὐτοῦ καὶ οἱ κατ᾽ ὄναρ φό-
βοι: Πολυχρονίου: Οὕτω φησὶ καὶ αὐτὸς περὶ
θεοῦ λογίζεσθαι βουλόμενος εἰς δέος κατέστην, ὥσπερ
τινὸς ὑποσείοντος τὸν λογισμόν· ὥστε μὴ μόνον τοσαύτης
φρίκης πληροῦσθαι, ἀλλὰ καὶ τῶν ὀστέων τὴν ἰσχὺν
κλονεῖσθαι :
Καὶ πνεῦμα ἐπὶ πρόσωπόν μου ἐπῆλθεν· ἔφριξαν δέ μου
τρίχες καὶ σάρκες· ἀνέστην καὶ οὐκ ἐπέγνων· εἶδον καὶ οὐ-
κ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου· ἀλλ᾽ ἢ αὔραν καὶ φωνὴν
ἤκουον: ∴ ὢ ὤχετο· αὐτίκα πνέει μοι ὁ φό-
βος : ∴ ἔ ἐστι τις οὐκ ἐγνώρισα τὸ εἶδος:
Πολυχρονίου: Καθάπερ φησὶν ἀνέμου πνέον-
-τος αἴσθησιν μὲν τῆς ἐνεργείας ἔχω· οὐ μὴν τὸ εἶδο-

-πορίας λαβεῖν δύναμαι, οὕτω καὶ περὶ τῶν λογιζομένων,
ἐν ὅσῳ εὑρεῖν προσδοκῶ διαδιδράσκει μου τῶν λογισμῶν
τὴν κατανόησιν: Διδύμου: Καὶ ὅσῳ φη- οφο
σὶν ἐφίκεσθαι ἐπεχείρουν ἀεί τι τοῖς λογισμοῖς προ-
σεπινοῶν, πρὸς εὕρεσιν τοῦ φαινομένου. τοσούτῳ
μειζόνως εἰς βάθος κατέστην, ἤν τε ἐμαυτοῦ ἐπι-
γινώσκων ἀσθένειαν, τό τε τοῦ ζητουμένου μέγεθος.
ὁ δὲ ἑβραῖος καὶ ἔφριξαν αἱ τρίχες τῆς κεφαλῆς μου
ἔφη. τὸ σύμβαν ἐκ τῆς τῶν λογισμῶν ζητήσεως ἔφησας:
αἱ πηγὴν διανοίξας οὐχ ὁρῶ τὸ ζητούμενον: Διδύμου: οφο
Καὶ ὅτι φησὶν ἐκ πόνου ἐφικνεῖσθαι. τότε μὴ ἡ ἀκρι- γρ
-βὴς διέδρασκε κατάληψις: Τὰ παρακολου- γρ
θοῦντά φησι τοῖς ἄγαν ἐκδειματουμένοις:
Τοῦτο ἡ ἀκριβὴς κατάληψις: Διδύμου: δ
Καὶ παραπλήσιόν τι φησὶν ἔπασχον ὡς ἔφην τὸ ἐπὶ
τοῦ ἀνέμου. ὡς γὰρ ἐκεῖνον λαβεῖν ὀφθαλμοῖς
οὐκ ἔνεστιν. οὕτως οὐδὲ τὴν εὕρεσιν λογισμῷ δύναται:
Ὡς γὰρ ἄνεμος ἀνέφικτος ὀφθαλμοῖς. οὕτω καὶ θεὸς
νῷ: Ἱερεμίας φωνῆς ἤκουον:
Τί γὰρ μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον κυρίου, ἢ ἀπὸ τῶν
ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ, εἰ κατὰ παίδων
αὐτοῦ οὐ πιστεύει: ∴ εἰ δὲ ἐν δού-
λοις αὐτοῦ ἀβεβαιότης, καὶ ἐν ἀγγέλοις αὐτοῦ, εὑ-
ρήσει ματαιότητα: Ὀλυμπιοδώρου:

ς̄ Καὶ μὴ νομίσῃς φησὶν ὅτι ὀνειδιστικῶς σοι ταῦτα λέγω· καθόλου γὰρ οὐδεὶς ἄνθρωπος ἄμεμπτος ἐστὶν ἐναντίον σου:

Ἄλλως· Ἀπὸ τοῦ ἐπεὶ τὸν ἀνεψιοῦ κακίσας τὴν τόλμαν, καὶ ἀπὸ τῆς ἐπεὶ τὴν φύσιν ἀσθενείας αὐτοῦ ἐλέγχων ἐπιεικῶς· ἄρα οὖν φησὶν ὅτι μὴ ὀνειδίζειν σοι ἁμαρτίαν· ἢ οὐκ οἴδαμεν ὅτι πᾶς ἄνθρωπος ἐν ἀνομίαις συνελήφθην:

ς̄ Τοῦ ἁγίου Ἰω(άννου): Ὁ ἐκ αὐτὸν αὐτὸ φθεγγόμενον τῷ θεῷ· αὐτοῦ γὰρ εἰ δοῦλος ἄνθρωπος ἄμεμπτος. αὐτός φησιν οὐκ ἄμεμπτος, ἀπὸ τῶν οἰκείων ἐξαίρεται ψῆφον:

ς̄ Διδύμου: Τοῦτο μὲν οὖν πιθανὸν ὑπάρχων, εἰ κατὰ τὴν ἔννοιαν αὐτοῦ ἐξετάζοιτο, ἔχει τὸν ἔλεγχον· εἰ γὰρ διὰ ἁμαρτίας, ὅσα περ ἐπὶ τῶν ἀνιαρῶν θλίβεται οὐδεὶς καθαρός, οὐδεὶς ἐκτὸς ἀνιαρῶν ὑπάρχειν ἄν:

ς̄ Τοῦ αὐτοῦ: Οὐδὲ γὰρ ἄν φησι τοῦτ᾽ εἴποις, ὡς ἁμαρτημάτων ἐκτὸς ὢν πέπονθας ταῦτα· ἐπεὶ μηδὲ ἔστιν ἀνθρώπου φύσιν πρὸς τὴν τῶν νόμων ἀκρίβειαν πολιτεύεσθαι· ἔστι γὰρ ὅτε μὲν καὶ ἑκουσίοις, πολλάκις δὲ καὶ ἀκουσίοις περιπίπτωμεν διὰ τὴν τῆς φύσεως

ξ ἀσθένειαν· Τοῦ αὐτοῦ: Καὶ εἰ ἀληθῶς φησὶν ἐκόλασεν ἁμαρτάνοντας, τί θαυμαστόν· εἰ ἡμεῖς πλεῖστον ὅσον ἐκείνων λειπόμενοι, ἀπὸ γῆς ὄντες καὶ ἐπὶ γῆν εἱλούμενοι, καὶ εὐκόλως τοῖς ἁμαρτήμασι περιπίπτοντες τιμωρούμεθα· καὶ τοῦτο τοῦ θεοῦ σοφῶς οἰκονομοῦντος· ὥστε μὴ ὑπὸ τῆς ἀδείας εἰς ἐσχάτην

ἀσέβειαν ἐμβεβακχεύκασι· τὸ δὲ ἀπώλοντο διὰ τὸ μὴ ἔχειν
αὐτοὺς σοφίαν· τουτέστιν οἱ μὴ ἔχοντες σοφίαν χειραγωγοῦ-
σαν αὐτοὺς εἰς μετάνοιαν ἐξώλεισθον· ὃ δὴ καὶ συμπέπον-
θας φησίν: Ἢ καὶ ἄλλως: Κατὰ παίδων αὐτοῦ οὐ
πιστεύει φησίν, ὡς τοῦ διαβόλου σπουδάζοντος διαλοιδο-
ρεῖσθαι τοὺς ἁγίους· ὃ δὴ καὶ ὑπ' αὐτοῦ πεποίηκε τοῦ Ἰώβ·
ὁ δὲ παρ' ἡμῖν νοῦς τοιοῦτος· Εἰ μήτε λοιδορείαις προσέχει θεὸς
κατὰ τῶν αὐτοῦ θεραπόντων, μήτε μὴν ἀτιμωρητὶ πα-
ρίησι τοὺς ἁμαρτάνοντας· ἀλλὰ καὶ ἀγγέλους κολάζει·
δῆλον ὅτι τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν τάξιν, οἷα τὴν
φρονοῦντες, ἄρα παρὰ τὴν σοφῶν αἰτίαν τιμωροῦνται
τε καὶ ἀπόλλυνται, καὶ τίς ἡ αἰτία τὸ μὴ δύνασθαι ἑαυτοῖς
βοηθεῖν· πῶς δὲ οὐ δύνανται φησίν ὅτι σοφίαν οὐκ ἔ-
χουσι, τουτέστι φόβον θεοῦ· ἀρχὴ γὰρ σοφίας φόβος κυρίου· τὸ δὲ
ἀπὸ πρωΐθεν ἕως ἑσπέρας οὐκέτι εἰσίν εἴρηται· ἢ διὰ τὸ τὸν
υἱὸν Ἰὼβ αὐθημερὸν ἅπαντα ὑποστῆναι· εἰ καὶ ὅτι οὐ δεῖται
χρόνου φησίν ὁ θεὸς τοὺς ἀσεβεῖς τιμωρούμενος: Ἢ καὶ
ἄλλως: Ὡς ἐν σχήματι ἐρωτήσεως ἀναγνωστέον τὸ ῥητόν:
Εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει· κατὰ δὲ ἀγγέλων αὐτοῦ
σκολιόν τι ἐπενόησεν, ἵνα ᾖ τοιοῦτος ὁ νοῦς, μὴ θαυ-
μάσῃς ὅτι προεῖπον, ὡς οὐ καθαρὸς ἔσται βροτὸς ἐναντίον
κυρίου, ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ, ὅπου γε τοῖς
παισὶν αὐτοῦ τοῖς θεράπουσι καὶ λοιποῖς τοῖς ἀγγέλοις
οὐ πιστεύει· τουτέστιν οὐκ ἐμπεπίστευκε τὸ κατὰ φύσιν.

καὶ ἔμπρακτος ἀμίμητον· τῇ γὰρ αὐτοῦ καὶ αὐτοὶ συνέχονται
χάριτι· ἐπεὶ παρ' αὐτοῦ μόνου τὸ ἄτρεπτον· πάντα δὲ ὁ δη-
μιουργὸς ἐξ ἀγαθότητος μόνης ποιήσας, οὐ πάντως τοῖς οἰκείοις
ἐφθόνησε κτίσμασι τῶν ὅσα χωρεῖν ὑπάρχειν ἱκανά, πρὸς
τῷ μὴ αὐτοῦ ὑπερέχοντος καταβλάπτεσθαι· ἐπειδὴ οὖν
φησὶ τῇ φύσει τῶν παίδων αὐτοῦ οὐ πιστεύει· καὶ ταῦτα
οὕτω μεγάλης καὶ ὑπὲρ ἡμᾶς οὔσης. μόλις δύναται λέγειν
ὅτι κατ' αὐτῶν ἀγγέλων ὄντων σκολιόν τι ἐπενόησε· βασκαίνει
δῆλον ὅτι καὶ μίσους ἐχόμενον, οὐδαμῶς· ἀλλὰ πάντα
φειδοῖ καὶ προμηθείᾳ τινὶ κρείττονι τὰ περὶ αὐτοῦ ἐ-
[illegible]: ιζ Εἰ κατὰ παίδων αὐτοῦ οὐ
πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησε:
Διδύμου: Ἀπὸ τοῦ μείζονος τὴν ἀπόδειξιν ἐπα-
γγέλλει βούλεται, καὶ τὸ ποιῆσαι ὅτι πᾶς ἄνθρωπος ὑπὸ ἁ-
μαρτίας ἐστὶ λέγων. ὅτι καὶ οἱ παῖδες τοῦ θεοῦ παρ' αὐτῷ
οὐ πιστεύονται, ὅ ἐστιν οὐχ ὡς ἄτρεπτοι εἰσί· κατὰ δὲ ἀ-
γγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν· ἁμαρτητικοί τι λοξ.
Ἐπεὶ δὲ τοῦ πολλῷ πλείω κατὰ τῶν οἰκούντων τὰς πηλίνας
οἰκίας, καὶ αὐτὸν ἐκ τοῦ αὐτοῦ πηλοῦ τυγχανόντων,
οὐ φείσεται· οἵους τρόπους τὰς κολάσεις αὐτοῖς ἐπιφέ-
ρων, οἱ καὶ κρίματι αὐτοῦ ἀπὸ πρωΐθεν πολλάκις ἕως
ἑσπέρας οὐχ ὑπομένουσιν· ζητήσει δ' αὐτῆς πόθεν οὗτος
ἔχει ἐπίληψιν τῶν παραβεβηκότων ἀγγέλων. καθ' ὃν
σκολιόν τι ἐπενόησε τὸν θεόν φησί, πρὸς ὃ λεχθείη. ὅτι

ἀτελέστατος ὁ ἀνήρ, ὅθεν ὅτι οὐ κατὰ φύσιν ἀγαθοὶ τυγχά-
νουσιν· ἀλλ' ἀλλοιωτοὶ οἱ ἄγγελοι : Τοῦ ἁγίου ἰω :

Τί δὲ λέγειν περὶ αὐτοῦ φησίν, ὅπου οἱ ἄγγελοι μὴ ὦσιν ἄμεμπτοι.
τρεπτῆς γὰρ φύσεως καὶ αὐτοί : Τοῦ αὐτοῦ :

Καλῶς εἶπε τὸ ἐπενόησε· τὴν γὰρ σοφίαν αὐτοῦ παρὰ τοῦ λόγου ἐπι-
κτησιν, ἵνα μὴ τὸ τῆς φύσεως μεγαλεῖον αὐτοὺς ἐπάρει· ἀλλὰ
διαπαντὸς ὦσιν ὑποτεταγμένοι τῷ θεῷ : Διδύμου :

Ἀγγέλους νῦν τοὺς ἱερεῖς λέγει κατὰ τὸ εἰρημένον· χείλη
ἱερέως φυλάξονται νόμον, καὶ λόγον ἐκζητήσουσιν ἐκ
τοῦ στόματος αὐτοῦ, ὅτι ἄγγελος κυρίου ἐστίν· ἴσασιν εἴδη
ὅτι καὶ ἐν τοῖς ἱερεῦσι μέμψιν εὕροιτο, οἷον ὡς ἐπὶ ναδὰβ
καὶ ἀβιούδ· εὐθὺς κατὰ τὴν προσφορὰν αὐτοὺς προσθο-
λήσας : Τοὺς δὲ κατοικοῦντας οἰκί- ἐάν δ'
ας πηλίνας· ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμέν.
ἔπεσεν αὐτοὺς σητὸς τρόπον· καὶ ἀπὸ πρωΐθεν ἕως ἑσπέρας
οὐκέτι εἰσίν· παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βο-
ηθῆσαι ἀπώλοντο : ∴ Ἢ πόσῳ μᾶλλον ἐν τοῖς
κατασκηνοῦσιν οἰκίας πηλίνας : Τῶν νοουμένων οἰκίαι τὰ
σώματα : ∴ ἃ ὧν γήϊνος ὁ θεμέλιος :

Ὀλυμπιοδώρου : Τί οὖν χρὴ φησὶ λέγειν περὶ τῶν ἀν-
θρώπων τῶν χοϊκῶν· εἰ γὰρ ἄγγελοι πνεύματα ὄντες,
καὶ οὐρανὸν οἰκοῦντες, οὐκ ἄμεμπτοι πρὸς τὴν θείαν
ἀκρίβειαν· τί ἂν πάθοιμεν ἡμεῖς οἱ γήϊνοι καὶ γῆν
οἰκοῦντες· εἰ γὰρ ἐλέγξει θεός, οὕτως ἄλλως δαπανώμεθα.

καὶ οὐδὲ ὅλην ἡμέραν ἀντεχόμεθα· ὥσπερ ἂν εἰ λάχανα ὑ-
πὸ σκωλήκων βρωθέντα, ἢ ἱμάτια ὑπὸ σητῶν δαπανηθέντα·
ὥσπερ γὰρ ταῦτα· οὕτω καὶ ἡμεῖς ἐσμὲν ἀσθενεῖς· θεὸς δὲ τοῦ-
-το δυνατὸς καὶ μετ' εὐκολίας ἐξαφανίζων οὓς ἂν ἐθελήσῃ·
ὅτι ὥσπερ ἀνέμου ἔστιν τὸ φυσῆσαι· οὕτω θεοῦ τὸ θελῆσαι
μόνον καὶ ἀποξηρᾶναι: Διδύμου:

δ Καὶ ταῦτα μὲν φησὶν οὕτως ἐχόντων. τί θαυμαστὸν εἰ ἡμεῖς
τοσοῦτον ὅσον ἀλλήλων ἀπολειπόμεθα, ἀλλ' ἐκ ἡμῶν τῆς φύ-
σεως καθελκούσης εἰς πταίσματα· εὐκόλως τοῖς ἁμαρτή-
μασι καταπίπτωμεν: Ὀλυμπιοδώρου:

ζο Καὶ γὰρ ἐπερωτῶν παρὰ τὸ δυνατὸν τοῦ θεοῦ καὶ τὸ ἀσθενὲς
τὸ ἡμέτερον παρίστησιν: Τοῦ ἁγίου Ἰω:

θ Τουτέστιν εὐκόλως καὶ τὰ ἔνδοξα διέφθειρε:

θ Τὸ ἀσθενὲς τῆς φύσεως δηλοῖ, ὡς ἂν ἱμάτιον ἀναλωθῇ ὑπὸ
σητός: Τοῦ ἁγίου Ἰωάννου: ~

ξ Καὶ διὰ τὸ ὑπερέχον τῆς φύσεως τοῦ θεοῦ, καὶ διὰ τὸ τῶν κα-
ξ κῶν πλῆθος: Διδύμου: Τοῦ γὰρ θεοῦ φησὶν
ἀποφηναμένου, εὐκόλως τὴν τιμωρίαν δέχονται. οὐ καρ-
πούμενοι ἀπὸ βιωθείσης τὴν ἀνελθοῦσαν πηγήν:

Ἐνεφύσησε γὰρ αὐτοῖς καὶ ἐξηράνθησαν· ἀπώλοντο διὰ
παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν· ἐπικάλεσαι δὲ εἴ τίς σοι
ὑπακούσεται· ἢ εἴ τινα ἀγγέλων ἁγίων ὄψῃ· καὶ γὰρ ἄφρο-
-να ἀναιρεῖ ὀργή· πεπλανημένον δέ, :

∴ ἀπὸ τῆς ἐξέλιπον· ∴ ἀπὸ τῆς διά· ∴ ἡ θεία·

Διδύμου: Τουτέστιν οὐκ ἔστ' ἐπίθημα καλοῦ, ἀλλ' ἤδου- θε
λήθη μόνον, καὶ τέλος ἔσχε κατ' αὐτούς. τὸ γὰρ ἐνεφύσησεν, ἐκ
μεταφορᾶς εἴρηται τῶν ὀργιζομένων ἀνθρώπων, οἳ ἔθος ἔχουσι τὸ
αὐτὸ ἐπὶ τῇ μήσεως τῷ ἐμφυσήματι κέχρηνται:

Τοῦ αὐτοῦ: Ταῦτα δέ φησιν ὑπομένουσιν, διὰ τὸ
μὴ μετὰ τοῦ θείου φόβου πράττειν ἅπαντα· ἀλλ' ὅτι τοῖς
προσοῦσιν ἐπαιρομένους, καὶ μηδὲ τῶν ἀνθρωπίνων
χωριζομένους ταῖς τῶν πενήτων ταλαιπωρίαις ἐπιτιθεμένους:

Ὀλυμπιοδώρου: Τοῦτο φησὶν ὑπὲρ τὴν ἀξίαν φθέ- η
γγεται ἄνθρωπος ὤν. τοσοῦτον γὰρ ἀπολιμπάνεται τοῦ θεοῦ αὐτός.
ὅτι οὐ μόνον ἀόρατος ἐστὶν ὁ θεὸς καὶ ἀκατάληπτος.
ἀλλ' οὐδὲ μιᾷ εἰ ἀπεὶ αὐτὸν ἐπικαλέσῃ, ἀποκρίνεταί σοι.
τί δὲ λέγω περὶ θεοῦ· ὅπου γε καὶ οἱ αὐτοῦ λειτουργοὶ οἱ ἅ-
γιοι ἄγγελοι ἀόρατοι τυγχάνουσιν ἡμῖν:

Εἰ δὲ ὑποκρίσεις ὀρθὰ λελαληκέναι φησί· φέρε μοι τινὰ συμ- η̄
φωνοῦντά σοι. τί δὲ θαυμαστὸν εἰ ὁ θεὸς ἀόρατος, ὅπου καὶ
οἱ ἄγγελοι τοῦτο εἰσίν: ἄλλως: Οὕτω φησὶν ὑπὲρ
τὴν ἀξίαν ἐζήτησα τὴν τῶν λόγων τεχνότητι, ὅτι μηδὲ ἀγγέλων
δύναται τυχεῖν παρουσίας, εἰ αὐτὸν ἐπικαλέσει:

Διδύμου: Εἰ δέ τι φησὶν ὡς ἄριστα ὑπαλλάττων η
μαρτύρων δίκαιος δικαίως ζητήσεται τὴν τῶν λόγων τεχνότητα,
ἐρώτησον ἢ τῶν πολλῶν τινά· εἰ ἡ βουλὴ τῶν θεῶν συνα-
κειμένων, καὶ τὴν αὐτοῦ γνώμην τοῖς ἀνθρώποις ἀγγελοῦν-
των, κατὰ πνευματικὴν χάριν. εἰ εὕροις τὸν ἐπαινοῦντα:

Ὀλυμπιοδώρου: Ἄφρονος ὀργίζει καὶ ζηλοῖ τοὺς εὐημε-
ροῦντας ἐκείνου ὄντος ἀναμαρτήτου: Τοῦ αὐτοῦ:
γ Ζῆλον φησίν, τὸ μισοπόνηρον τοῦ θεοῦ:
Θανατοῖ ζῆλος· ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζας βαλόντας·
ἀλλ᾽ εὐθέως ἐβρώθη αὐτοῖς ἡ δίαιτα· πόρρω γένοιντο οἱ υἱοὶ
αὐτῶν ἀπὸ σωτηρίας: ∴ ἃ θηρώμενον καὶ
νήπιον· ∴ ἃ καὶ κατεκλάμπει τὴν εὐπρέπειαν
αὐτῶν παράπτωμα· ∴ γένοιτο αὐτοῦ ἐγένοντο:
ια Ὀλυμπιοδώρου: Ἐπειδὴ αὐτῷ ἀπήτει ὁ Ἐλίφαζ, τῷ
καὶ ἀδίκους πολλάκις ἐν εὐημερίᾳ γενέσθαι, καὶ μά-
λιστα τὰ κατ᾽ αὐτὸν τὸν Ἰὼβ πρότερον ἐν εὐπραγίᾳ διάγοντ(α),
τὸ αὐτὸ ἐπίσης ἐπιλύων ἔφη· ὅτι ὁ ἄδικος κἂν γένοιτο
ἐν εὐπαθείᾳ τινί, καὶ βεβαίως ἔχειν νομίσει τὰ ἀγαθά·
τοῦτο γάρ ἐστι τὸ ῥίζας βαλόντας, ἀλλ᾽ οὐκ ἐπὶ πολὺ διαμένει:
ια Τοῦ ἁγίου Ἰω(άννου): Τουτέστιν ἡ ὀργὴ τοὺς ἄ-
φρονας ἀναιρεῖ· ἐμοὶ δοκεῖ τοὺς ἁμαρτωλοὺς λέγειν.
τὸν ἄφρονα φησὶν ὀργὴ ἀναιρεῖ· ὥστε τὸν φρόνιμον οὐ-
δαμῶς· οὐδὲ γὰρ ὀργὴ ἐστὶν ἐκεῖ: Ἄλλως:
Ἵνα εἴπῃ, εἰ ὅσῳ ἄφρων ἤμην, πῶς ἐπλούτουν τὸ πρίν·
ῥίζας δὲ βαλόντας, αὐτὸ τοῦ ἐν βεβαίᾳ πᾶσιν νο-
μίσαντας ἔχειν τὰ ἀγαθά: Ὀλυμπιοδώρου:
ιβ Κ(αὶ) δίαιτα τουτέστιν ἡ παλαιὰ διαγωγή: Τοῦ αὐτοῦ:
ιγ Ταῦτα πολλάκις μὲν συμβαίνει τοῖς ἀσεβέσιν, οὐ-
κ ἀεὶ δὲ πάντως ἐν τῷ παρόντι βίῳ, ὥστε μὴ μετὰ δια-

-ρέσεως τυχόντα, οὐ καλῶς εἴρηται τῷ Ἐλίφαζ. τὸ δὲ πόρρω
γένοιτο, οὐκ εὐκτικῶς εἴρηται· ἀλλ' ὡς πάντως συμβαῖνον. τὸ
δὲ κολαβρισθείησαν, ἐν τοῖς ἑξαπλοῖς φησίν, ἐκτιναχθείησαν
καὶ ἀτιμασθείησαν· κολαβρὸς γὰρ ὁ μικρὸς χοῖρος. ὅμοιον
δὲ τῷ ἐξαιρούμενος τὸ οὐκ ἐξαίρετοι ἔσονται:

Τοῦ ἁγίου Ἰω(άννου): Τουτέστιν ἐσκορπίσθησαν ἐξερρί- ιΓ
φησαν, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος : Διδύμου:

Παιδευτικήν τινα ἐπεύχεται γενέσθαι τοῖς ἀλαζόσιν· ἵνα ἥσσονα ιΓ
καὶ ἀνθρώπινα φρονῶσι ἀπὸ τῶν αὐτῶν· ἅπερ σωτηρίας
ἐπάγουσιν· οὕτω γὰρ συμβήσεται τις αὐτοῖς πόνος. λέγει
γὰρ κολαβρισθείησαν, οὐ τελεωθείησαν ὑπὸ ἐλαττόνων
ταπεινούμενοι. μηδενὸς ὄντος τοῦ βοηθοῦντος. συμφέρει
γὰρ τῷ ὑπερηφάνῳ ταπείνωσις : Πολυχρονίου:

Τουτέστιν οὐδὲ μνημόσυνον αὐτῶν περιελείφθη, ἀλλὰ καὶ ιΓ
μέχρι τῶν ἐκγόνων ἐχώρησεν ἡ θεία ψῆφος, ἵνα εἰδῇ
ὅτι καὶ σὺ ταῦτα δι' ἁμαρτίας πεπονθώς, ἐπιγνώμων τῶν
παλαιοτέρων γενέσθαι ὀφείλεις, ἀλλὰ μὴ πρὸς θεὸν δυσπετεῖν:

Κολαβρισθείησαν δὲ ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔσται
ὁ ἐξαιρούμενος. ἃ γὰρ ἐκεῖνοι συνήγαγον δίκαιοι
ἔδονται· αὐτοὶ δὲ ἐκ κακῶν οὐκ ἐξαίρετοι ἔσονται.
ἐκσιφωνισθείη αὐτῶν ἡ ἰσχύς· οὐ γὰρ μὴ ἐξέλθῃ ἐκ
τῆς γῆς κόπος: : α' ἐπιτριβήσονται,
ὃ καὶ κολαβρισθείησαν. ἐταπεινωθήσονται. : ε' πυλῶν
θλίβοντες. : α' αὐτὸς δὲ πρὸς τὸ ὅπλον ἀρθήσεται.

∴ ε ἀναστροφῇ λειμὼν τὴν διάνοιαν αὐτῶν·
∴ ε οὐ γὰρ ἐξηγεῖσθαι ἀπὸ κοινῶς ὁσίων·

Ὀλυμπιοδώρου: Εἰ δὲ καὶ ἔχει φησὶ τῶν τοιούτων τέκνα, εἰς τὴν ἀκατάλυτον ταλαιπωρίαν καθίστανται· ἐν ἐπιθυμίᾳ τῆς τοῦ θεοῦ κακοδαιμονίας γινόμενα. τὸ γὰρ κολασθῆναι, ἀντὶ τοῦ εὐτελεῖς λογισθήσονται, καὶ οὐδενὸς λόγου ἄξιοι: τοῦ ἁγίου Ἰω: Ἵνα εἴπῃ ὅτι ἐξ ἀδικίας πλουτῶν, οὐ καταπολαύσει τῶν κτημάτων· οὐδὲ γὰρ πονηρῶν φησὶν ἡ τούτων ἀπόλαυσις: Πολυχρονίου:

Τουτέστι τὰ παρὰ τῶν πονηρῶν μετὰ πόνου συναχθέντα, ταῦτα τοῖς εὐσεβέσιν εἰς ἀπόλαυσιν πρόκειται, ὡς Ἰουδαίοις ἔτυχεν εὐσεβοῦσι τὰ τῶν περιοίκων: τοῦ αὐτοῦ:

ξ Οὐ γὰρ ἐνδέχεται αὐτούς φησὶ μὴ τιμωρίαν ὑποσχεῖν, εἰ καὶ πρὸς βραχὺ ἐν εὐθηνίᾳ εἶναι δοκοῖεν:

τοῦ αὐτοῦ: Καὶ πάντας φησὶ τοὺς τοιούτους τέλεον ἀπολέσθαι προσήκει, ὥστε μηδὲ μνημόσυνον
ιϛ αὐτῶν περιλειφθῆναι: Διδύμου: Ἀντὶ ὅτι οὐ μόνον προσφέρουσι τὸν πλοῦτον οἱ ἀσεβεῖς· ἀλλὰ καὶ ἐκ κακῶν οὐδέποτε ἐξαιρεθείησαν· τῶν δ᾽ αὐτῶν καὶ ἡ δύναμις αὐτῶν παντελῶς κινηθείη, ἀπὸ μεταφορᾶς τῶν σφαιζομένων, πρὸς τὸ μηδὲν ἔτι ὑγιὲς ὑπολείπεσθαι: Ὀλυμπιοδώρου:

ιϛ Ἱερέα φησὶ δοκεῖ παραμυθεῖσθαι τὸν Ἰὼβ ἐν τούτοις· οὐ γὰρ δεῖ σε φησὶ συγχεῖσθαι αὐτὸν ὄντα καὶ πάσ-

χοντα· οὐ γὰρ ἀναισθήτως τῷ τιμωρεῖσθαι· ἀλλὰ καὶ τὰ θνητὰ
ἀπὸ γὰρ τοῦ τέλους τὰ ταῦτα θνητὰ λέγει ἀπὸ αὐτῶν τελευτῶν
ἡμῶν, καὶ ἀμεινότερον ἐπληρώσαντο βίον :
τοῦ ἁγίου ἰω(άννου) : Τίσω πλείονας ἀπολαύουσι
προνοίας, ὕδατι· ἐπεὶ μὴ δὲ ἡ γῆ, μήτε τὰ ὄρη, ὅπερ ἐστι
αὐτὰ αἰσθητὰ τυγχάνει : ~
Οὐ δὲ ἐξ ὀρέων ἀναβλαστήσει πόνος· ἀλλὰ ἄνθρωπος ἀναγεν-
νᾶται ἐν κόπῳ· νέος οὗτος οὐ δὲ ἀετῶν τὰ ὑψηλὰ πέτανται·
οὐ μὴν δὲ ἀλλ' ἐγὼ δεηθήσομαι κυρίου· κύριον δὲ τὸν πάντων
δεσπότην ἐπικαλέσομαι· τὸν ποιοῦντα μεγάλα καὶ
ἀνεξιχνίαστα : ∴ ἄλ(λος) θνητοῦ οἷον γυμνός :
τοῦ ἁγίου ἰω(άννου) : Φυσικὸν τὸ πρᾶγμα ἐστίν· ἀπὸ ὧν
ἐπὶ ταφὴν μὲν συστροφίαν· ἵνα γὰρ μὴ λέγῃ τις παρ' ἡμῖν ὅτι
δίκαιος· ἀλλ' ἡ φύσις ἡ ἀνθρωπίνη τοιαύτη τίς ἐστιν οὐ-
κοῦν ἀναμάρτητος ἀπὸ τῆς φύσεως διισχυρίζεσθαι :
πολυχρονίου : Ἀνθρώπου δὲ ἴδιον φησὶν ἐν συμ-
φοραῖς ἐξετάζεται· εὐθὺς γοῦν γεννηθεὶς τὸ κοπιᾷν
προσκεκλήρωται : τοῦ αὐτοῦ : Καὶ τοῖς ὀρ-
νέοις πρέπον τὸ ἀλύπως ἵπτασθαι, καὶ δίχα πόνων τὴν
τροφὴν ἐκλέγειν· οὐ μὴν τὴν τούτων ὑπάρχει ἀνθρώπῳ ταλαι-
πωρίας: Ὀλυμπιοδώρου : Καὶ ταῦτα μὲν φησὶν ιε
ὥσπερ ἔχειν· τὸ δὲ ἐγὼ ὑπερηφάνως εἴρηται, καὶ
πρὸς διαστολὴν τοῦ ἰὼβ ἐννοεῖ ἔλεγεν· ἐγὼ δὲ δεηθή-
σομαι· ἐπειδὴ σὺ τῆς προσευχῆς ἠμέλησας :

ιε Διδύμου: Αἰτιασάμενος τοὺς ἄφρονας καὶ τὰ ἑξῆς εἰπὼν περὶ αὐτῶν· ἐγὼ δέ φησιν οὐχ αἱροῦμαι τοῖς ἐκείνοις· ἀλλά γε πρόνοιαν ἐπιστάμενος, καὶ εἰδὼς δεσπότην τῶν πάντων θεόν, ἐπικαλοῦμαι αὐτόν· πρέπειν τοῦτο ἡγούμενος: τοῦ ἁγίου Ἰωάννου:

ιϛ ὁ τῶν πάντων δεσπότην καὶ καιρῶν καὶ τόπων καὶ πραγμάτων:

Διδύμου: Προνοητὴν ὁμολογεῖ καὶ δημιουργὸν τὸν θεόν, πάντων τῶν αἰσθητῶν, οὐχ ἁπλῶς δὲ αὐτῶν ταύτας ἔχειν τὰς παμφιλεῖς, ἀλλὰ σοφὸν ὄντα τὰ ἀνθρώπινα· ἔχει δὲ καὶ περὶ ἀπεράντων διαλήψεις, περὶ ἀνεξιχνιάστων, λέγων καὶ μεγάλων καὶ ἐνδόξων. ὑετοῦ τε καὶ ὕδατος. ὅπως ὕδωρ ἀποστέλλοι τοὺς ἐκ πηγῶν καὶ χειμάρρων καὶ φλεβῶν εἰλετῶν:

Ἔνδοξά τε καὶ ἐξαίσια ὧν οὐκ ἔστιν ἀριθμός· τὸν διδόντα ὑετὸν ἐπὶ τὴν γῆν· ἀποστέλλοντα ὕδωρ ἐπὶ τὴν ὑπουρανόν· τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος· καὶ ἀπολωλότας ἐξεγείροντα: : ἐκ πλήξεως ἀξία. : ὁ ἐπὶ πρόσωπον ἐξωτέρων: : οἷον ἀπηλπισμένους. ※ ἐν σωτηρίᾳ:

Πολυχρονίου: Καὶ ὁ κατὰ καιροὺς ἐποίει θαυμαστὰ ἐξηγούμενος πρὸς ὠφέλειαν αὐτῶν, ὧν τὸ πλῆθος, οὐδὲ λόγῳ καταλέξαι οἷόν τε· λέγει δὲ καθ' ἑκάστην γενεὰν ποικίλην γινομένην πρόνοιαν. κοινῶς τε πρὸς ἅπαντας καὶ ἰδίᾳ πρὸς ἕκαστον· ὡς γὰρ

τῶν αὐτῶν οὐκ ἔστιν ἀριθμὸν εὑρεῖν, οὕτως οὐδὲ τῆς τοῦ
θεοῦ ἐφικέσθαι προνοίας:   τοῦ ἁγίου Ἰω(άννου):

Ὁ πρῶτος τὴν εὐεργεσίαν αὐτοῦ τεκμήριον καὶ τῆς ζωῆς καὶ
συνεκτικόν, καὶ μεταβολῆς καιροῦ δηλωτικόν:

τοῦ αὐτοῦ:   Τοῦτο καὶ ἐπὶ τοῦ κατὰ μέρος. τὸ μὲν
δῆλον, τὸ δὲ ἄδηλον· ἀλλὰ τοῦτο οἰκειότερον τὸ παράδειγμα:

Διδύμου:   Μεταβαίνει καὶ ἐπὶ τὴν κατὰ ἀνθρώπους πρόνοιαν.
καὶ τοῦτο δὲ διακείμενος περὶ τοῦ θεοῦ τῶν ὅλων, ὅτι αὐ-
τὸς ἐξ ὕψους ταπεινοῖ, ἐκ πενήτων πλουσίους· ἐξ ὑπη-
κόων ἄρχοντας, ἐκ νοσούντων ὑγιαίνοντας:   Πολυχρ(ονίου):

Τοῦτό φησιν ἐπικαλέσαι, ὃς τῇ οἰκείᾳ δυνάμει, οἷός
τε ἐστὶ τῆς μὲν προσούσης ἀπαλλάξαι ταλαιπωρίας·
τὴν δὲ ἀρχαίαν ἀποδοῦναι τιμήν:   τοῦ αὐτοῦ:

Παρέξει γάρ σοι φησὶ καὶ τῶν ἐπικειμένων παθῶν τὴν
ἴασιν· καθόλου δὲ αὐτὸ ἔφη εἴς τε ἅπαντας μεγάλην
τοῦ θεοῦ δεικνὺς τὴν πρόνοιαν, καὶ ἴσην ἐπὶ
πάντων τὴν δύναμιν:

Διαλλάσσοντα βουλὰς πανούργων· καὶ [ιζ] οὐ μὴ ποιήσωσιν
αἱ χεῖρες αὐτῶν ἀληθές· [ιη] ὁ καταλαμβάνων σοφοὺς
ἐν τῇ φρονήσει· [ιθ] βουλὴν δὲ πολυπλόκων ἐξέστησεν:
:· ἀ θ̄ ἀκυροῦντα διασκεδάζει· διαλύσει·   :· βουλὴ
δὲ σκολιὰ ταραχθήσεται:   Διδύμου:

Διὰ πάντων περὶ θεοῦ κατὰ τὸ δυνατὸν ἑαυτῷ [illegible]
διέξεισιν, ἐννοίαις ἀνθρωπίναις, οὐκ ἀπιθάνως

ἐν πολλοῖς καὶ μέλλων διεξελθεῖν περὶ προνοίας θεοῦ, καὶ
ὅτι δι' αὐτοῦ ἀπορίαι καὶ δόξαι συμβαίνουσι καὶ ταπει-
νοῦνται τοῖς οὐ κατ' αὐτοῦ· μάλιστα ἐπὶ τὸ δεῖξαι ὅτι
καὶ μεγάλη ποικιλία ζητήσεως αὐτοῦ χρήσονται,
θεοῦ ἐστὶ τὸ τέλος παρασχεῖν: Πολυχρονίου:

* Πανοῦργον μὲν λέγει τὸν συνετὸν κατὰ τὸ τῆς Γραφῆς
ἰδίωμα, οἷόν ἐστι καὶ τὸ ἐν ταῖς παροιμίαις, ἵνα δῷ
ἀκάκοις πανουργίαν· βούλεται δὲ εἰπεῖν, ὅτι καὶ τῶν
συνετῶν ἀκαίρους ἀποφαίνει τὰς γνώμας, ὅταν εἰς
αὐτὸν ἀσεβοῦντες ὦσι: Ὀλυμπιοδώρου:

ιβ Αἱ χεῖρες τουτέστιν αἱ πράξεις, διασκεδάζει οὖν φησὶ καὶ
διαλύει τὰς βουλὰς τῶν μὴ ποιούντων τι ἀληθές:

ιβ Πολυχρονίου: Μὴ θαυμάσῃς δέ φησιν εἰ καὶ ἐ-
ξουσίαν πολλάκις ποιοῦνται κατὰ γνώμην· πάντα γὰρ
τὰ παρ' αὐτῶν γινόμενα, σαθρὰ καὶ ἀβέβαια. μέχρις
δὲ τότε δοκεῖ τὰ ἰσχὺν ἔχειν, ἄχρις οὗ θεὸς ἀνέχεται:

ιγ Ὀλυμπιοδώρου: Ὁ καταλαμβάνων ἀντὶ τοῦ ὁ ἐ-
λέγχων, ὅτι τὴν παρὰ αὐτοῖς σοφίαν παρὰ μωρίαν ἀ-
ποδείκνυσι. πολυτρόπων δὲ τῶν σκολιῶν λέγει, οὓς οἱ
κυριολεκτοῦντες ἀγκυλογνώμονας καλοῦσιν: Ἄλλως:

ιγ Ὁ περιγινόμενος, ὁ κρατῶν· ἐν τῇ φρονήσει δὲ τῇ ἑαυτοῦ
δῆλον ὅτι ὅμοιον τὸ ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ
πανουργίᾳ αὐτῶν: Πολυχρονίου:

ιγ Καὶ ταῦτα φησὶ γίνεται εἰκότως. οὐδὲν γὰρ αὐτὸν λαν-

φάνει τῶν γινομένων· οὐδ' ὅτι ἐκ τῆς εὐπραγίας πε-
φυσημένοι τῇ ἑαυτῶν σοφίᾳ ἐπιγελῶντες τὴν προσοῦ-
σαν εὐημερίαν: τοῦ αὐτοῦ:

Πολυπλόκους καλεῖ, τοὺς ἐὰν σκολιούς, καὶ ὑπούλως ιθ
κατασκευάζοντας τὰ προκείμενα, οὓς ἀγκυλογνώμο-
νας διὰ τὸ σκολιὸν τῆς γνώμης εἰώθασι προσαγορεύειν·
ὅτι τὰς κυρίας τῶν λέξεων ἐκλέγοντες, τὸ δὲ ἐξέστησεν,
ἀντὶ τοῦ ἀπρήκτους πεποίηκεν: Ὀλυμπιοδώρου:

Ἔξω τοῦ σκοποῦ εἶναι παρεσκεύασεν: ιθ

ἡμέρας συναντήσεται αὐτοῖς σκότος· τὸ δὲ μεσημβρι-
νὸν ψηλαφήσαισαν ἴσα νυκτί· ἀπόλοιντο δὲ ἐν πολέ-
μῳ· ἀδύνατος δὲ ἐξέλθοι ἐκ χειρὸς δυνάστου·
εἴη δὲ ἀδυνάτῳ ἐλπίς: πτωχῷ:

Ὀλυμπιοδώρου: Διὰ τῆς ἡμέρας καὶ τῆς με- κ
σημβρίας τὴν εὐημερίαν αἰνίττεται, ἵνα εἴπῃ
ὅτι ἐν αὐτῇ τῇ εὐθηνίᾳ, καὶ τῇ ἀκμῇ τῆς εὐπρα-
γίας, οἱ πονηροὶ ἀδόκητον ὑπομένουσι τῆς εὐθη-
νίας τὴν μεταβολήν· σκότος γὰρ καὶ νύκτα, τὸ δυσ-
πραγεῖν λέγει· ὁ δὲ κατὰ θεὸν πτωχός φησι, καὶ
οὐδεμίαν δύναμιν περιβεβλημένος ἔχων ἢ εἰς θεὸν
ἐλπίδα, διαφεύξεται τῶν δυνατῶν τὴν ἐπήρειαν:

Διδύμου: Λέγει ὅτι ὅσοι ὑπὲρ τὴν ἑαυτῶν δύναμιν κ
ἐπιχειροῦσιν ὡς οἴεσθαι ὅτι χωρεῖς ἐπινοίας θεοῦ τι
καταλαμβάνουσιν, οὐδὲν εὑρίσκουσι σκότῳ συνεχόμενοι

ψηλαφῶντες καθάπερ ἐν νυκτὶ τὰ πράγματα, οὐδὲν ὅλως ἀκριβὲς συνιδεῖν δυνάμενοι: Οὐδὲ τὰ πάνυ πρόχειρα δυναμένοις μεταχειρίζεσθαι: Διδύμου:

Ἐνταῦθα καὶ κατὰ τὸ σχῆμα τῆς λέξεως εὐκτικά ἐστιν ἢ τὸ λεγόμενον· γένοιτο τοὺς ἀσθενεῖς τυχεῖν βοηθείας ὡς διαφυγεῖν δυνάσθαι τῶν δυνατῶν τὰς χεῖρας:

Τοῦ ἁγίου Ἰω(άννου): Ταῦτα ποιεῖ φησὶν ὁ θεός, ἵνα καὶ ὁ ἀδύνατος ἐλπίζῃ τὰ χρηστά, καὶ ὁ ἄδικος μὴ ἐπαίρηται: Πολυχρονίου: Τοῖς δέ φησιν ἐπ' αὐτὸν ἐλπίζουσιν ἐπαμύνει θεός· ὥστε εἰ καὶ δοκοῖεν ποτὲ εἶναι ὑποχείριοι τῶν ἐχθρῶν, ἀλλ' οὖν ἀπαλλάττονται τῶν κινδύνων, τῇ παρὰ θεοῦ ἐπικουρείᾳ: Διδύμου:

Καὶ πρὸς τὸν τῆς προνοίας λόγον ἁρμόζοντι λέξει, εἰ ἀδύνατος ἐστὶ λειπόμενος δυνάμεως, μὴ ἀπελπιζέτω ἑαυτόν· μὴ πᾶς ἀπροσδοκίαν ἀποστρεφέσθω, καὶ τοῖς ἀδυνάτοις γάρ ἐλπίς ἐστιν· ἐμφράσσεται δὲ καὶ τοῦ ἀδίκου τὸ στόμα· ὅταν ὑπὸ ἀλαζονείας ἐπαιρόμενος κατὰ τῶν ἀδικουμένων θεάσηται αὐτοὺς διαφυγόντας τὴν ἀπ' αὐτοῦ βίαν, καὶ πρὸς τοῦτο ἐνδόξους γεγενημένους: Ἀδίκου δὲ στόμα ἐμφραχθείη· Μακάριος δὲ ἄνθρωπος, ὃν ἤλεγξεν ὁ κύριος· νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου· αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο: Διδύμου:

ταῦτα δὲ

Ταῦτα δέ φησιν ἔλεγχος ἔσται τῶν κατὰ θεοῦ θρασυνο- —ο
μένων· αὐτῶν τῶν πραγμάτων σαφῶς διδασκόντων.
τότε φιλάνθρωπον, καὶ τὴν περὶ πάντας δικαίαν κρίσιν τοῦ
θεοῦ: Ὀλυμπιοδώρου: Μακαρισμοῦ τε κα
καλεῖ, τὴν ἐπὶ τῷ σωφρονισμῷ παιδείαν· παραινεῖ
δὲ καὶ τῷ Ἰὼβ, ὡς δι' ἁμαρτήματα παιδευομένῳ μὴ
δυσχεραίνειν. Ἐκέλευεν δὲ θεὸν τὸν καὶ τὴν πληγὴν ἐπα-
γαγόντα, καὶ τὴν ἴασιν ἐπιθεῖναι δυνάμενον· χεῖρας
δὲ θεοῦ τὰς δραστηρίους δυνάμεις φησί: Διδύμου:
Ἐλέγχει θεὸς, καὶ τὴν διὰ τῆς μάστιγος ἐπάγει νουθεσίαν. οὐχ ἵνα κα
ἀπολέσῃ φησὶν, ἀλλ' ἵνα σώσῃ τὸν παιδευόμενον· σὺ τοίνυν
καθυφεὶς τοῦ φρονήματος, μετ' εὐχαριστίας καταδέ-
χου τὸν ἔλεγχον: Πολυχρονίου: Ἀλλὰ καὶ κα
δὲ τὸ τῆς πληγῆς σε εἰς ἀπόγνωσιν τῆς ἐπ' αὐτὸν πεποι-
θήσεως ἀγέτω· ἴσθι γὰρ ὡς καὶ τοῦτο τῆς αὐτοῦ προ-
νοίας τεκμήριον, τὸ ἡμαρτηκότας ἐλέγξαι:

Σευήρου ἐπισκόπου Ἀντιοχείας ἀπὸ λόγου ιθ:

Ταῦτα δεῖ ἀποδεχεῖν πρὸς τὰ συμβαίνοντα δυσχερῆ υπ
παιδευτικά: Πολυχρονίου: Οὐ γὰρ ὀργῇ φη- υπ
σὶ τοῦτο πεποίηκε θεὸς, ἀλλὰ κηδεμονίᾳ· ὥστε δὲ
ἐκ τῶν συμφορῶν σωφρονισθέντα καὶ τῶν ἐπταισμένων
ἐπιγνώμονα γενόμενον, αὖθις τὴν οἰκείαν ἀπο-
λαβεῖν εὐημερίαν: Τοῦ ἁγίου Ἰω(άννου):
Αὐτός ἐστιν ὁ λύων τὰ δεινά, καὶ πρὸς τὰ ἐναντία· υπ

μετ' ἀγώνων καὶ πόνων ἀπολαύσει βαθείας εἰρήνης· οὐδὲ
ταῦτα ἀπὸ γνώμης ἑτέρας ποιεῖ· ἀλλ' ἀπὸ τῆς αὐτῆς:
Ἑξάκις ἐξ ἀναγκῶν ἐξελεῖταί σε· ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ
ἅψηταί σου κακόν: Ὀλυμπιοδώρου:
κβ Ὁ ἑξάκις ἀντὶ τοῦ πολλάκις φησίν· ἤγουν ἐν ὅλῳ τῷ πα-
ρόντι βίῳ, ἐπειδὴ ἐν ἓξ ἡμέραις συντετελέσθαι μετὰ τὰ
φαινόμενα, καταπαύσασθαι δὲ τὸν θεὸν τῇ ἑβδόμῃ ἡμέρᾳ.
εἴτε λέγει τὰ ὡς εἰκὸς συμβαίνοντα πειρασμοῦ· μετὰ δὲ
τὸ τούτων πείρειν φησίν, ἐὰν εὐχάριστος ὀφθῇς ἐν τῷ
ἑβδόμῳ, τουτέστι μετὰ τοὺς πολλοὺς πειρασμοὺς τελευταῖον
θεοῦ, οὐκέτι συγχωρεῖ σε παθεῖν· ὥστε μὴ δὲ τοῦ ἐμπαθῆ-
κβ ναί σε χρείαν εἶναι λοιπόν: ἄλλως: Ἐν τῷ νῦν
αἰῶνι γυμνάσει σε· καὶ ἐν τῷ μέλλοντι σε δοξάσει· οὐ κα-
τάρχει δὲ ταῖς θεωρίαις τὰς ἱστορίας ἐξομαλίζειν ἑξῆς:
κβ · οὐ ἅψεται σοῦ: τουτέστιν οὐκέτι τὰ αὐτὰ ποιεῖ,
ἀλλ' ἐν μὲν πρώτοις ἀφίησι πείρειν λαβεῖν· μετὰ
δὲ ταῦτα οὐδὲ πείρειν: Διδύμου:
κβ Ὑποβάλλουσι τοίνυν οἱ ἐκτεθέντες στίχοι· τουτέστιν ἐξ ὅσον
τις ὑπὸ τὸν ἐν ἓξ ἡμέραις γεγενημένον ὑπάρχει κόσ-
μον· τὰς ἐν αὐτῷ ὑπομένει ἀνίας καὶ θλίψεις· κἂν
γὰρ ἅγιός τις ὑπάρχῃ, ἔχει τὴν τοῦ σώματος τῆς χρεί-
ας ἀνάγκην· εἰς ἀπαλλάττεται ὑπερβὰς τὸν κόσμον· καὶ
ἐν ἑβδοματικῇ ἀναπαύσει γεγενημένος. τοῦτο
δηλοῦται· ἐκ τοῦ ἀπέδρα ὀδύνη καὶ λύπη καὶ

στεναγμός. καὶ κατὰ ταύτην γὰρ τὴν διάνοιαν, οὐ κάμπτει με
φαίνει συλλαβεῖν τὸ ἔλεον· οὐχ ἅψεται γὰρ κάκωσις τοῦ
ὑπερβάντος τὸν κόσμον. ἐπεὶ καὶ τοῦ ἀφιλαργύρου
ἔχοντος τρόπον καὶ ἀκτήμονος, οὐχ ἅψεται ζημία:

Πολυχρονίου: Τινές φασι τὸν ἀριθμὸν ἐνταῦθα κβ
δεῖν λαμβάνειν· ἐπάγει γοῦν φησίν· ἐν δὲ τῷ ἑβδόμῳ
οὐχ ἅψεταί σου κακόν· καὶ πειρῶνται καὶ ἀπαριθμεῖν διὰ
τῶν ἐφεξῆς· λέγει γὰρ ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου,
ὅπερ μίαν λογίζονται συμφοράν. δευτέραν τὸ ἐπαγόμενον
καὶ ἐν πολέμῳ ἐκ χειρὸς σιδήρου· τρίτην τὸ ἀκόλουθον,
ἀπὸ μάστιγος γλώσσης κρύψει σε, καὶ μέχρι μὲν τούτου
ἀριθμεῖν ἔξουσιν, οὐ μὴν καὶ ἐπὶ τῶν ἑξῆς τὸ αὐτὸ
ποιεῖν δυνήσονται. αὐτόθεν ἀκολουθοῦντα ἐκ
τοῦ ἐλέγχους· εὐθὺς γὰρ λέγει καὶ οὐ φοβηθήσῃ ἀπὸ
κακῶν ἐπερχομένων.. Καὶ μετ' ὀλίγα:

Παραινέσας αὐτῷ ἐπὶ θεῷ πεποιθέναι καὶ διὰ πολλῶν
τοῦτο κατασκευάσας, ὥστε προνοίᾳ καὶ μὴ ὀργῇ
νομίζειν τὴν τιμωρίαν γεγενῆσθαι, ἀκολούθως τοῦτο
ἐπάγει· εἰ γάρ φησι ταύτην ἔχοις τὴν συγγνώμην πολ-
λῶν συμφορῶν ἀπαλλάξει σε ὁ θεός: Πολυχρονίου:

Ἐπιμένοντι δὲ τῇ ἀρετῇ, οὐδὲ τὴν ἀρχὴν πεῖραν λυπηρῶν ιι
συγχωρήσει γενέσθαι:

Ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου· ἐν πολέμῳ δὲ ἐκ
χειρὸς σιδήρου λύσει σε, ἀπὸ μάστιγος γλώσσης σε

:: πη
, κρύψει· καὶ οὐ μὴ φοβηθήσῃ ἀπὸ κακῶν ἐπερχομένων:
: ὡς τοὺς πατριάρχας διὰ Ἰωσήφ· :: σκε-
πάσει γὰρ αὐτοὺς ἐν σκέπῃ ἀπὸ ἀντιλογίας γλώσσης·
ἀπὸ συκοφαντίας· ·:· ἄλλως· ἀπὸ προνομῆς ἐπερ-
ϙ χομένων: Διδύμου: Εἴποι μὲν αὖ τις ὡς
οὐδὲν ἀπεοικὸς τὸν νομίσαντα δι᾽ ἁμαρτίας τὸ πάσχειν
πάσχειν νομίζειν· ὅτι καὶ ὁ νουθετούμενος ὑπὸ τοῦ κυρίου
μετὰ τὴν νουθεσίαν εὐθὺς τοιούτων ἀξιοῦται ὡς καὶ
ὑπὸ λιμοῦ ἐκ θανάτου ῥύεσθαι, καὶ ἐν πολέμῳ ἐκ σι-
δήρου ὑπὸ θεοῦ λύεσθαι: Πολυχρονίου:
υ Ἐνδείας γὰρ καταλαβούσης καὶ πάντων ὑπὸ λιμοῦ φθει-
ρομένων ἐν ἀφθόνοις σοι παρέξει διάγειν· οἷον δὴ καὶ
ἐπὶ τοῦ Ἰωσὴφ καὶ ἐπὶ τοῦ Ἰακὼβ γεγένηται:
υυ Τοῦ αὐτοῦ: Ἀλλ᾽ οὐδὲ πολεμίων φησὶν ἐπελθόντων
καὶ κρουομένων τὴν χώραν καὶ τοὺς ἐνοικοῦντας ἢ ἐπιπολὺ
ἀναιρούντων· πείσει τινόν· οἷον γέγονεν ἐπὶ τοῦ Ἱερε-
υυ μίου καὶ τοῦ Δανιήλ: Τοῦ αὐτοῦ:
Τουτέστι καὶ λοιδορείας κρείττονα ἐργάσεται, ὥστε
τὸ παρὰ πάντων εὐφημεῖσθαι: Τοῦ ἁγίου Ἰω(άννου):
υυ Οὐ μικρὸν γὰρ καὶ τοῦτο, ἀλλὰ καὶ πάνυ μέγα ἀπὸ ἀν-
δρὸς χαλοῦντος μηδὲν ἀγαθόν· οὐδὲν γὰρ γλώσσης χεῖρον
πάσης ἐπιβουλῆς καὶ συκοφαντίας, παντὸς ξίφους τοῦτο
χαλεπώτερον καὶ ἀφορητότερον: Πολυχρονίου:
πη Τί δέ φησιν κατὰ μέρος λέγω καθόλου οὐδενὸς λήψει.

παίειν κακῶν· ἀλλὰ καὶ ἄλλων ἐν ταλαιπωρίᾳ καὶ συμφοραῖς ἐξεταζομένων, αὐτὸς ἐν ἐλευθερίᾳ διάξεις: Καὶ μετ' ὀλίγα:

Λιμοῦ δὲ καὶ πολέμου καὶ λοιδορίας ἀπὸ τῶν συμβάντων ἐμνημόνευσε· λιμοῦ μὲν διὰ τὴν καταλαβοῦσαν ἔνδειαν· πολέμου δὲ διὰ τὸ ὑπὸ βαρβάρων δοκεῖν αὐτὸν ταύτῃ πεπονθέναι· λοιδορίας δὲ διὰ τὸ ξενίζεσθαι ἐπὶ τοῖς κατ' αὐτοῦ λεγομένοις· ἵνα εἴπῃ σοι ὅτι ταῦτα σοι συνέβη, διὰ τὸ εἰς θεὸν ἀσεβῆσαι, ἢ ὡς εἰ μεταλάβοις, οὐ τὸν ἐν ποσὶ κίνδυνον παρέξῃ μόνον, ἀλλὰ καὶ ἑτέρων πασχόντων, ἐν ἀδείᾳ μένειν καταστήσει:

Ἀδίκων καὶ ἀνόμων καταγελάσῃ, ἀπὸ δὲ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς· θῆρες γὰρ ἄγριοι εἰρηνεύσουσί σοι. εἶτα γνώσῃ ὅτι εἰρηνεύσει σου ὁ οἶκος· ἡ δὲ δίαιτα τῆς σκηνῆς σου οὐ μὴ ἁμάρτῃ: Ὀλυμπιοδώρου:

Γνοὺς δέ φησι τῆς εὐσεβείας τὴν δύναμιν, καὶ τῆς εἰς θεὸν καταφυγῆς· κατὰ μὲν τῶν ἀδίκων πλατὺ γελάσεις· τοὺς δὲ θηριώδεις αὐτοὺς οὐ μὴ φοβηθήσῃ· καὶ γὰρ καὶ οὗτοι τὴν σὴν θεοσέβειαν αἰσχυνόμενοι, οὐκέτι σοι πολεμεῖν αἱρήσονται· καὶ τότε δὴ σαφῶς εἴσῃ ὡς εἰρηνεύσει σου μὲν ὁ οἶκος· ἡ δὲ δίαιτά σου τοῦ βίου διαγωγὴ οὐ μὴ ἁμαρτήσει· αὐτή τοῦ οὐκ ἔξω τῶν χρηστῶν ἐλπίδων γενήσεται:

Πολυχρονίου: Θῆρας ἀγρίους λέγει, τοὺς πολεμίους, διὰ τὸ τοῦ τρόπου ἀνήμερον· ὃ καὶ πολλαχοῦ τῆς θείας γραφῆς ἐστιν εὑρεῖν· ἵνα οὖν εἴπῃ ὅτι προσέσται

δέ σοι μετὰ τῶν λοιπῶν ἀγαθῶν, καὶ ἡ ἐκ τῶν ἐπιβουλευόντων

κβ ἀσφάλεια: Πολυχρονίου: Θηρία ἀγροῦ λέγει, βοῦς,

πρόβατα, ὄνους, καμήλους, καὶ ὅσα τοιαῦτα· ἵνα εἴπῃ ὅτι

καὶ τούτων σοι τὴν ἀφθονίαν παρέξει· ὅταν μὲν γὰρ κατὰ με-

ταφορὰν τῶν θηρίων προσηγορίαν τὴν γνώμην τῶν ἀνθρώπων πα-

ραστῆσαι βούληται· οὐχ ἁπλῶς θηρία καλεῖ, ἀλλὰ προστίθησι

τὰ ἄγρια, ὡς ἐκ τῶν ἄρτι ἐκτεθέντων δῆλον: Τοῦ αὐτοῦ:

κγ Τουτέστιν ἐν ἀσφαλείᾳ τῶν προσόντων κατ' ἄνεσιν τοῦ θεοῦ. διὰ

τῆς οἰκείας προνοίας διαφυλάττοντος τὴν προσοῦσαν εὐδοξίαν:

κγ Τοῦ ἀγρίου θηρῶν: Τουτέστι καὶ ἡ οἰκία φησὶ πολλῆς ἀπο-

λαύσεται τῆς εἰρήνης· οὐδὲ γὰρ τούτου ἴσον, τοῦ κατὰ τὴν οἰκίαν

εἰρηνεύειν. τί γὰρ ὄφελος τῶν ἔξωθεν ἀπηλλάχθαι πολέμων

ταραχῆς ἔνδον γέμοντα: Ἰουλιανοῦ:

κγ Ἀλλὰ γὰρ καὶ οἱ ἐν τῷ οἴκῳ σου φησὶν ἀστασίαστοι καὶ πρὸς ἑ-

αυτοὺς καὶ πρὸς σὲ διαμενοῦσιν: ολυχρονίου:

κδ ουτέστιν οὐδεμίαν ἕξεις μεταβολὴν καθάπερ νῦν:

κδ Ἰουλιανοῦ: Τουτέστιν οὐ μὴ δυσπραγήσῃ, οὐ μὴ

πάθῃ τι δεινόν:

κε Γνώσῃ δὲ ὅτι πολὺ τὸ σπέρμα σου· τὰ δὲ ἔκγονά σου ἔσται

ὥσπερ τὸ παμβότανον τοῦ ἀγροῦ· ἐλεύσῃ δὲ ἐν τάφῳ

κϛ ὥσπερ σῖτος ὥριμος, κατὰ καιρὸν θεριζόμενος· ἢ ὥσπερ

θημωνία ἅλωνος, καθ' ὥραν συγκομισθεῖσα:

κε Ὀλυμπιοδώρου: Ἀλλὰ καὶ πολύπαις ἔσῃ καὶ ἐν ἐκγόνων

παίδων πατήρ· ἔσονταί σου γὰρ τὰ ἔκγονα, ὡς τὸ παμβότανον κτλ

ἀέρος, ἀντὶ τοῦ ὡς ἀέρος ταλαις βολαῖς αἰθέρος:

πολυχρονίου: Ἀντὶ τοῦ ἕξεις καὶ τὴν σὴν πολύπαι- κε

δας μακαριότητα, ἐν εὐλογίας παρέχοντος μέρει. καὶ

τοῦτο κατὰ τὸ παλαιόν: Ἰουλιανοῦ:

Εἰρήνης δὲ πανταχόθεν κυκλούσης, αἰφνίδιον ὁ ἄπαις κε

πολύπαις ἀναφανήσῃ, δίκην ἀρούρης κομώσης καὶ βριθο-

μένης ἀστάχυσι: πολυχρονίου: τέκνα δὲ τοὺς ϛσ

μαθητευομένους λέγει: τοῦ αὐτοῦ: τουτέστιν ἐν ηθς

πολυχρονίῳ δὲ ἕξεις τὴν ζωήν. εἰς γῆρας ἐλάσας λιπαρόν. ὥσ-

τε ὥριμον γινόμενον, οὕτω μεταλλάξει τοῦ βίου:

Οὐ δὴ ἔχων ἐλλιπῆ τὸν χρόνον τοῦ βίου: Διδύμου:

Τοῦτο γὰρ δηλοῖ τὸ συγκομισθεῖσα. ἐπὶ ἀσφαλοῦς γὰρ ηθς

λοιπὸν τῷ ὄντι ἐστὶν ὁ τέλειος. καὶ τοῦτο καλῶς παρὰ τοῦ σοφοῦ

μανθάνομεν λέγοντος, ὅτι τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ.

καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ συνάξει τὸν σῖτον

εἰς τὴν ἀποθήκην. τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέ-

στῳ. δῆλον ὡς περὶ ἀγαθῶν ταῦτα λέγεται. ἀσβέστῳ γὰρ πυ-

ρὶ ἄχυρον οὐ καίεται. ἐπεὶ οὐδὲ περὶ ἀγαθῆς διανοίας θημωνία

φαίνεται διαλάμπουσα. οὐ γὰρ ἄλλος θημωνία ἐστίν. ἀλλὰ

τὴν εἰς ὕψος τελείωσιν καὶ πλήρωσιν: Ὀλυμπιοδώρου:

Τὸ θημωνία ἅλωνος ἔοικεν ἐπὶ τοῦ κομισθεῖσι ἀγαθοῖς μετα- κε

λλάξαι τὸν βίον: Ἰωάννου Χρυσοστόμου:

Τουτέστι κομιοῦν τοῖς ἀγαθοῖς, καὶ τοῖς σπουδαίοις τὰ καλὰ κε

τὸν καιρὸν διαλέξας οὕτω μεταλλάξῃς τὸν βίον:

ͻ κξ Ἰδοὺ ταῦτα οὕτως ἐξιχνιάσαμεν· ταῦτα ἐστὶν ἃ ἀκηκόαμεν·

ͻ θ σὺ δὲ γνῶθι σεαυτῷ εἴ τι ἔπραξας, καὶ ἐξίλασαι τὸν θεόν:

κξ αὐτὰ ἐκ πείρας καὶ ἀκοῆς παρειλήφαμεν, ὅτι οὐδὲν ἀπρο-

κξ νόητον παρὰ θεῷ: Πολυχρονίου· Τουτέστι ταῦτα

οὕτως ἔχει, καὶ οὐ καθ' ὅ τις αὐτεξούσιοι ἑτέρως διακεῖσθαι, τὰ

ἀνθρώπινα· ταῦτα ἐστὶν ἃ ἀκηκόαμεν· ταῦτα ἐστί φησὶν

ἃ καὶ ἡμεῖς ἐν τῷ βίῳ ἔγνωμεν, καὶ παρ' ἑτέρων μεμαθή-

καμεν, ὡς οἱ μὲν παράνομοι τιμωροῦνται· οἱ δὲ εὐσεβεῖς

πολλῶν ἀγαθῶν ἀπολαύουσι τῇ τοῦ θεοῦ προνοίᾳ:

Θ Τοῦ αὐτοῦ: Τούτων τοιγαροῦν φησὶν οὕτως ἐχόντων·

σκοπεῖν σε προσήκον, οἵων ἁμαρτημάτων δίκην τιννύεις·

καὶ ὅπως δι' ἐπιμελείας ἐξιλεώσῃ τὸν θεόν· ἀλλὰ μὴ τη-

νάλλως δυσχεραίνῃς, ὃ ἀξίως πεποίηκας: +

+

+

+ προθεωρία κεφαλαίου ε′:

+

Ἐπειδὴ παρῄνεσεν ὁ Ἐλιφὰζ τῷ δικαίῳ πρὸς μετάνοιαν
τρέπειν, ὡς δι' ἁμαρτίας τιμωρουμένῳ· εἰς ἀπέραντον μὲν
αὐτῷ καὶ ἔληξεν ἡ συμβουλή· οὐ γὰρ ἐπείθετο ὡς ἁμαρ-
τωλὸς εἴη ὁ μηδὲν ἑαυτῷ συνειδὼς ἄτοπον· ὥστε καὶ
πρὸς ἀντιλογίαν ἦλθεν ὁ δίκαιος, καὶ ἀπολογίαν μὲν
ὑπὲρ ὧν καὶ ὅλως λαλεῖ, καὶ οὐ τὴν σιωπὴν τὴν καρτερίαν
ἐπιδείκνυται· διὰ δὲ φυσικῶν παραδειγμάτων, τῶν
ἑαυτοῦ λόγων, παραστήσας τὸ εὔλογον, καὶ αἴτιον ἀπο-
καλεῖ τὸν θεόν, καὶ ὅτι ἐπ' αὐτῷ τὴν ἐλπίδα ἔσχε φησί·
τήν τε κεκρυμμένην αἰτίαν τῆς ἀθυμίας δημοσιεύ-
ει· δεδοικέναι λέγων, μὴ τελέως αὐτὸν ὁ θεὸς ἐγκα-
ταλείπῃ· ὅτι καὶ τὰς οἰκείας ἐξαριθμεῖται συμφο-
ράς, καὶ παραινεῖ μὴ πεποιθέναι ἐπὶ πλούτῳ καὶ
ἀσωτείᾳ· καὶ μέμφεται τοῖς φίλοις ὡς τὰς ἀνίας αὐτοῦ
διὰ τῶν λόγων φορτικωτέρας ἐργαζομένους, καὶ πα-
ραινεῖ φοβεῖσθαι εἰς τὰ τοῖς πλησίον συμβαίνοντα βλέ-
ποντας· καὶ μάλιστα πάντας ἀνθρώπους ἐπὶ τῆς γῆς· καὶ πάλιν
ἐπιτραγῳδεῖ τὰς οἰκείας συμφοράς, καὶ ἐξαιτεῖ τὸν
θεὸν μνήμην αὐτοῦ καὶ ἐπισκοπὴν ποιήσασθαι· καὶ πάλιν
ὑπὲρ τῶν οἰκείων ἀπολογεῖται λόγων· καὶ τὴν αἰτίαν

συγγένειαν εἰς ἐκλείπειαν προσάγεται· καὶ αἰτεῖ τοῦ θεοῦ, ἀμνηστείαν αὐτῷ χαρίσασθαι εἴ τι αὐτῷ καὶ πεπλημμέληται:

+

+

+ δευτέρα τοῦ ἰὼβ πρὸς τοὺς φίλους διάλεξις +

κεφάλαιον ε^ον:

+

α Ὑπολαβὼν δὲ ἰὼβ λέγει, εἰ γάρ τις ἱστῶν στῆσαι μου τὴν

β ὀργήν, τὰς δὲ ὀδύνας μου ἆραι ἐν ζυγῷ ὁμοθυμαδόν·

καὶ δὴ ἄμμου παραλίας βαρυτέρα ἔσται: Ὀλυμπιοδώρου:

Μὴ μέμφεσθαί φησιν ὡς ἂν φιλόσοφον καὶ βαρέα λαλοῦντα·

ἀλλ᾽ εἴ τις ἦν δυνάμενος σταθμισθῆναι τὴν ἐπενεχθεῖσάν

μοι ὀργήν, καὶ τὰς ὀδύνας πάσας, ὥστε φανερὸν γε-

νέσθαι, ὡς καὶ αὐτῆς τῆς παραλίας ἄμμου βαρύτερα

ἐστὶ τὰ συνέχοντά με καὶ ἀθυμεῖν παρασκευάζοντα·

τί λοιπὸν ἐπὶ τούτοις φθεγγόμενον μέμφεσθε:

Ἄλλως: Τοῦ Ἐλιφὰς εἰρηκότος· εἰ γὰρ σὺ ἐνουθέτησας

πολλούς φησὶν ὅτι ἀπαράκλητός ἐστιν ἡ ὀδύνη μου ὥ-

σπερ φορτίον βαρὺ βαρυνθεῖσα κατ᾽ ἐμοῦ:

·τοῦ ἁγίου Ἰωάννου· Ἐπειδὴ γάρ τις αὐτὸν εἶπε γὰρ ἰδοὺ κη
ὀργὴν ἐνταῦθα τὴν ἀθυμίαν λέγει· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν·
ἐν ἀπολείοις φησὶν ὑμεῖς φιλοσοφεῖτε κακοῖς· καὶ πόρρω
τῶν ἐμῶν συμφορῶν ἑστηκότες μετὰ πολλῆς μοι παραινεῖτε
τῆς ἀδείας· Διδύμου· Ἐπειδὴ γάρ τις ἐθελήσαιτο κη
στῆσαι τὰ ἡμέτερα πταίσματα καὶ τὴν ἐπενεχθεῖσαν ὀρ-
γὴν βαρυτέραν αὐτὴν εὑρήσει τῶν ἡμετέρων πταισμάτων·
ᾔδει γὰρ ὁ ἅγιος ὡς οὐχ ἁμαρτημάτων ἕνεκεν ταῦτα ὑφί-
σταται, ἀλλ᾽ ἀγωνίσματος, ὥσπερ γε ἐν τοῖς ἑξῆς ἔφασκεν·
οἶδα ὅτι δίκαιος ἀναφανοῦμαι· διόπερ καὶ τοὺς φίλους
ἐπαγγέλλειν εἰς τὴν τοιαύτην γνῶσιν ἐσπούδαζεν·
Πολυχρονίου· Οὐχ οὕτως ἐπακνιεῖ τὸν δίκαιον τῶν κη
ἐπενεχθέντων συμφορῶν τὸ πλῆθος, ὡς τὰ παρὰ τῶν φί-
-λων ὀνείδη· τοίνυν ὁ Ἐλίφαζ ἀσεβῆ ἀποφήνασθαι
ἐπειράθη, καὶ παραινεῖ μεταποιήσασθαι τὴν γνώμην,
μεμφόμενος ὡς παρεάσαντα· ἢ γὰρ σημειῶ τὰ συμβάντα,
διὰ τῶν οἰκείων ἐγκλημάτων λέγον τινὰ ἀπολογούμενον
ὁ δίκαιος, δείκνυσιν ἀνήκεστον τῶν συμφορῶν τὸ μέ-
γεθος, οὐ διὰ τὴν τῶν δεινῶν πεῖραν· ἀλλ᾽ ὅτι καὶ τοῖς πα-
θοῦσιν, ἀπολεσταιόν τι εἶναι δοκεῖ, καὶ ἐγκαλεῖ τοῖς
ἥκουσιν εἰς παράκλησιν, ὅτι τἀναντία τῇ προθέσει δια-
-πράττωνται, ὀνειδιστικοῖς κεχρημένοι τοῖς ῥήμασιν,
οἱ ἐπὶ παρακλήσει ἀφικόμενοι· καὶ ταῦτα τῶν ὁρωμένων
τραυμάτων, καὶ τοὺς ἐλέγχους εἰς ἔλαιον ἐπιπάσσεσθαι.

σωμένων· Παισίου : Ὀργὴν μὲν λέγει τὸ πάθος

τῆς ψυχῆς τὸ ἐκ τῶν συμφορῶν γινόμενον· ὀσφύας δὲ τὰς τῷ

σώματι ὑπὸ τῶν ἑλκῶν συμβαινούσας· αὔξων δὲ τῇ προσ-

-τητι τὸ πάθος τὸ ὁμοιοθύμαστον ἔφη· ἐστὶν οὖν τοιοῦτος

ὁ νοῦς· εἰ οἷόν τε ἦν φησὶ τὰ πάθη τοῦ σώματος, καὶ

τῆς ψυχῆς τὰς ὀσφύας κατὰ ταὐτὸν λαβεῖν· καὶ καθάπερ ἐν

τρυτάνῃ τινὶ αὐτὰ ταλαντεῦσαι τῇ παραλίᾳ ἄμμῳ· τούτων

ἂν εὗρε μείζον εἶναι ἐκείνων βαρυνομένην τὴν πλάστιγγα:

› Ταῖς δὲ ὀσφύας μου ἄραι ἐν ξηρῷ ὁμοιοθύμαστον, καὶ τῆς ἄμμου

› παραλίας βαρύτερα ἔσται· ἀλλ' ὡς ἔοικε τὰ ῥήματά μου

ἐστὶ φαῦλα· βέλη γὰρ κυρίου ἐν τῷ σώματί μου ἐστί:

∴ ἐ διὰ τοῦτο οἱ λόγοι καταστικροί· ∴ πύεινα

θ ἔλκωσσι : Διδύμου : Εἴ τις ἐνθέλοι σὺν ἐμοὶ

ἑλκῦσαι τὸν τῶν παθημάτων ζυγόν, ὥστε κουφίσαι με ἀπὸ

ἄλλων τῇ κοινωνίᾳ· ἀλλ' ὅρα μὴ τοῦτο ἀνάξιον τοῦ ἁγίου:

παράλιον δὲ ἄμμον παρεληλύθαμεν διὰ τὸ ὑπερβολικὸν εἶναι:

κθ Ὀλυμπιοδώρου : Ἀλλ' ἐκφαυλίζεταί μου τὰ ῥήματα

φησὶν ἐν ἀκοῇ τυγχάνοντες καὶ οὐ κατανοοῦντες τὰς ἐπιτιμίας

μου τιμωρίας· βέλη γὰρ τὰς τιμωρίας καλεῖ· αἵτινες ὥσπερ

ἀνωδύνως συγχωροῦσί με φθείρεσθαι· τὸ δὲ ἐκπίνειν τὸ

αἷμα, αὐτὸ τοῦ καταναλίσκειν με: Ἰωάννου Χρυσοστόμου:

Ἄλλο ὅρα σὺν ἐμφάσει, ἀφ' ὧν ἐλεεῖσθαι μὲν ἔδει· ἀπὸ τούτων

κθ μισητός εἰμι καὶ καταγέλαστος : Διδύμου : Ἐντεῦθεν

καὶ δεῖ τὸ πάθος καὶ πρὸς τοὺς ἀκούοντας· ἀπιστοῦμαι γὰρ

ἀφ' ὧν τετιμώρημαι· καὶ οὐ δύναμαι ἐλέους τυχεῖν ὅσα ἂν εἴπω πρὸς ὃ εἶδεν ἐκεῖνος, μὴ ἀληθεῖς τινες ἀληθινοὶ ὁλόειξοι ἀπώλοντο: Πολυχρονίου: Ἀλλ' ἀπείσομαι φησίν, οὔτε τῶν λόγων δυναμένων παραστῆσαι τὸ πάθος, καὶ τῶν ἀκουόντων ἐκ τῆς ἑαυτῶν ἀνέσεως, ἀλλ' οὐ τῶν ἐμῶν συμφορῶν κρινόντων τὰ ῥήματα. Τοῦ αὐτοῦ:

Ὑμεῖς μὲν οὖν φησὶν ἅτε οὐδεμίαν πεῖραν ἔχοντες τῶν δεινῶν, τοῖς ἀλλοτρίοις φιλοσοφεῖτε κακοῖς· ἐγὼ δὲ ἐν τῷ ἐμαυτοῦ σώματι τὰς παρὰ τοῦ θεοῦ πληγὰς δεξάμενος, οἶδα τῶν ἐπενεχθέντων τὸ ἀνίκεστον. βέλη γὰρ τὰς τιμωρίας λέγει:

Ἀντὶ τοῦ κυρίου σαδαΐ κεῖται ἐν τῷ ἑβραϊκῷ ὃ ἑρμηνεύεται ἱκανοῦ: Ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα· ὅταν ἄρξωμαι λαλεῖν κεντοῦσί με. τί γὰρ μὴ διὰ κενῆς κεκράξεται ὄνος ἄγριος· ἀλλ' ἢ τὰ σῖτα ζητῶν:

∴ χόλος. ᾱ πνεῦμα. σ̄ ἀναπνοή. ∴ σ̄ μὴ στένει λιμῷ ὄναγρος παρούσης χλόης: Διδύμου:

Θυμὸν βελῶν ἐνταῦθα, οὐ τῶν ἀψύχων, ἀλλὰ τὴν ἐπίπονον καὶ σφοδράν τε καὶ πικρὰν ἐπιφορὰν τῶν ἀνιαρῶν φησίν, ἣ ἐκπίνει τὸ αἷμα λέγει. δηλῶν ὡς τὴν ζωτικὴν αὐτοῦ δύναμιν προσαφαιρεῖται τὰ τῆς κολάσεως. οὐδὲ γὰρ λαλεῖν συγχωρεῖ μοι ἡ ὀδύνη, ἀλλ' ἐγκόπτει με:

Ὀλυμπιοδώρου: Φυσικοῖς κέχρηται παραδείγμασιν. καὶ τῶν ἑαυτοῦ λόγων τὸ εὔλογον δεικνυσίν, καὶ ὡς εἰκότως οὐκ ἐπείσθη τῇ τοῦ Ἐλιφὰζ παραινέσει:

ἀλλὰ πρὸς ἀντιλογίαν εἶδεν· ὥσπερ γάρ φησιν, οὐ μάτην ἀνακρά-
ξει ὄνος ἄγριος· ἀλλ' ὅταν ἐπιδεὴς γένηται τροφῆς· οὐδὲ βοῦς ἐπὶ
φάτνης, εἰ μὴ ἐπιλείποι τὰ βρώματα· οὕτως οὐδὲ ἐγὼ ἠθύμουν·
εἰ μὴ πρὸς ἔσχατον ἐληλάκειν κακῶν· πῶς δὲ καὶ πειθήσομαι
τῇ ὑμετέρᾳ παραινέσει, μήτε τὸ εὔλογον ἐχούσῃ, μήτε πρὸς
παραμυθίαν ἐξηρτημένῃ· ὥσπερ γὰρ ἄνευ ἁλὸς ἄρτος οὐ
βρώσιμος· οὕτω καὶ λόγοι ἀπάνθρωποι καὶ οὐκ ἔχοντες τὸ πιθανὸν
ἢ τὸ εὔλογον, πείθειν οὐ δύνανται τοὺς ἀκούοντας· γνῶμα
γὰρ τῶν πειθῶ λέγει· ἐπιμείνας τῇ τοῦ ἄρτου μεταφορᾷ
λ̄ καὶ τροφῇ: Οὐδὲ παρὰ ἀλόγοις ἡ ἔνδεια τρ-
λ̄ εμεῖ: Ἄλλως: Ἔστι λόγος ἄνευ αἰτίας:
Διδύμου: Πρὸς τὴν παρ' ἐκείνου γεγενημένην αὐτῷ
οἱονεὶ ἐπίπληξιν ὑπὸ τῶν λόγων τῶν εἰρημένων ὑπὸ τοῦ Ἰώβ,
αὐτὸς λέγει ὡς ἐρώτησιν προάγων: Καὶ μετ' ὀλίγα:
Μὴ ματαίως φωνὴν ἀφίησιν ὄνος ἄγριος, ἢ ἐνδεόμενος
τροφῆς· ἀλλ' οὐδὲ βοῦς κεκράξει ἐπὶ τῆς φάτνης τῶν βρωμάτων
κειμένων, ὥστε μηδὲ ἐμὲ αἰτιῶ, εἰ κεκράξω κατὰ τὴν
σὴν ὑπόληψιν διὰ τὰ ἀνιαρὰ τῆς φύσεως ἀσθενοῦς ὑπαρ-
χούσης, ἵν' ᾖ φησὶν αὐτὸν πρὸς τὸ μὴ μέμφεσθαι τὸν πονού-
μενον εἰ κεκράξει· οὐ γὰρ ἀναίσθητον εἶναι δεῖ τὸν δίκαιον
καὶ καρτερῶς φέρειν τὰ θλίβοντα· αὕτη γὰρ ἀρετή ἐστιν,
ὅταν αἴσθησιν τῶν ἐπιπόνων δεχόμενος τις ὑπερφρο-
νεῖ τῶν ἀλγηδόνων διὰ θεόν: Πολυχρονίου:
λ̄ Πῶς δέ φησι καὶ κεκίνηνος οὐ σκοπεῖται, ὡς οὐδὲ παρὰ τοῖς ἀλό-

-γοις ἐστὶν ἡ ἔνδειγμα εἰσί· ὄνος δὲ γὰρ ἐπιλειπούσης τροφῆς, καὶ βοῦς μὴ ἀφθόνου τῆς νομῆς προκειμένης τῇ βοῇ διασημαίνει τὸ πάθος: Εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς, ἐπὶ φάτνης ἔχων τὰ βρώματα. εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός· εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς· οὐ δύναται γὰρ παύσασθαί μου ἡ ψυχή· βρόμον γὰρ ὁρῶ τὰ σῖτά μου, ὥσπερ ὀσμὴν λέοντος : ∴ ἐ ἡμικώστ.

∴ ἢ μήτι βρωθήσεται ἀνάρτυτον τῷ μὴ ἔχειν ἅλας :

Διδύμου: Ἅπας λόγος πράξεως ἐστερημένος ἐναρέτου μάταιός ἐστι καὶ κενός. τούτου παραστατικόν ἐστι, τὸ οὐ γὰρ ἐν λόγῳ ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, ἀλλ' ἐν δυνάμει, οὐκ ἐν κεναῖς ὑποσχέσεσιν· ἀλλ' ἐν λόγῳ ἐνεργοῦντι τὰ τῆς σωτηρίας ὑπάρχει: ]

Ὀλυμπιοδώρου:

Πῶς δὲ καὶ ἑαυτόν φησι παραμυθήσασθαι δύναμαι. ὃ καὶ τὴν τροφὴν αὐτὴν ἀηδίας καὶ δυσωδίας μεστὴν βλέπων:

Διδύμου: Οὐ δύναται ὠφέλεια ψυχῆς καὶ τροφὴ ταύτης ὑπάρξει μετὰ πόνου καὶ θλίψεως γεγενημένων:

Ἰουλιανοῦ:

Τοῦτο δὲ οὐ μόνον ἐκ τοῦ πάθους συνέβαινεν, ἀλλὰ καὶ ἐκ τῆς τοῦ πονηροῦ ἐνεργείας· λέγεται γὰρ πολλάκις, δυσωδίας ἐμποιεῖν, καὶ εὐωδίας τινὰς ὁ θεομισής: λα

Πολυχρονίου: Τί δέ φησι κρεῖττον παραμυθοῦντα λέγω κατὰ τὸ παρὸν τοῖς πόνοις δαπανώμενος· οὐδὲ τροφῆς ἀνεκτῶς μεταλαμβάνειν δύναμαι· καὶ πρὸς αὐτό λα

τὸ ἔξω ἀπειρηκώς: Καὶ μετ' ὀλίγα· Ὥσπερ ἀπὸ θη-
ρὸς δαπανώμενος, οὕτως ὑπὸ τῶν ἀλγηδόνων διάκειμαι:
ια Τοῦ ἁγίου Ἰω(άννου): Τί ταύτης τῆς τιμωρίας χαλεπώτερον
γένοιτο, οὐχ ὕπνος ἀνέπαυσεν, οὐ τροφὴ ἔτρεφεν· ὥσ-
περ ὡς μὴ λέοντος φησί· ὑποσῶδες γὰρ τοῦτο τὸ θηρίον
μετὰ ὑπερβολῆς· ἐπειδὴ γὰρ ἔχει τὴν ἀπὸ τῆς φύσεως
πλεονεξίαν, ἑτέρως αὐτὸ τῶν ἄλλων ἐποίησε φαυλό-
> τερον ὁ θεός: [λε] Εἰ γὰρ δώῃ καὶ ἕτοιμος
> ἡ αἴτησις, καὶ τὴν ἐλπίδα μου δώῃ ὁ κύριος, ἀρξάμενος
> ὁ κύριος μεταμελέσθω· εἰς τέλος δὲ μή με ἀνελέτω:
∴ ἡ ὑπομονή· ∴ ἀπὸ ἐπιβολῶν τῆς χειρ(ός)·
∴ ἵνα μὴ καὶ ψυχὴ ἀπόλωμαι: Ἰουλιανοῦ:
λε Μεμνήμεθα ὡς ἔλεγε πρὸς αὐτὸν ἡ γυνή, μέχρι τίνος
καρτερήσεις λέγων, ἰδοὺ ἀναμενῶ χρόνον ἔτι μικρὸν
προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου· πρόδηλον
τοίνυν γεγονότος ὡς ἤλπιζεν ἐκ θεοῦ σωτηρίας τυχεῖν,
εὔδηλον ὅτι ταύτην καὶ νῦν εὔχεται καί φησιν ὅτι παι-
δεύσει με ὁ κύριος, ἀλλ' ἐν κρίσει καὶ μὴ ἐν θυμῷ, ὥσ-
– περ καὶ ὁ Δαυὶδ ἔλεγε· κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς
~ με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με· οὐ γὰρ τὴν παι-
δείαν παρῃτεῖτο, ἀλλὰ τὴν μετ' ὀργῆς· τοῦτο τοίνυν
κἀνταῦθα φησίν, ὅτι εἰ καὶ ἐλέγξωσιν, μὴ ἐπὶ πολὺ πα-
ρατεινέτωσαν τὰς βασάνους· τοσαύτην γὰρ καὶ τὴν ἐλπίδα κέ-
λε κτημαι: Τοῦ ἁγίου Ἰω(άννου): Μία λύσις τούτων ἐστί

φησὶ τῶν δεινῶν ὁ θάνατος καὶ ἀνάπαυσις· τί ἐστιν ἡλλόμην,
γαῦρος ἤμην φησὶ καὶ πεποιθώς: Διδύμου:
Ὁ τὴν λῦσιν παρ' ἑαυτοῦ αἰτούμενος οὐχ ὑποκάμνων τὴν αἴ- λϛ
-τησιν αὐτοῦ ἐλθεῖν εὔχεται· ἀλλὰ τὸ ἴδιον ἀποπληρω-
-θῆναι σκοπόν· ἦν δὲ οὗτος τὸ πέρας τοῦ κατορθώ- : ἦν
ματος ἀνύσαι, ἢ καὶ φανῆναι τοῖς φίλοις διὰ τὴν αὐτῶν
ὠφέλειαν τὴν αἰτίαν τῶν πόνων. ὅτι ἀγωνίσματος χάριν
ἐπήχθησαν· οὕτω γὰρ ἂν οὔτε εἰς τὸν δίκαιον ἥμαρ-
τανον, ἀλλὰ καὶ ζῆλον θεῖον ἐδέχοντο, μιμήσασθαι
σπεύδοντες ὑπομονὴν καὶ ἀνδρείαν ἐν τῷ ἁγίῳ κατορ-
θουμένην ὁρῶντες: τοῦ αὐτοῦ: ἀντὶ τοῦ τὴν ἐπί-
βασιν τῶν θλίψεων ὑπενεγκεῖν χαρισάσθω, τοῦτο ὅμοιον τῷ καὶ
μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν: –
› Εἴη δέ μου πόλις τάφος. ἐφ' ἧς ἐπὶ τειχέων ἡλλόμην ἐπ' αὐτῆς·
› οὐ μὴ φείσωμαι· οὐ γὰρ ἐψευσάμην ῥήματα ἅγια θεοῦ μου.
: λθ καὶ ἔσται ἔτι παράκλησίς μου :–
Ἰουλιανοῦ: Ἐπειδὴ τὴν ἐλπίδα τῆς σωτηρίας λζ
προσεδέχετο φησίν, ὅτι γνώσοιτό με ἀπολαβόντα μου
τὴν ἐλπίδα τῆς τεκνοποιίας ἀποσφαλῆναι, καὶ τὴν ἀξίαν πολι-
τείαν καὶ τὴν δικαιοσύνην ἐν ἀσφαλεῖ περιφρασσόμενος
ὑπὸ τοῦ θεοῦ, καὶ ὄντα ἔνδοξον ὡς τὸ πρότερον. τοῦτο γάρ
ἐστι τὸ ἐφ' οἷς ἐπὶ τειχέων ἡλλόμην ἐπ' αὐτῆς: ἄλλως:
Πόλις ἡ πρᾶξις, ἐν οἷα πράξει τοῦ ζῆν κατὰ θεὸν ἐξάμην.
ἐν αὐτῇ με καὶ τὸ πέρας καταλάβοι· ἢ οὕτως· εἰ τῆς ἐλπίδος

μου φησὶ τῆς εἰς θεὸν ξεύξωμαι, ἵνα ἡ πολιτεία μου ἡ προτέρα πάντως ὡς ἐπὶ τάφου μένῃ ἀσάλευτος, εἰς τὰ ἐπουράνια ὡς ἐπὶ τείχους μετάρσιος θείῳ φρονήματι ὑπεραιρόμενος ἁλού-

λγ σομαι: Πολυχρονίου: Ὁρῶν γάρ φησι τὴν παροῦσαν ταλαιπωρίαν, καὶ καθ' ἑκάστην ἀποθανεῖν προσδοκῶν, καὶ τούτοις ἀντιπαρεξετάζων τὴν προτέραν εὐωχείαν, καὶ ὡς ἐπὶ τῆς ἐμαυτοῦ πόλεως καὶ τῶν τειχέων μεθ' ἡδονῆς διῆγον, μείζονα τὴν ὀδύνην ἔχω:

λδ Ὀλυμπιοδώρου: Τοιγαροῦν φησὶ τῆς πρὸς ἐμὲ ἀντιλογίας οὐ φείσομαι· ἐπειδὴ μὴ σύνοιδα ἐμαυτῷ παραβεβηκότι ἐντολὴν θεοῦ. ὅρα δὲ ὅπως Ἰώβ, οἷα τῆς ἀβρααμιαίας εὐγενείας βλάστημα θεὸν ἑαυτοῦ καλεῖ τὸν θεόν:

λδ Τουτέστιν ἀντικεῖσθαι ἀφορήτως ἔχω τὸ σύμβαν:

λδ Κατ' οὐδὲν ὑπεσταλμένος φθέγξομαι, ἀλλὰ πεπαρρησιασμένος:

Διδύμου: Διὰ τοῦτο πάντα τὰ ὄντα τάφον ἡγοῦμαι τεθνηκὼς ἑαυτοῖς, ἐπεὶ οὐκ ἐψευσάμην τὰ τοῦ θεοῦ ἅγια ῥήματα, ἤτοι διὰ τὸ ἐν μηδενὶ πταῖσαι, ἀλλὰ δίκαιος εἶναι τοῦτο λέγει, κατὰ τὸν λέγοντα οὐδὲν ἐμαυτῷ σύνοι-

+ δα: Πολυχρονίου: Οὐδὲ γὰρ καὶ ὑμεῖς φησὶν σύνοιδα ἐμαυτῷ ἡμαρτηκότι εἰς θεόν, ὥστε καὶ δικαίαν τῆς δίκης τὴν ποινὴν ἡγεῖσθαι :~

λε Τίς γάρ μου ἡ ἰσχύς, ὅτι ὑπομένω, ἢ τίς μου ὁ χρόνος ὅτι
ἀνέχεταί μου ἡ ψυχή· μὴ ἰσχὺς λίθων ἡ ἰσχύς μου, ἢ αἱ
σάρκες μου εἰσὶ χάλκειαι· ἢ οὐκ ἐπ' αὐτῷ ἐπεποίθειν.

βοήθεια· βοήθημα δὲ ἀπ' ἐμοῦ ἀπέστη:

∴ καὶ τὸ τέλος μου ὅτι μακρόθυμος εἶ:

ὁ λύμης τοῦ σταύρου: Μὴ γὰρ ἀνάλγητος, ἢ λίθινος· λζ
ἢ χαλκοῦς εἰμί φησίν, οὐκ ἀνθρώπου φύσιν περιβέβλη-
μαι, οὐκ ὀλιγοχρόνιος ὑπάρχω· μηδεὶς οὖν ἀγνοείτω μεμ-
φέσθω. καὶ ἀποστροφὴν αἰτοῦντι τῶν παρόντων δεινῶν· τὰ
μὲν γὰρ τοῦ σώματος φησὶν οὕτω μοι διάκειται· ὃ δὲ μά-
λιστα τὴν ἐμὴν ψυχὴν ἀνιᾷ, τὸ ἐκ τῶν παρόντων τεκμαί-
ρεσθαι, ὡς ὁ ὑπ' ἐμοῦ ποθούμενος θεός, εἰς ὃν τὴν πᾶσαν
μου τῆς ζωῆς ἐλπίδα ἀνήρτησα. τὸ γὰρ ἐπιποθεῖν,
αὐτὸν τοῦ πεποιθέναι κεῖται. ἐγκαταλέλοιπέ με, καὶ τῆς οἰκεί-
ας ἐπισκοπῆς καὶ τῶν οἰκτιρμῶν ἐγύμνωσεν. διὸ καὶ ἐπάγει:

τοῦ ἁγίου ἰω(άννου): Ποίαν γὰρ ἔχω φησὶ δύναμιν λζ
ὥστε τὰ τηλικαῦτα καρτερῆσαι· οὐ ποιῶ οὐκ ἀπὸ ἰσχύος
ὑπομένει, ἀλλ' ἀπὸ εὐλαβείας καὶ φόβου θεοῦ· ἢ γὰρ ἂν
ἑαυτὸν ἐπεχειρήσατο· νῦν δὲ εὐχῇ τὸ πρᾶγμα ἐπιτρέπει,
καὶ οὐχὶ τῇ ἑαυτοῦ τόλμῃ: Πολυχρονίου:

Ἀλλ' εἴ τις φησὶ τὰ ἐμὰ [illegible] βασανιζομένῳ, λογιζέσθω ὡς λζ
ἄνθρωπος, ὃν καὶ ὑπὸ τῶν παθῶν συνεχόμενος [illegible]
προελέσθαι τοιαῦτα ἐγκλήματα: τοῦ αὐτοῦ:

Μὴ ἀναλγήτως φησὶ δύναμαι ἐνεγκεῖν τὰ κακά, οὐκ ἔστι δῆ- λη
λον ὡς ἀπαθὲς ὂν τὸ σῶμα, ἐπειδὴ πάντως τοῖς πά-
θεσι: τοῦ αὐτοῦ: Ἀλλ' ἁμαρτημάτων [illegible] υπ
με εἰς ἀπεράσθαι· καὶ τίς τῶν ἀπαίτων ἀγνοεῖ, τὴν εἰς θεὸν

μου εὐσέβειαν· ἧς ἡ μνήμη μάλιστα δάκνει, ἀπροσδοκήτως
εἰς τοὐναντίον μοι τῶν ὅλων περιστάντων: Τοῦ αὐτοῦ:
κη Εἰ γὰρ τοσαύτην κατέστην ταλαιπωρίαν, ὥστε καὶ τῆς παρὰ
τῶν φίλων ἐπικουρίας στερηθῆναι:
Ἀπείπατό με ἔλεος· ἐπισκοπὴ δὲ κυρίου ὑπερεῖδέ με·
οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου· ὥσπερ χειμάρρους
ἐκλείπων· ἢ ὥσπερ κῦμα παρῆλθόν με· οἵτινές (λξ) με διευ-
λαβοῦντο· νῦν ἐπιπεπτώκασί μοι:
ἀδελφοί· μεμφομένων ἐν ταυτότητι:
Πολυχρονίου: Καὶ μὴν φησὶν οὐδὲ τῆς παρὰ τῶν
συγγενῶν φιλανθρωπίας ἔτυχον: Τοῦ αὐτοῦ:
Καὶ πῶς φησὶν ἐν τοσαύτῃ καταστάντα συμφορᾷ κατέλιπεν·
πῶς οὖν φησί, καὶ μεγέθει παθῶν περιπεπτωκότα,
καὶ τῆς παρὰ πάντων ἐκτὸς καθεστῶτα παραψυχῆς, ἐγκα-
λείπει ἀνιωμένῳ: Διδύμου:
Καὶ τοῦτο αὐτῷ πρὸς δοκιμασίαν συνέβαινεν· οὐ γὰρ
μικρὸν ἀνιᾷ ἐν τοῖς θλιβεροῖς, ἀπουσία τῶν φίλων·
ταύτην ὑπομένων τὴν θλῖψιν καὶ Δαυὶδ ὁ ἅγιος ἔψαλλεν·
κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν
ὁ ἐπιγινώσκων με:
Οὐ καθ' ὧν ἥμαρτον, ἀλλ' ἀφ' ὧν πέπονθα βδελύττομαι.
λς Ὀλυμπιοδώρου: Χειμάρρῳ ἑαυτοὺς ἀφομοιοῖ διὰ
τὴν προλαβοῦσαν εὐθηνίαν: Τοῦ αὐτοῦ:
λς Καὶ τοῦτο φησὶ τῆς τοῦ θεοῦ ἐγκαταλείψεως ἔργον, τὸ καὶ

τοὺς οἰκείους

τοὺς οἰκείους παρορᾶν, ταύτας πάσχοντας· ὅταν γὰρ αὐτὸς ἀποστῇ καὶ γυμνωθῇ τῆς παρ' αὐτοῦ βοηθείας, πάντα ἐχθρὰ καὶ πολέμια:· Ὀλυμπιοδώρου:· Καὶ τί λέγω φησὶν ὡς διέπτυον οἱ ἐγγύτατοι· ἐπέτριβον μὲν οὖν τὰς συμφοράς· τὸ δὲ ἔξοικος ἐγενόμην. ἀντὶ τοῦ πανέστιος ἀπόλωλα· οὐδὲ λείψανον ὑπολέλειπταί μοι τῆς προτέρας εὐπραγίας:·

τοῦ ἁγίου Ἰω(άννου):· Τοῦτο πολλῷ χαλεπώτερον τὸ καὶ ἐπεμβαίνειν κειμένῳ:· λξ

Διδύμου:· Ἠρέμα μὲν τούτους ἴσως ἐλέγχει· ὅτι ἀγνοοῦντες τὴν αἰτίαν τῶν ἐπαγωγῶν ἐπεμβαίνεταί μοι, τολμῶντες τοιαῦτα λέγειν ἃ πρότερον οὐκ εἰρήκατε· Εἰκὸς δὲ ὅτι καὶ πολλοὶ τῶν ἄλλων διὰ τὸ πάθος κατεφρόνουν αὐτοῦ· καὶ τούτου ἐξαιτησαμένου ὑποβαίνοντος:·

Πολυχρονίου:· Τί φησὶ λέγω ὡς διέπτυον, ἐπέτριβε μὲν οὖν τὰς συμφοράς· καὶ ταῦτα ὀλίγω πρότερον καὶ τὴν ἐμὴν ἐπωνυμίαν τρέποντες:· λξ

Ὥσπερ χιὼν ἢ κρύσταλλος πεπηγώς, καθὼς τακεῖσα θέρμης γενομένης οὐκ ἐπεγνώσθη ὅπερ ἦν, οὕτω κἀγὼ κατελείφθην ὑπὸ πάντων. ἀπωλόμην δὲ καὶ ἔξοικος ἐγενόμην:·

∴ ὅπερ ἦν· τακεῖσα ἡ χιὼν δηλονότι· ∴ ἀνεπίγνωστος γεγονώς:·

τοῦ ἁγίου Ἰωάννου:

Τουτέστιν οὐδὲ μνημόσυνον λέλειπται, οὐδὲ λείψανον τῆς προτέρας εὐπραγίας:· ⊗

Διδύμου:· Καθὼς καὶ κρύσταλλος καὶ χιὼν ἀδιάκριτον ποιοῦσι τὸν τόπον, ὑπὸ θέρμης διαχυόμενα· οὕτω καὶ φίλος δοκῶν εἶναι θλιβέ-

ἐνταῦθα· φανερῶς καὶ ὅπερ πρὸ τούτου ἐκεκεύθειτο· φανερῶν κα-
θησὶν ἐνταῦθα θλιβεροῦ καιροῦ· ἀντικειμένων δὲ τῶν σχη-
ματιζομένων φίλων εἶναι, οἱ ἅγιοι ἔχουσι βεβαιότητα πρὸς
τοὺς ἀγαπωμένους, ἔχοντες καὶ ἐν ἀνέσει καὶ ἐν περιστάσει,
τοῦτον τὸν ὅρον τῆς φιλίας ἀπαράτρεπτον φυλάττοντες καὶ οὐ θαῦ-
μα· ὅπου γε καὶ πρὸς τοὺς ἐχθροὺς τὴν ἀγάπην ἐκτείνουσιν μετὰ
τῶν μισούντων τὴν εἰρήνην εἰρηνικοὶ ὄντες: τοῦ αὐτοῦ:

θ τὸ δὲ ἀπολόμενον δὲ καὶ ἔξοικος ἐγενόμην φησὶ πρὸς τὴν διά-
ληψιν τῶν πολλῶν, ἀπώλειαν λογιζομένων τὴν πάντων ἀφαί-
ρεσιν, χρημάτων, κτημάτων, καὶ ὅτι ἐπὶ κοπρίας ἐτύγχανεν·
διὸ καὶ ἔξοικος ἐγεγόνει· καὶ ἀπὸ πάντων αὐτοῦ οἰκείων κα-
ταλελοιπότων: ἴδετε ὁδοὺς θαιμανῶν·
ἀτραποὺς δὲ σαβῶν οἱ διορῶντες· καὶ αἰσχύνην ὀφειλήσουσιν
οἱ ἐπὶ πόλεσι καὶ χρήμασι πεποιθότες: ∴ ἀσεβῶν:

λη Ὀλυμπιοδώρου: τοὺς ἐπὶ πλούτῳ καὶ δυναστείᾳ
μέγα φρονοῦντας, ἐκ τῆς καθ' ἑαυτὸν μεταβολῆς νου-
θετημένη ἐκδιδάξειν ἐπὶ τῇ τούτων ἀδηλίᾳ· οἱ γὰρ προσέ-
χοντες φησὶν εἰς τὰς ὁδοὺς τῆς θαιμάν, καὶ τὰς ἀτραποὺς
τῶν αἰθιόπων· σαβαὶ γὰρ οἱ αἰθίοπες· τουτέστιν ἐκ τῆς
εὐσεβείας τῆς πρὸς τούτους κέρδη προσδοκῶντες· ἴδετε
εἰς ἐμέ φησι, καὶ μὴ πεποίθατε ἐπὶ χρήμασιν· αἰσχύνην γὰρ
ὀφειλήσουσιν οἱ ἐπὶ τούτοις ἐλπίζοντες· ἢ καὶ ἄλλως ἐπεὶ ἐνόμιζον·
ὡς χρεία ἐστὶ δείκνυσι πάλαι μὲν εὐδαίμονα· τότε δὲ ἔ-
ρημον καὶ ἐπίδεια τυγχάνοντα καὶ φησὶν ὅτι εἰς ταῦτα ἀπο-

βλέψατε, καὶ μὴ πιστεύετε τῇ τοῦ πλούτου ἀδηλότητι·
εἴτε δὲ τοῦτο εἴτε ἐκεῖνο, παραινεῖ μὴ πεποιθέναι
ἐπὶ χρήμασιν ἢ δυναστείᾳ: ἄλλως:
ἴστε φησὶ τὴν ἔρημον τὴν ἐπὶ Σαβὰ τῶν αἰθιόπων ἀπά-
γουσαν, ὥσπερ οὐκέτι ἐκεῖ πόλις, οὐδὲ αὐτοῖς ἐμοῖς
συγγενέσιν ἐλπίς: τοῦ ἀγρίου τῶ:
τουτέστι τὰ οἰκεῖα ἀναμνήσθητε τὸ μέλλον ἄδηλον, καὶ
πάντες ὁμοίως ὑποκείμεθα: Διδύμου:
ἐγὼ μὲν φησὶ ταῦτα ὑπέστην· μεταπεσὼν ἀπὸ πλούτου καὶ λη
πολυπαιδίας καὶ δόξης καὶ τῶν ἄλλων ἀνθρωπίνων· καὶ
ὅμως οὐδὲ ἐπ' αὐτῶν τεθαυμακὼς οὐ ξενίζομαι:
καὶ μετ' ὀλίγα: ἴδε ὁδοὺς θαιμανῶν ἀτρα-
ποὺς σαβῶν, οἱ διορῶντες, ὅ ἐστι μετὰ διανοίας ὁρῶντες,
ἵν' ᾖ ὁ πᾶς νοῦς αὐτοῦ τοιοῦτος· ἐγὼ μὲν ἔξοικος ἐγενόμην καὶ τῶν
ἐγενόμην καὶ πάντων ἀφῃρέθην, καταλογίσατε τὰς ὁδοὺς
τῶν θαιμανῶν, καὶ τὰς ἀτραποὺς τῶν σαβῶν, καὶ συγ-
κρίνατε καὶ ἐμπαθῶς λογιζόμενοι ὅτι ἐπὶ πλούτῳ καὶ
δόξῃ πεποιθότες, οὐκ ὀρθὰς ὁδοὺς ἢ ἀτραποὺς ἔχουσι.
ταῦτα δὲ ἔλεγεν, ὑπηχῶν καὶ τοῖς φίλοις οἰομένοις ὅτι ὁ πειράσ-
πων πειράσαι ἐκ κακίας ταύτης ἐνέχεται:
θαιμανῶν ἑρμηνεύεται, ἐκλειπόντων, σαβῶν ἐπιστρεφόντων: →
πολυχρονίου: αὐτὸ τοῦ ἐπὶ τοῖς προσοῦσι μέγα φρο- θ
νοῦντες, ὑπερορῶσί μου εἰς ἐσχάτην ἐλάσαντες πενίαν:
ἀτὰρ δὴ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως· ὥστε ἴσον τὸ

ἐμοῦ τραῦμα φοβεῖσθε: ... :: ἀθ ὅτι
νῦν, ἀλλὰ μήν: Ὁ χρυσόστομος:

+θ Ἀλλ' ἔξω φησὶν ἐκεῖνοι παρεστῶσί με· ... πλὴν καὶ ὑμεῖς οἱ ἐμοὶ φίλοι οὕτω πικροῖς τοῖς κατ' ἐμοῦ λόγοις ἐχρήσασθε. εἶτα ἀρίστη τοῦ φιλοσόφου καὶ φιλοθέου συμβουλή, τὸ δεῖν εἰς τὰς ἑτέρων προσέχοντας συμφορὰς εὐλαβέστερον γίνεσθαι καὶ περίφοβον: Τοῦ ἁγίου ἰωάννου:

+θ Συμπαθῶς φησὶν ἐλεγκτικῶς κατηγορικῶς:

+θ Διδύμου: Καὶ τοὺς ἐπ' αἰτίᾳ ψευδῆ, περιπεσόντας συμφοραῖς νουθετῶν τις οὐκ ἐλέγχει κατὰ λόγον κινούμενος. οὐ τοῦτο γὰρ πρόκειται, ἀλλὰ μᾶλλον εἰς ἀνδρείαν προτρέψασθαι, καὶ γενναίως ἐνεγκεῖν. τὸ γὰρ λέγειν. δῆλον γὰρ ἥμαρτες, βαρύνει ἐπὶ μᾶλλον, ἢ πόνων κουφίζει. καὶ γὰρ τῷ ὄντι ἀνελεημόνως ἐπέστησαν αὐτῷ ἐκ τοῦ περιπλανᾶν περὶ τὴν αἰτίαν τῆς ἐπαγωγῆς. καὶ ὅτι τὸν ὑποκείμενον ἐλέγχῳ, ἐλέγχειν ἐπεχείρουν τὸ: Πολυχρονίου:

+θ Ἀλλὰ μετ' ἐκείνων φησί, τουτέστι τῶν συγγενῶν, καὶ ὑμεῖς ὡς παράνομον κρίνετε, οὐ κατανοοῦντες τὰ πάθη καὶ τὴν αἰτίαν τῶν λόγων: Τοῦ ἁγίου ἰω:

λθ Μὴ δίκης ἐξετασθῆτε τῆς ἀτελότητος. εἰ καὶ μηδὲν ἕτερον φησίν, μήτε φιλία. μήτε ἡ τῶν προτέρων εὐεργεσία, μήτε ἄλλο μηδὲν ὑμᾶς ἐπιεικεστέρους ποιεῖ, αὐτὴ τῶν ἐμῶν τραυμάτων ἡ θεωρία πολλῆς ὑμᾶς ὤφειλεν ἐμπλῆσαι

λθ τῆς ἐπιεικείας: Διδύμου: Κηδεμονικώτατα

ὁ ἅγιος καὶ πρὸς τοὺς μὴ ὀρθῶς διακειμένους, πρὸς τοὺς αὐτοὺς
προσφέρεται, καὶ ἀπὸ τῶν καθ' ἑαυτὸν κἀκείνους διορ-
θούμενος. καὶ ἐκ τῆς αὐτῶν διαλήψεως δεχόμενος τὴν
ἀρχὴν τῆς παραινέσεως. εἰ γὰρ πᾶς ὁ ἁμαρτάνων συμ-
φοραῖς περιπίπτει, καὶ ὁ περιπεσὼν ἐξ ἁμαρτιῶν τοῦτ' ἔ-
παθεν, καὶ ὑμεῖς φοβήθητε ἐκ τοῦ ἡμετέρου πτώματος
τὸν φόβον δεχόμενοι. καὶ γὰρ δῆλον αὐτοῖς ὑπῆρχεν, ὅτι
οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου τῶν ἀνθρώπων: Πολυχρονίου:

Λογιζόμενοι φησὶ τοῦ σώματος τὴν λώβησιν, δεῖτε λθ
ἐπὶ τοῖς οἰκείοις λόγοις, μὴ καὶ ἀδικίας κρίνητε παρὰ
τοῦ θεοῦ, ἐπιξέοντες τὰ τραύματα τοῖς ὀνείδεσιν, παρα-
καλεῖν δέον: Τί γὰρ μή τι ὑμᾶς ᾔτησα. ἢ
τῆς παρ' ὑμῶν ἰσχύος ἐπιδέομαι, ὥστε σῶσαί με ἐκ χει-
ρὸς ἐχθρῶν. ἢ ἐκ χειρὸς δυναστῶν ῥύσασθαί με. δι-
δάξατέ με ἐγὼ δὲ κωφεύσω. εἴ τι πεπλάνημαι φρά-
σατέ μοι: Ὀλυμπιοδώρου:

Μή τινι ἐπαχθὴς ὑμῖν γέγονα, ὅτι μοι ἀνηλεῶς οὕτως μ
ἐγκεῖσθε: Τοῦ ἁγίου Ἰωάννου:

Τουτέστιν οὔτε πρότερον ὑμῶν ἐδεήθην, οὔτε νῦν. ἀλλ' αὐ- μ
τόματοι παρεγένεσθε ὡς δὴ παρακαλέσοντες. τί οὖν
τὰ τῶν ἐχθρῶν διαπεπράχατε: Πολυχρονίου:

Ἀλλὰ μὴ βαρὺς ὑμῖν φησὶν ὤφθην ἢ κελεύσας δοῦναι τὴν μ
πενίαν μοι παραμυθήσασθαι. ὥστε τοσούτοις πλύνειν τοῖς ὀ-
νείδεσιν: Τοῦ αὐτοῦ: Ἀλλ' οὐδὲ βαρὺς ὤφθην φησίν χ

ἀναξίων ὡς φίλους ὑμᾶς αὐτὴν τὴν ἴασιν εὑρέσθαι ἐκ τῶν
χειρῶν ἐξ ἀποστάλη τοῦ θεοῦ : Ὀλυμπιοδώρου :
μα Ἐλέγξατέ με καὶ σιωπήσω : τοῦ ἁγίου Ἰω :
μα Οὐ γὰρ δὴ εἶχον ἐκεῖνοι φανερὰ ἐγκλήματα προβαλέσθαι· ἀλλ' ἁπλῶς ἀπὸ στοχασμοῦ· καὶ ὅτι μὲν βίου ἐναρέτου ἦν, φανερὸν ἦν· ὅτι δὲ οὐκ ἦν, ἐστοχάζοντο οὗτοι ἀπὸ τῶν τιμωριῶν, ἀλλ' ὡς ἔοικε φαῦλα ἀνδρὸς ἀληθινοῦ ῥήματα :
μα Διδύμου : Καὶ τοῦτο μετὰ πλείστης ὅσης πραότητος ὁ ἅγιος παιδεύει αὐτοὺς πῶς χρήσονται λόγοις πρὸς τοὺς ἐν πειρασμοῖς λέγων· διδάσκειν ὀφείλετε οὐκ ἐλέγχειν ἀπηνῶς· εἰ μὴ καὶ τοῦτο πρὸς παίδευσιν δεῖ ποιεῖν, κατὰ τὸ λεγόμενον ὑπὸ Παύλου· ἔλεγξον ἐπιτίμησον παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ :
μα Πολυχρονίου : Ἐλέγξατε εἴ τι τῶν πρὸς ἐμοῦ ῥηθέντων ψευδές, καὶ ἡσυχάσω, ἐκεῖ λογιζόμενος τὰ ὀνείδη ἀφ' ὧν ἔφηνα φορτικός :
, Ἀλλ' ὡς ἔοικε φαῦλα ἀληθινοῦ ῥήματα· οὐ γὰρ παρ' ὑμῶν
, ἰσχὺν αἰτοῦμαι· οὐδὲ ὁ ἔλεγχος ὑμῶν ῥήμασί με παύσει:
※ λυπηρά· διὰ μοχθηρῶν ὡς ἂν λόγοι εὐθεῖς:
μβ Ὀλυμπιοδώρου : Ὡς ἂν εἰ ἔλεγεν ὅτι φορτικὸν τοῖς πολλοῖς ἡ ἀλήθεια : τοῦ ἁγίου Ἰω :~
μβ Ἀλλ' οὐ δυνατόν φησιν ἀγωνίσασθαι τῆς συμφορᾶς μοι, καὶ ἀντιφθεγγομένης : Πολυχρονίου :
μβ Ἀλλ' εὔδηλον φησὶν ὡς ἀπεχθάνονται τοῖς λεγομένοις, ἐκ τοῦ

παραστήσασθε τὴν ἀλήθειαν διὰ τὴν προσοῦσαν ὑμῖν εὐ-
σέβειαν: Ἰουλιανοῦ: Ὅταν γὰρ ἐκ τοῦ θεοῦ
ἀπῇ ἡ ἐπικουρία, κἂν ἀληθῆ λέγῃ τις, οὐκ ἀξιόπιστος
ἐπὶ τοῖς ἀκροαταῖς: Ὀλυμπιοδώρου:
Πλὴν οὐ δέομαι τῆς βοηθείας ὑμῶν· μὴ συγκαταβῆτέ μοι· μτ
ἀλλ' ἐλέγξατέ μοι· οὐδὲ γὰρ δέδοικα ὑμῶν τοὺς ἐλέγχους,
οὐδὲ ἐφησυχάσω τῷ λόγῳ, τοῦ συνειδότος μοι καθαρεύ-
-οντος: Διδύμου: Τὸ ἄλογον τῆς ἐπιπλήξε- μτ
-ως τῆς καθ' ἑαυτοῦ ἔλεγχον φησίν· ὅτι εἰ μὲν ἐμοῦ ἐ-
ξαιτουμένου παρ' ὑμῶν τι, οἷον εὐχὴν εἰς θεόν, ἐφάσκε-
-τε μὴ δύνασθαι ἀνενέγκαι τὴν ὑπὲρ ἐμοῦ εὐχήν, διὰ
τὸ ἐν ἁμαρτίαις εἶναι, λόγον τινὰ εἶχεν· ἐπεὶ δὲ τοῦτο οὐ γέ-
-γονε, μάταιος ὁ καθ' ἐμοῦ ἔλεγχος: Τοῦ αὐτοῦ
ἄλλως: Τοῦτο σύμφωνον τοῖς ἄνω ἔνθα ἔλεγε· μτ
τί γὰρ μή τι ὑμᾶς ᾔτησα διὰ μέσου εἰρημένων διδάξα-
-τέ με· ἐγὼ δὲ κωφεύσω· εἴ τι πεπλάνημαι φράσατέ μοι.
ἀλλ' ὡς ἔοικε τὰ ῥήματά μου ἐπὶ φαῦλα: Πολυχρονίου:
Ἀλλ' εἴθε φησὶ μηδὲ τὴν ἀρχὴν ὡς παρακαλέσαντες μτ
ἥκετε· οὕτω γὰρ ἂν διεκείμην ῥᾷον, ἢ νῦν χείρονα ἐκ
τῆς ὑμετέρας ὕβρεως ὑπομείνας ἢ ἐκ τῶν τραυμάτων
πέπονθα: Τοῦ ἁγίου Ἰωάννου: Οὐχ ἡ συμφο- ⁜
-ρά, οὐχ ἡ φιλία κατέκαμψεν ὑμᾶς φησίν· πλὴν εἰ βού-
λεσθε πάλιν ἀναλάβωμεν τὸν λόγον· οὐ γὰρ αἰτοῦμαι κἂν
τὴν ἐναντίαν μοῖραν ἑαυτοὺς τάξητε, καὶ αὐτὸς ἐρῶ· ἐστί

* γὰρ ἐμαυτῷ σύνοιδα: Διδύμου: Λόγος γὰρ χωρὶς
ἔργου προσφερόμενος ἀβέβαιος ἐστὶ καὶ ἄπιστος· ἀλλ' ὡς δὲ
καὶ μὴ ἀληθῶς προϊών· ἐπί γε τὸ ἀσθενὲς ἔχει· φησὶν οὖν ὅτι
ὑμεῖς, τοιούτῳ ἐλέγχῳ χρώμενοι, οὔτε παύετέ με, οὔτε τἀληθὲς
προφέρειν· οὔτε ἄλλό τι ἀνακάμψειν πρὸς ἀρετήν: Πολυχρονίου:
* Τοιγαροῦν φησὶν οὐχ ἡσυχάσω πρὸς τοῖς παρ' ὑμῶν λόγοις:
, φρ οὐδὲν γὰρ ὑμῶν φθέγμα εὐμαθῶς ἀνέξομαι· πλὴν καὶ ὅτι ἐπ' ὀρ-
, φανῷ ἐπιπίπτετε, ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν· νυνὶ δὲ
, εἰσβλέψας εἰς πρόσωπα ὑμῶν οὐ ψεύσομαι· καθίσατε
, δὴ καὶ μὴ εἴη ἄδικον: Διδύμου:
φρ Καὶ τοῦτο ἀνδρείας· πολλοὶ γὰρ πολλάκις τῶν ἐν περιστά-
σεσι φορτικῶν ἀκούοντες λόγων ἀποκάμνουσιν, ὥστε καὶ δι-
όλου ἐξασθενεῖν· ἀλλ' ὁ ἅγιος οὔτε τοῦ ἐλέγχου τοῦ ὑπὸ
τῶν φίλων, οὔτε τοὺς λόγους πρὸς ὀλιγωρίαν ἀπέκαμε,
ὅλως τὴν ἀρχὴν μὴ καταδεχόμενος ἀλλά, οἷς πειρώμενα
φρ ἀλλὰ σιῶσαι: Πολυχρονίου: Ἀλλὰ καὶ πρὸς
ταῦτα τὰ λεχθέντα πρὸς ἀντιλογίαν χωρήσω:
μσ̄ Ὀλυμπιοδώρου: Ὀρφανῷ τουτέστιν ἐρήμῳ
μσ̄ βοηθείας: Καὶ ταῦτα φιλίαν σχηματιζόμενοι:
μσ̄ Πολυχρονίου: Καὶ γὰρ δεινὸν ἐργάζεσθαι ἐν τοῖς
πονηροῖς ἐπιτιθέμενοι· τὸ γὰρ ἐπ' ὀρφανῷ, τουτέστιν ἐρή-
μῳ βοηθείας: Ὀλυμπιοδώρου:
μτ̄ Σὺν παρρησίᾳ λαλήσω, καὶ οὐδὲν ὑμᾶς ἐρυθριάσας φησίν,
οὐδὲ προκρίνας τῆς ἀληθείας, ἄλλους ὑμᾶς αἰτῶν καθ' ἃ

μοι δικασταὶ, καὶ δικαίας ἐξοίσετε τὰς ψήφους· πιστεύω γὰρ μηδὲν ἄδικον λέξειν, μηδὲ ἀσυστάτους προάξειν λόγους:

Διδύμου: Διδασκαλικὸν τὸ ῥητόν, πρὸς τὸ μὴ περὶ ἀπόντων προφέρειν λόγους καταλαλιᾶς· ἀλλ᾽ εἰς πρόσωπον λέγειν ἃ δεῖ· εἴρηται γὰρ μὴ καταλάλει, μηδὲ ἡδέως ἄκουε καταλαλοῦντος· εὐπαρρησίαστον δὲ καὶ τὸ λέγειν οὐ ψεύσομαι, καθὰ καὶ Παῦλος· ἀλήθειαν λέγω ἐν χριστῷ οὐ ψεύδομαι: Πολυχρονίου: Τουτέστι μετὰ παρρησίας ἐρῶ τὴν ἀλήθειαν: Τοῦ αὐτοῦ:

Ὑμῖν κεῖται τῶν πρὸς ὑμᾶς γίνεσθαι λόγων, μόνον ἡ τοῦ δικαίου μοῖρα προσέστω τῇ ψήφῳ. νῦν ἄρξασθαι:

Διδύμου: Ἐπιεικῆ ταῦτα καὶ ἀνεξίκακα σημαίνοντα σχολὴν καὶ προσοχήν· ὃ δηλοῦται διὰ τοῦ καθίσατε καὶ ἐξετάσατε φθέγγεσθαι. τοῦτο καὶ ἀλλαχοῦ εἴρηται· πρὶν ἐξετάσεις μὴ μέμψῃ· μέγα δὲ καὶ τὸ ἐπίταγμα τὸ μὴ εἴη ἄδικον· οὐ μικροῦ γὰρ ἐν λόγῳ μὴ πταίειν:

Πολυχρονίου: Χωρήσατε φησὶ πρὸς ἀντιλογίαν· ἐπιχειρήσατε ἐλέγξαι τῶν λόγων τὴν ἀλήθειαν:

› Καὶ πάλιν τῷ δικαίῳ συνέρχεσθε· οὐ γάρ ἐστιν ἐν
› γλώσσῃ μου ἄδικον· ἢ οὐχὶ ὁ λάρυγξ μου μελετᾷ
› σύνεσιν· πότερον οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου
› ἐπὶ τῆς γῆς: ∴ ἢ μήτι οὐ στρατεία
τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς: Διδύμου:

Προλεγόμενος αὐτοὺς σχολάσαι τῇ περὶ αὐτοῦ ἐξετάσει,

ὅπως δ' αὐτοῦ καθήψατο δι' ἃ καὶ μὴ εἴη ἄδηλον δηλοῦσθαι περὶ μά-
γειρον· εὐπαρρησίαστον πρόφασιν λόγον φησὶν ὤν. οὐ γὰρ ἐστὶν ἐν
γλώττῃ αὐτοῦ ἄδηλον· ἠρέμα παρακινῶν αὐτοὺς ἐξ ἧς εἶχον
περὶ τούτου διαλήψεως, ὡς δι' ἀμαθίας πεπονθότος· καὶ ἄλλως
ὑπομιμνήσκων αὐτοῖς, ὡς οὐ πρὸς ἀσφάλειαν ἔχουσιν· ἵν' ἐκ
τούτου εἰς τὴν περὶ αὐτοὺς σκέψιν, αὐτοὺς διεγείρει φρονιμώτερον
καὶ σπουδαιότερον ἐξετάσασθαι ταύτην: Ὁ χυμοποιστώρου:

μς Ὥσπερ ἤδη καθίσας αὐτοὺς δειπνίσας, ἄρχεται συνηγορεῖν τοῖς
ἑαυτοῦ λόγοις, καὶ διηγεῖται ὡς οὐ μετρίως ἄξιός ἐστι πο-
θοῦν μεταλλάξαι τὸν βίον, καὶ φησίν· ἄρα οὐ μεταπράσσεων
μεστὸς ὁ βίος, καὶ δίκην μισθωτοῦ ἔπασι περὶ τὴν ἑαυτῶν
πονούμεθα ζωήν· καὶ διαλλάττομεν οὐδὲν τῶν οἰκετῶν ἀπὸ τοῦ
μετὰ πόνους διανύοντες τὸν βίον, ὃν γὰρ τρόπον φησὶν ὁ θε-
ράπων μίαν ἀναπαυλὴν ἔχει τῶν μόχθων τὴν νύκτα· οὕτω καὶ
ἀντὶ τῆς ταλαιπωρίας τοῦ βίου λύσιν ἔχουσι τὸν θάνατον·
τὸ γὰρ τελευταῖος σκιᾶς, οἷον ἡ νύκτα λέγει. ἀντὶ τοῦ ἀνα-
μς παύλης: ἄλλως: Οὐδὲ γὰρ ἐφ' ἡμῖν ἐστὶ τὸ ἐλθεῖν εἰς
τὴν αὔριον, καθάπερ οὐδὲ τῷ μισθωτῷ τῷ πρὸς ἡμέραν μι-
σθωθέντι μίαν, ἐξουσία τίς ἐστιν ἀφ' ἑαυτοῦ καὶ τὰ ἑξῆς
ἐργάσασθαι. πλὴν εἰ μὴ ὁ μισθωσάμενος ἐπιτρέψειεν, ὅ-
μοιον δὲ τούτῳ, ἐν καθολικαῖς εἰρημένον, οἵτινες οὐκ ἐ-
πίστανται τὸ τῆς αὔριον: ἄλλως: Δείκνυσι δὲ ἡμᾶς
φησὶ τὰ συμβαίνοντα ἡμῖν ἐν τῷ φέρειν γενναίως. ὥστε
καὶ εὐχαρίστως δεῖ τὰ θεράποντας καὶ μισθίους· ἱκανῶς

γὰρ ἐστὶ παρ' ὧν ὁ θεὸς ὡς δεσπότης καὶ ἡμᾶς ἀμείψασθαι ἀγα-
θοῖς: Τοῦ ἁγίου ἰω(άννου): Τὸ ἐπίπονόν φησι καὶ μϛ
τοῦ παρόντος βίου, ἀλλ' οὐ πόνων γέμει μόνον, οὐχὶ δὲ καὶ
κινδύνων· ἐμοὶ δὲ δοκεῖ περὶ τοῦ ἀποστόλου λέγειν οἰκείου.
ἐν ἀγωνίᾳ διὰ παντὸς οὗτος διάγων φησίν: Τοῦ αὐτοῦ ἰω(άννου):
Ὥσπερ οὖν φησὶ συμβαίνει μὴ ἀπὸ ἀδικίας μόνης, ἀλλὰ μϛ
καὶ ταύτης τῆς φύσεως ταῦτα παθεῖν: Πειρατήριον μϛ
τάγμα στρατιωτῶν, ὡς στρατιῶται ὅταν τύχωσιν ἀπὸ πάσης
ἔχουσιν· οὕτω καὶ οἱ ἄνθρωποι παρὰ θεοῦ· ἢ ὅτι εἰς πεῖραν ἄγει ἡμᾶς
ὁ θεὸς ἐνθάδε: —

> Καὶ ὥσπερ μισθίου αὐθημερινοῦ ἡ ζωὴ αὐτοῦ· ἢ ὥσπερ θε-
> ράπων δεδοικὼς τὸν κύριον αὐτοῦ, καὶ τετευχὼς σκιᾶς· ἢ
> ὥσπερ μισθωτὸς ἀναμένων τὸν μισθὸν αὐτοῦ· οὕτω κἀγὼ
> ὑπέμεινα μῆνας κενούς:

Ἰουλιανοῦ: Δοκίμιον γάρ ἐστιν ὁ βίος ἀνθρώποις· ξο
καὶ ἔλεγχος τῆς ἑκάστου γνώμης: Πολυχρονίου:
Δίκην μισθωτοῦ ἅπαντες περὶ τὴν ἑαυτοῦ ποιοῦνται ζωήν· ξο
ἄλλως γὰρ γεωργός, συλλέγει τοὺς καρπούς, καὶ ἄλλως ὁ τὴν
θάλασσαν μετιὼν τέχνην, καὶ οἱ ἐν ἀξιώμασιν ἑτέρως·
ἔστι δὲ ὅλως οὐδείς, ὃς οὐ τῶν ἀναγκαίων φροντίζει:

Ἰουλιανοῦ: Ὡς ἂν καὶ θεράπων ἢ φόβῳ τοῦ δε-
σπότου, ἢ εὐμενείᾳ τῇ παρ' αὐτοῦ προσέχοι τῷ ἔργῳ:

Πολυχρονίου: Καὶ διαλλάττομεν οὐδὲν τῶν οἰκετῶν
ἅπαντες μετιόντες ἀνύοντες τὸν βίον· ὁ μὲν γὰρ πένης ὑφορᾶται

τῶν πιναροτέρων τὴν ἀρχήν· οἱ δὲ ἐν τιμιωτέρῳ βιοῦντες τῶν μειζόνων τὴν πλεονεξίαν· καὶ οὗτοι τὰς παρὰ τῶν κρατούντων δημεύσεις· καὶ βασιλεὺς τῶν μὲν τὴν τυραννίδα, τῶν δὲ τὰς ἐπιβουλάς· ὥσπερ τοίνυν φησὶ τὸ ὥσπερ ὁ θεράπων μίαν ἀπαλλαγὴν τῆς τοῦ δεσπότου βαρύτητος ἔχει τὴν νύκτα, οὕτω καὶ ἄνθρωποι τῆς ταλαιπωρίας τοῦ βίου λύσιν ἔχουσι τὸν θάνατον:

μζ Ὀλυμπιοδώρου: Ἕκαστος γὰρ ἀναμένει τὸν μετὰ ταῦτα μισθὸν τοῖς ἔργοις κατάλληλον:

μζ Ἰουλιανοῦ: Οὕτω κἀγώ φησι περὶ τούτων διακείμενος, εἰς ὅσα νῦν ἐμπέπτωκα: Ὀλυμπιοδώρου:

μη Κἀγὼ τοίνυν εἰς γέγονα τῶν ἀνιαρῶν τούτων ἀναλγῶν τοῦ βίου, καὶ πολὺ ἤδη χρόνον ἐν ταλαιπωρίαις ἐξετάζομαι· τοῦτο γὰρ σημαίνει τὸ μῆνας κενούς· ταῦτα δὲ λέγει μεταξὺ θεὶς τὰ ἤδη αὐτῷ συμβεβηκότα καὶ τελευταῖον ἐπάγει, ὡς ὁ βίος αὐτῷ δίκην δρομέως πρὸς τὸ τέρμα ἐπείγεται, οὐδὲν τῶν χρηστῶν παντάπασιν ὑπολειπομένων· τοῦτο γὰρ ἐστὶ τὸ ἐν κενῇ ἐλπίδι:

μη τοῦ ἁγίου Ἰω(άννου): Μετὰ ταλαιπωρίας, μετὰ φόβου. τοῦτο δὲ οὐχὶ περὶ πάντων λέγει, ἀλλὰ περὶ ἑαυτοῦ:

› Νύκτες δὲ ὀδυνῶν δεδομέναι μοί εἰσιν. ἐὰν κοιμηθῶ, λέγω
› πότε ἡμέρα, ὡς δ' ἂν ἀναστῶ, πάλιν πότε ἑσπέρα· πλήρης δὲ γί-
› νομαι ὀδυνῶν, ἀπὸ ἑσπέρας ἕως πρωΐ· φύρεται δέ μου τὸ
› σῶμα ἐν σαπρίᾳ σκωλήκων· τήκω δὲ βώλακας ἀπὸ ἰχῶρος
› ξύων· ὁ δὲ βίος μου ἐστὶν ἐλαφρότερος λαλιᾶς:

∴ α' θ' ἀναστήσομαι ∴ οἱ γ' αἱ ἡμέραι· σ' ταχυ-

-τέρα ὑφίσταμαι· ἤπερ δρομέως:
αἱ τοῖς ἄλλοις πρὸς ἀνάπαυσιν δοθεῖσαι:
βαρὺ τὸ παρὸν ἔχω τοῦ ἀπόντος ἐπιθυμῶ:
τοῦ ἁγίου ἰω: διὰ τούτων παιδεύει τοὺς φίλους
καὶ περὶ ἐπιεικείας, καὶ περὶ τοῦ ἀπώσασθαι τὴν διάληψιν
τὴν ὅτι δι' ἁμαρτίας πάσχειν, αὐτῆς ὑπερβολῆς τῶν πόνων ἐν-
νοήσωσιν· ὅτι οὐχ οὕτως ἐστὶ φαῦλος, ὥστε τοιαῦτα πάσχειν.
ἔπει γὰρ αὐτοὺς ἐννοῆσαι τὰ καθ' ἑαυτούς, καὶ οὕτω γνῶναι
τὰ περὶ τοῦ ἰώβ. ἀναπαύσασι γὰρ ὀδύναι καὶ ἰχῶρες καὶ
σκώληκες· καρτερίαν ἅμα καὶ ἀνδρείαν ἐδείκνυεν:
πολυχρονίου: βαρὺ καὶ τὸ ἁπλῶς ἀλγεῖν· τὸ δὲ
ἑλκοῦσθαι χεῖρον· τὸ δὲ καὶ σκώληκας ἐν ζῶντι σώματι
βρύειν, τροφὴν τοῦ πάσχοντος τὸ σῶμα, τί οἰομένου· ὥστε
νῦν μὲν καὶ τοῖς δήγμασιν· νῦν δὲ τῆς δυσοσμίας, καὶ πρὸς
τὴν ζωὴν ἀπεχθεῖν τὸν πάσχοντα, οὐδεμίαν ὑπερβολὴν
καταλιμπάνει: τοῦ ἁγίου ἰω:
οὐκέτι γὰρ ὑπομένω ὡς ἐμοὶ δοκεῖ τάχα προσεχθείς, ἀλλὰ γὰρ
λοιπὸν τοῦτο ἐποίει: ἰουλιανοῦ: πηλοῦ δίκην διὰ
τρόχου ἀπεργαζόμενος· οὐκ ἔφερε γὰρ οὔτε γῆν τὸν ἀπορ-
ρέοντα ἰχῶρα: πολυχρονίου:
καὶ οὕτω μοι διέφθαρται φησὶ τὸ σῶμα ὡς τῷ πλήθει τῶν
ἰχώρων λύεσθαι τὰς βόλους: τοῦ ἁγίου ἰω:
δηλῶσαι τὸ πρόσκαιρον καὶ πρόσωρον τοῦ βίου σημαίνων.
ὅτι ὁ βίος μου οὐκ ἔστιν ἑστηκώς· ἀλλὰ πρόσκαιρος· διώκεται

καὶ τὴν ὑπερβολὴν ἐπιτείνων δηλοῖ· καὶ τὸ ἄχρι θανάτου ἥκειν αὐτῷ τὰ τῶν πόνων:

ζ :: ἀπόλωλε δὲ ἐν κενῇ ἐλπίδι. μνήσθητι οὖν ὅτι πνεῦμα μου ἡ ζωή· καὶ οὐκέτι ἐπανελεύσεται (σεσ) ὁ ὀφθαλμός μου ἰδεῖν ἀγαθόν· οὐ περιβλέψεται ὁ ὀφθαλμὸς ὁρῶντός με: οἱ ὀφθαλμοί σου ἐν ἐμοὶ καὶ οὐκέτι εἰμί:

λθ :: ε καὶ ἀνηλώθησαν μὴ οὔσης ἐλπίδος. :: Α΄ Θ΄ οὐ κατανοεῖ με: :: ἔτι βλέπων ἀπόλλυμαι:

ζ τοῦ ἁγίου Ἰω(άννου): Δηλοῖ ὅτι ὁ ταλαιπωρήσας ἀμισθὶ οὐκ ἔλαβον. ὅτι ἐν συμφοραῖς, καὶ οὐδὲν ἔχω τέλος χρηστὸν φλεγμονῶν καὶ ἱδρῶτι παλαιῶν τοσούτω: Ὀλυμπιοδώρου:

μθ Εἰς εὐχὴν τρέπει τὸν λόγον. πνεῦμα δὲ τοῦτο καλεῖ τὸ ἀέριον. ὃ ἀναπνέοντες ἐπισπώμεθα, καθὰ καὶ σολομὼν ἔφη, καθὰ καὶ σολομὼν ἔφη, ὅτι καπνὸς ἐν ῥισὶν ἡ πνοὴ ἡμῶν· λέγει οὖν ὡς ἐπειδὰν τοῦ τοιούτου πνεύματος ἀπορραγῶμεν, ἐπελθόντος δηλαδὴ τοῦ θανάτου οὐκέτι εἰς τὴν τοιαύτην ἐπανερχόμεθα ζωήν· ἢ καὶ οὕτως· διὰ τὸ ὥσπερ ἐν μόνῳ τῷ πνεῖν, ὑπολειφθῆναί μοι τὴν ζωήν. οὐδὲν ἐν τῷ παρόντι βίῳ προσδοκῶ χρηστὸν ἔτι:

μθ τοῦ ἁγίου Ἰω(άννου): Ὅρα πῶς οὐδαμοῦ ὑπὸ κατορθωμάτων ἀξιοῦντα σωθῆναι ἑαυτόν· ἀλλ' ἐπειδὴ ὀλίγος χρόνος ἐστίν:

μθ τοῦ αὐτοῦ ἄλλο: Πνεῦμα λέγει νῦν τὴν πνοὴν τὴν αἰσθητήν. ἀντὶ τοῦ εὐδιάλυτος μου ἐστὶν ἡ ζωὴ ἡ ἀνθρωπίνη. ἐφ' ἣν οἱ ἐλπίζοντες, ἐλεεινότεροι πάντων ἀνθρώπων εἰσίν. δῆλον γὰρ ὅτι καὶ δίκαιος ἐστίν. ἀλλὰ γνώμῃ λεχθεὶς ἐστὶν τῆς ἀπὸ τῆς συνηγορίας

δύναται : Τοῦ αὐτοῦ : Τὴν πρόγνωσιν ἐπαινοῦντα τῶν γινομένων· δηλονότι εἰ καὶ ἐνδέχεται μεταπεσεῖν τὰ θλιβερὰ ἐμοὶ· ἐγὼ οὕτω πας ἐσκέψασθαι· ὥστε μὴ τὸν ἡμέτερον τῆς διανοίας ὀφθαλμὸν τὰ ἀγαθὰ ἐκπίξειν ὡς ἀφήσεσθαι. δῆλον γὰρ ὅτι περὶ αὐτῶν· τὰ γὰρ κυρίως ἀγαθὰ εἶχε τὰς ἀξίας ἔχων. Ὀλυμπιοδώρου : σεο

Οὐκέτι φησὶ τοῖς ὁρῶσι περίβλεπτος ὡς τὸ πρῴην ἔσομαι· τὸ δὲ οἱ ὀφθαλμοί σου ἐν ἐμοί, τουτέστιν ἅμα τε θελήσας ἀπο-λόμην· καὶ ἔοικα νέφει διαλυθέντι, καὶ τὴν οἰκίαν συ-σύστασιν ἀπολέσαντι· τὸ δὲ οὐκέτι μὴ ἀναβῇ ἐξ ᾅδου· συναπτέον τὸ εἰς τὸν ἴδιον οἶκον· οὐ γὰρ ἀγνοεῖ τὴν ἀνάστα-σιν, ὡς καὶ ἐν τοῖς ἑξῆς σαφέστερον εὑρήσεις· ὃ δὲ λέγει τοι-οῦτόν ἐστιν· ὁ ἅπαξ ἀποθανὼν εἰς τὸν δὲ τὸν φθαρτὸν βίον οὐχ ὑποστρέφει· οὐδὲ τὰ συνήθη πράττων ἐπιγνωσθή-σεται· εἰ καί τις τοῦτο ὑπάρχει διὰ τὸ μυστήριον πρὸς πίστιν αὐτῶν τῆς ἀναστάσεως : μ

Ὥσπερ νέφος ἀποκαθαρθὲν ἀπ' οὐρανοῦ· ἐὰν γὰρ ἄνθρωπος καταβῇ εἰς ᾅδην, οὐκέτι μὴ ἀναβῇ, οὐδὲ μὴ ἐπιστρέψῃ ἔτι εἰς τὸν ἴδιον οἶκον· οὐδὲ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ· ἀτὰρ οὖν, οὐδὲ ἐγὼ φείσομαι τῷ στόματί μου :

ἢ καθάπερ ἀναλωθεῖσα νεφέλη ἀπαμφήσεται :

ἀ θ' τοιγαροῦν : Διδύμου :

Δύναται καὶ τὴν ἐξουσίαν λέγειν τοῦ θεοῦ· καὶ φανερὰν αὐτὴν καθιστάναι ἢ οὕτως· ἐν τοὺς ὀφθαλμούς σου εἰς ἐμὲ πρὸς τὸ

μὴ εἶναι ῥέψειας· οὐκέτι εἰμί· οὕτω γὰρ ἀληθινῶς ἐστὶν αὐτὸς ὡς ἀποθανών, μηκέτι οἷός τε εἶναι ἐπισκέψασθαι· οὐ παραιρούμενος δὲ τὴν ἀνάστασιν τοῦτο λέγει· ἀλλὰ τρόπον μὲν τὸ τῶν ἀνθρώπων ἐπίκηρον δηλῶν· ἔπειτα ὅτι οὐχ οὕτως ἕξει αὐτὸς ἀποθανὼν ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων ὑπολαμβάνουσι· φησὶν ἐνταῦθα πλάτων. τοῦτο γὰρ δηλοῦται διὰ τοῦ οὐδ' οὐ μὴ ἐπιστρέψῃ εἰς τὸν ἴδιον οἶκον· οὐδ' οὐ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ:

Δῆλον γὰρ φησὶ τοῦτο ὡς τὸν ἀποθανόντα ἀναστῆναι οὐχ οἷόν τε· ζῶν μὲν γὰρ τῆς χρείας ἕνεκεν ἀπολιπὼν τὸν οἶκον, αὖθις ἐπανῄει· τελευτῆς δὲ καταλαβούσης, τὴν ἔξοδον ποιησάμενος, ἐπανέρχεσθαι οὐχ οἷός τε: Τοῦ αὐτοῦ:

ο τε Ἀλλ' οὐδὲ μνήμη φησὶ τοῦ τοιούτου περιλειφθήσεται· ἀφανοῦς ἐκ ζώντων γινομένου, καὶ παντὸς τόπου ἀγνοουμένου τὴν θέσιν:

να Ὀλυμπιοδώρου: Τοιγαροῦν οὐκέτι σιωπήσω φησίν, ἀλλὰ λέξομαι, καὶ περιθήσομαι στενοχούμενος· τὰς δὲ παρούσας ἀλγηδόνας καὶ τὸ εὐτελὲς τῆς φύσεως εἰς ἱκετείαν προβάλλεται· καὶ δὴ καί φησι τίς ἡ ἰσχύς μου δέσποτα· ὅτι ὥσπερ τὴν θάλατταν, καὶ τὰ ἐν αὐτῇ κήτη θείοις περιέκλεισας, ἃ οὐχ ὑπερβαίνουσιν· οὕτω με ταῖς συμφοραῖς

να περιετείχισας: Πολυχρονίου: Ταῦτα φησὶ λογιζόμενος καὶ τὴν ψυχὴν ὑπὸ τῶν παθῶν πιεζόμενος αὐτῷ ἀφῆκα ἐπὶ τῆς ἑαυτοῦ γλώσσης μετὰ παρρησίας φθέγξασθαι· καὶ ὥσπερ τινὸς λέγοντος, μὴ ἔχειν ὑπομεῖναι καὶ σιωπᾶν γενναίως τὰ ὑπὸ θεοῦ ἐπαχθέντα:

ταῦτα εἰπών, τῷ φθάσαντι ἐπεύξασθαι τῇ ζωῇ μου: να

※ λαλήσω δὲ ἐν ἀνάγκῃ ὢν τοῦ πνς μου· ἀνοίξω πικρία
ψυχῆς μου συνεχόμενος· πότερον θάλασσα εἰμὶ ἢ δράκων·
ὅτι κατέταξας ἐπ' ἐμὲ φυλακήν· εἶπα ὅτι παρακαλέσει
με ἡ κλίνη μου: :: ἐ διαλεχθήσομαι
τῷ παραπικρασμῷ τῆς ψυχῆς μου: :: ἢ κῆτος:
:: ἐ παρηγορήσει: ὅτι με τοὺς εὐτυχῆ πεσοῦσι π
ἄλλοις προσείπω εἴξας· τιμωρίαν καὶ ἐπαγωγὴν π
κυμάτων: διὸ σύ μου: θάλασσα καὶ δράκοντα ἀλ- θ-β
ληγορουμένως λαμβάνοντες. ἐπὶ ψυχῆς τοῦ δεχόμεθα· καὶ
ἡ μὲν θάλασσα, πολλάκις ἐπὶ τοῦ βίου τοῦ κλυδωνιζομένου
λαμβάνεται· δράκων δὲ ὁ διάβολος. εἰ φησὶ τοῦτο ἐ-
στὶν οὕτως· οὐ διαμαρτήματα ἐστὶ δράκοντος ἢ θαλάσσης·
ἀντὶ τοῦ ὑπερβαλλόντων κακῶν ἄξια ταῦτα ἦν· κατατέταχας
γὰρ ἐπ' ἐμὲ φυλακήν, ὥσπερ τὰ πειρατικὰ πᾶσαν ὑπε-
ραίροντα ἀλγηδόνα· ἀντὶ τούτων οὖν πείθει τοὺς φίλους
ἀποστῆναι τῆς ὥσπερ εἰ δι' ἁμαρτίας παθόντος ὑπολήψεως:
πολυχρονίου: ὁ μὲν ἑβραῖος ἀντὶ τοῦ φυλακὴν γ
πόνους λέγει· δράκοντα δὲ λέγει, τὸ ἐν τῇ θαλάσσῃ κῆτος.
περὶ οὗ κἂν τοῖς ὑστέροις τοῦ βιβλίου διαλέγεται· ὁ δὲ
βούλεται εἰπεῖν τοῦτο ἐστίν, ὅτι ὥσπερ τῇ θαλάσσῃ ἐπιρρεῖ
τὰ ὕδατα, οὕτως ἐμοὶ οἱ πόνοι· ἀλλ' ἐκείνης μὲν ἴδιον τὸ
δέχεσθαι καὶ ἀναλίσκειν ἀνεπαισθήτως τὰ ἐπιχεόμενα
ῥεύματα· καὶ τῷ δράκοντι δὲ μὴ ἀποστρέφεσθαι τῶν ἐπακτ

τὴν πεπληρωμένην. ὅπου δὲ οὐκέτι τὸν ὅμοιον τρόπον δυνατὸν
φέρειν τὰ δεινά: Ὀλυμπιοδώρου:
νβ Τὰς νύκτας φησὶ προσεδόκων μικρὸν ἀπολαύσεσθαί μου τοῖς λο-
γισμοῖς, καὶ τῶν πόνων ἀνάπαυσιν ἔχειν. καὶ οὐδὲ ἐν αὐτῇ
με ἠρεμεῖν ἐᾷς. διαφόροις ὀνείρων ὄψεσιν ἐνταράττων.
εἰκὸς δὲ τὸν διάβολον φάσματά τινα φοβερὰ δεικνύντα,
ἐνδειματοῦν αὐτὸν καθ᾽ ὕπνους. ὁ δὲ μακάριος οὔπω
οὔπω πληροφορηθεὶς, ὡς ἐξῃτήθη ὑπὸ τοῦ διαβόλου,
οἴεται τὸν θεὸν καὶ ταῦτα καὶ τὰς βασάνους ἐπιφέρειν αὐτῷ:
νβ Πολυχρονίου: Ἐφ᾽ ἡσυχίας φησὶ γινόμενος, ἐνενό-
-ησα ὡς προσῆκον ἐστὶν ἐν ἀνάγκῃ γενναίως, καὶ μὴ καταπε-
-σεῖν τὸν λογισμόν. καὶ ἄλλοις ἑτέροις ἐν τοῖς τῶν παθῶν φι-
λοσοφεῖν παρῄνεσα ταῦτ᾽ ἔ

—θ— Ἀνοίσω δὲ πρὸς ἐμαυτὸν ἰδίᾳ λόγον τῇ κοίτῃ μου. ἐκφοβεῖς
δέ με ἐν ὑπνίοις, νγ καὶ ἐν ὁράμασί με καταπλήσσεις. ἀ-
παλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου· ἀπὸ δὲ θα-
νάτου τὰ ὀστᾶ μου: :: θ συμβαστάσει με
ἐν τῇ ἀδολεσχίᾳ μου ἡ κοίτη μου. :: ε καὶ θάνατ(ον)
διὰ τῶν ὀστέων μου: Τοῦ ἁγίου Ἰω(άννου):
—θ— Καὶ τοῦτο ἄρα τῆς τοῦ διαβόλου ἐνεργείας· οὐ γὰρ ὁ θεὸς
αὐτῷ ἐπῆγεν, ἀλλὰ ταῦτα τῆς τοῦ διαβόλου χειρὸς ἦν:
—θ— Διδύμου: Ἐμοῦ διὰ τῆς κοίτης προσδοκῶντος παρά-
κλησιν, ἵνα καὶ λόγον ἰδίᾳ ἀνοίσω πρὸς ἐμαυτόν· σὺ τοῖς ἐνυ-

-νίοις με ἐκφοβεῖς, καὶ ἐν ὁράμασί με καταπλήττεις. πολλοὶ μὲν
οὖν εἰς τὸν διάβολον ἀναφέρουσι τοὺς στίχους· ἐμοὶ οὐ καλῶς τὸ ἑξῆς.
ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν· τοῦτο γὰρ ἦν ἐκεῖνον ἐπέχου-
σα τοῦ διαβόλου. ὅμως δὲ εἰ καὶ πρὸς τὸν θεὸν λέγει, οἶδε
γὰρ ἐκεῖνον αὐτὸς ἐπιτρέψαντα, αὐτὸς αὐτὰ ἐνεργεῖ. εἰ δὲ
ὁ ἐξαιτησάμενος πολεμεῖ, ἐπίσταται ὅτι τοῦ συγχωρήσαντος
ἐστὶ τὰ πειρατικά: Ὀλυμπιοδώρου:

Πνεῦμα πάλιν τὴν ἀναπνοήν φησιν, ἧς τῆς ψυχῆς ἐπιμελοῦς νγ
παρὰ τοῦ κτίσαντος. ψυχούσῃ καὶ ζωογονούσῃ τὸ σῶμα·
περὶ αὐτὸ οἱονεὶ χαλεπῶς γῆρας τῷ βίῳ συναπαλλάττεται. εὔ-
χεται οὖν μεταστῆναι τοῦ βίου. ἀπαλλαγῆναί τε τῆς μάχης καὶ
ὅσων ὑπέμεινε διὰ τοῦ θανάτου. τοῦτο γὰρ ἐστὶ τὸ ἀπὸ θα-
νάτου, οὐδὲ γὰρ αἰώνιος εἰμί φησιν ἵνα καὶ μὴ ὑπομένω
τὰς ἀλγηδόνας, τὸν ὕστερον δὲ χρόνον ἐν ἀναπαύσει ζή-
σομαι. τὸ ὅμοιον καὶ μωϋσῆς ἱκετεύει λέγων· εἰ οὕτω σύ
μοι μέλλεις ποιεῖν; ἀπόκτεινόν με:

Οὕτω διδύμου ἐν τοῖς περὶ ψυχῆς:

Πνεῦμα καὶ ἄρχων θανάτου ὁ διάβολος ἐξ οὗ τὴν ψυχὴν καὶ νγ
τὰ ὀστᾶ τῆς ψυχῆς, δυνάμεις εὔχεται ἀπαλλαγῆναι:

Τοῦ ἁγίου ἰω: Μονονουχὶ λέγων ἄνελέ με φησίν· ἵ- νγ
να τὰ φθαρτικὰ ἁμαρτήματα, τὶ φθαρτικὸν ἔχει· ὑπὲρ τὴν συμ-
θανάτου ^καὶ φορὰν καὶ μείζονα κόλασιν: Ἀπὸ τοῦ ἀπαλλάξεις. ὁ δὲ
ἀκύλας καὶ ἐξείλετο φησὶν ἀγχόνην ἡ ψυχή μου:

) Οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι ἵνα μακροθυμήσω· ἀπόστα νη

ἀπ' ἐμοῦ· κενὸς γάρ μου ὁ βίος· τί γάρ ἐστιν ἄνθρωπος ὅτι ἐμεγά-
λυνας αὐτόν· ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτόν· ἢ ἐπισκοπὴν
αὐτοῦ ποιήσῃ ἕως πρωΐ: ∴ ἃ ἐκλέλοι-

πεν ματαιότης αἱ ἡμέραι μου: Οὐκ ἤδη κενὸν οὖν εἰ
θνητὸς ὢν θανάτου ἐγγύς: Ὀλυμπιοδώρου:

νσ Παῦσαι ἐπιπλήττων με φησὶν ὅτι ἐκλείπω καὶ οὐκέτι ἔχω
ἰσχύν. τοῦτο γάρ ἐστι τὸ κενός μου ὁ βίος. οὕτω καὶ ὁ Δαβὶδ
ηὔχετο. ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου· ἀπὸ γὰρ
τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον. ἔθος δὲ τοῖς ἁ-
γίοις, καὶ τὰς κατὰ συγχώρησιν θεοῦ γινομένας παρὰ τῶν
ἐχθρῶν πληγὰς ἐπὶ θεὸν αὐτὸν ἀναφέρειν. ὡς ἐπιλαμβάνοντος
μὲν παύειν· συγχωροῦντα δὲ τέως. οὐκ ἴσχυεν γὰρ ὁ διάβολος
τινὰ ἄγειν· σὺ παύων ἔχεις τὴν ἐξουσίαν: Διδύμου:

νσ Δύναται καὶ πρὸς τὸν διάβολον ταῦτα λέγεσθαι. ὅτι ἀπό-
στα μὴ λέγε πολέμει. οὐδὲν γὰρ ἐν τῷ ἡμετέρῳ βίῳ εὑ-
ρήσεις ἄξιον σαυτοῦ. ἢ καὶ ὅτι πέπαυσο ἐπιθέσθαι. λέ-
λυται γὰρ ταῖς πεισάσαις ἐγγὺς τὸ ἡμέτερον ζῆν. μονο-
νουχὶ λέγων αἰσχύνου ὅτι ἄχρι θανάτου πολεμεῖς πρὸς ἄνθρωπον,
μὴ ὀκνοῦντα ἀποθανεῖν: Πολυχρονίου:

νσ Παῦσαι με φησὶ πλήττων ἐν ματαιότητι ζῶντα, καὶ οὐδὲν
ἀσφαλὲς κεκτημένον: Ὀλυμπιοδώρου:

νσ Τί ἐστιν ἄνθρωπος φησίν. αὐτίκα οὐδέν. οὐ δὲ διὰ πλῆθος ἀ-
ξίας οὕτως αὐτὸν ἐμεγάλυνας, ὅτι καὶ προσέχειν ἀ-
ξιοῖς αὐτόν, καὶ ἐπισκέπτειν τὰ κατ' αὐτὸν μετὰ σπουδῆς

καθ' ἡμέραν.

καθ' ἡμέραν· τοῦτο γὰρ σημαίνει τὸ πρωΐ· ἢ καὶ ἄλλως τὸ τοιοῦτο
φησί· προσέχεις εἰς αὐτὸν καὶ ἐπισκοπὴν αὐτοῦ οὐ ποιῇ ἕως τοῦ
μέλλοντος αἰῶνος· οὕτω γὰρ ἐστὶν ἡ πρωΐα· ἵνα ἐνταῦθα παι-
δεύων αὐτόν, ἐκεῖ ἀναπαύσεις ἀξίως εἰς τρυφήν, ὅπερ ἐστὶ
καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρινεῖς : τοῦ ἁγίου Ἰω(άννου) :

Καὶ αὐτὸ τοῦτο τοῦ μεγάλου τεκμήριον τίθεται· ὅλως γὰρ ἄ- νε
ξιος ἐστί, φησί, τοῦ κολάζεσθαι ἄνθρωπος· ἢ τοῦ καὶ ἐν διανοίᾳ
εἶναι· αὐτὸς γάρ ἐστι (φησί) τὸ δύνασθαι ἀπειλεῖν, ὡς οὗτος τί τοῦ ἀνθρώπου
τεκμήριον ἐστί : Πολυχρονίου : Τί δέ φησιν
ἀκριβῶς τὰ κατ' αὐτὸν ἐξετάζεις, καὶ ἀκουόντων ἡμῶν,
πολλάκις περιϊσταμένων ἁμαρτήμασιν : τοῦ ἁγίου Ἰω(άννου) :

Τουτέστιν ἀναλαμβάνῃ αὐτόν :

Καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρινεῖς· [νϛ] ἕως τίνος οὐκ ἐᾷς με, οὐδὲ
προΐῃ με· ἕως ἂν καταπίω τὸν πτύελόν μου ἐν ὀδύνῃ· [νζ] εἰ
ἐγὼ ἥμαρτον, τί δύναμαί σοι πρᾶξαι· ὁ [νη] ἐπιστάμενος τὸν
νοῦν τῶν ἀνθρώπων : ∴ ἐφνηδίως ἐκδοκιμάζεις
αὐτόν. ∴ ὁ ἑβραῖος τί σοι ἔβλαψα φησί ∴

τοῦ ἁγίου Ἰω(άννου) : Ὅρα μεμιγμένα τὰ ῥήματα·
τὰ μὲν ἐπιεικείας, τὰ δὲ ὀδύνης· ἐμοὶ δοκεῖ κατὰ τὴν ἐπί-
τασιν τῶν ἀλγηδόνων ταῦτα λέγειν· τί ἐστιν εἰς ἀνάπαυσιν
κρινεῖς· ἀντὶ τοῦ ἀποθανεῖν κελεύεις καὶ ἀναπαύεσθαι :

Ὀλυμπιοδώρου : Ὁ ὑπὸ τοσούτων πειρασμῶν ταῦτα λέγει· νϛ
ἀντὶ τοῦ ἱκετεύων μαθεῖν μέχρι τίνος αὐτῷ τὰ τῶν ὀδυνῶν πα-
ρατείνεται· ἄρα μέχρις οὗ μηδὲ πτύειν μηδὲ φθέγγεσθαι ἐξῇ

τί σιωπηθῶ· παραπλήσια καὶ Δαυῒδ ἔλεγεν, ἕως πότε ὁ θεὸς
ὀργισθήσῃ εἰς τέλος· ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου· μνή-
σθητι τίς μου ἡ ὑπόστασις: Πολυχρονίου:
νϛ Ποιήτου φησὶ βελτίωτον γῆν ἐᾶσαί με ἐν ἀνέσει καὶ
τῶν ὀδυνῶν ἐκτὸς καταστῆσον· τοῦτο γὰρ οἶμαι τοῖς εὖ
φρονοῦσιν, τῶν ἐν τῷ βίῳ πάντων προτιμότερον· τὸ γὰρ
ἕως ἂν καταστῶ ἵνα ἥξῃ τὸ τέλος ἐμῶν, οἷόν ἐστι καὶ τὸ
τοῦ Δαυΐδ· ἄνες μοι ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν,
ϯ καὶ οὐκέτι οὐ μὴ ὑπάρξω: Ἐπειδή γε φησὶν εἰ μέ-
χρι θανάτου τὰ τῶν πόνων ἐκταθήσεταί μοι, τί ἔτι περιέξω
σιωπήσομαι· ἆρόν με εἰς τὴν διὰ σοῦ πεῖραν: Ὀλυμπιοδώρου:
νζ Ἀντὶ τοῦ εἰ δὲ καὶ ἥμαρτον, τί δύναμαί σοι ποιῆσαι· μάλιστα
μὲν γὰρ οὐδὲ ἡ ἐμὴ ἁμαρτία πρὸς σὲ ἀναφέρεται· τί δὲ καὶ ἔ-
χω πρᾶξαι εἰ μὴ εἰς τοὺς σοὺς ὀφθαλμοὺς οἰκτιρμοὺς κατα-
νζ φεύγειν: Τοῦ ἁγίου Ἰω(άννου): Ὅπερ οὖν τὸ τα-
πεινόν· ὥσπερ ἄν τις πένης καὶ οὐδὲν ἔχων καταφυγῶν ἀπαντ(ᾷ)·
λέγει τῷ δεδανεικότι τί δύναμαί σοι ποιῆσαι:
νζ Εἰ ἄκων ἥμαρτον, ἀγνοῶ τί ποιήσω πρὸς ἴασιν :-
νη Ὀλυμπιοδώρου: Οἶδα φησὶν ὦ δέσποτα ὅτι ταῖς
ἐννοίαις ἐμβαλεύων, ὡς πολλοὶ πολλάκις, εἰς ἐμὲ τὸν σὸν
ὁρῶντες θεράποντα, ταῦτα πάσχοντα καὶ περιορώμενον,
βλασφημοῦσι τὸ σὸν ὄνομα. καὶ σοὶ γέγονα τινὰ φορτίον καὶ
βαρέων ῥημάτων καὶ βλασφημίας αἴτιος. κατατεθεικὼς τὴν
σὴν αἰτίαν καταβοήσεως φησίν:

διατί ἔθου με κατεντευκτήν σου· εἰμὶ δὲ ἐπὶ σοὶ φορτίον.
καὶ διατί οὐκ ἐποιήσω λήθην τῆς ἀνομίας μου, καὶ καθα-
ρισμὸν τῆς ἁμαρτίας μου· νυνὶ δὲ εἰς γῆν ἀπελεύσομαι·
ὀρθρίζων δὲ οὐκέτι εἰμί: Ὀλυμπιοδώρου:

Καὶ ταῦτα πλήρεις ἱκετείας τὰ ῥήματα καὶ προσποιούμενος τὴν νθ
αἰτίαν μαθεῖν τῶν ἐτασμῶν· ὅπερ νοοῦς οὕτως· οὐκ εἶ φησί
φιλάνθρωπος, οὐχ ἱκανὸς συγχωρεῖν ἁμαρτίας, καὶ καθαρὸν δει-
κνύναι διὰ πλῆθος οἰκτιρμῶν τὸν ἡμαρτηκότα· διατί μοι
κἀγὼ τῆς σῆς ἀπολαύω χρηστότητος: Τοῦ αὐτοῦ:

Ἴσως γάρ φησί μετανοήσω τυχὼν συγγνώμης· ἀλλὰ καταξαί- νθ
νομαι ταῖς σφοδροτάταις ἀλγηδόσιν, ἕως εἰς γῆν ἀπελεύσο-
μαι· εἰ γὰρ ἐπιτελευτήσω ἐν ταῖς βασάνοις, οὐκέτι ἐπανελεύ-
σομαι εἰς μετάνοιαν: Τοῦ ἁγίου Ἰω:

Εἰ καὶ μὴ δι' ἐμέ, ἀλλὰ διὰ σαυτόν· διατί μέχρις ὧν οὐ κατευ- νθ
φρόνησας τῆς εὐτελείας μου: Ἴσως φησί τὰ
κατ' ἐμὲ ἴσως, ὡς ἀσεβήσαντα ἔκρινας:

Πολυχρονίου: Καὶ τῷ μεγέθει φησί τῆς παρ-
ρησίας φορτικὸς γίνομαι, μείζονα ἢ κατὰ τὴν φύσιν φθεγ-
γόμενος πρὸς τὸν ἐμαυτοῦ δεσπότην: Πολυχρονίου:

Ὅτου δὲ ἕνεκεν φησί μὴ παρεῖς τὴν ἐξέτασιν· φιλανθρωπίας νθ
ὑπερεῖδες τὰ πταίσματα, ἢ καὶ παντάπασιν ἀφανεῖς πε-
ποίηκας· ἀλλ' ὡς πρὸς ἴσον ἐξεταζόμενος, εὐθύνας ἐ-
πράξω τῶν πεπλημμελημένων: Ὀλυμπιοδώρου:

Καὶ τὸ ὀλιγοχρόνιον τῆς ζωῆς, ἔπληξε τῇ ἱκετείᾳ· ξ

πανταχόθεν εἰς ὄλεθρον τὸν θεὸν ἐπικαλούμενος. τὸ δὲ ὀρθρίζων
οὐκέτι εἰμί· τοιοῦτον ὑποβάλλει νοῦν. οὐ γάρ ἐστι φησὶν ἀθρόας
ἀποθανόντα ὡς ἀφ' ὕπνου πάλιν ὀρθρίζειν, καὶ τὰς μετὰ αὐτὸν
ἐπὶ τοῦ βίου ποιήσασθαι διατριβάς: Πολυχρονίου:

ξξ Καὶ ταῦτα φησὶ προσκαίρων ἡμῶν ὄντων καὶ μικρῶν ὕστερον
διαφθειρομένων, ἵνα εἴδῃ ὅτι οὐδὲ τὸ τελευταῖον τοῦ βίου
τιμωρίας αὐτὸς κατέχεται:

+

+

+ προθεωρία· κεφαλαίου ϛ̅

+

Εἰς ἀντιλογίαν τῶν νῦν εἰρημένων ὑπὸ τοῦ Ἰὼβ καθιστάμενος
ὁ Βαλδάδ, μέμφεται μὲν αὐτὸν ὡς πολυρρήμονα·
εἰς τοὺς αὐτοὺς δὲ τῷ Ἐλιφὰζ καὶ αὐτὸς ἐξοκείλας τοὺς λέ-
γοντας ταῖς ἁμαρτίαις τὰς κακώσεις ἀκολουθεῖν ὑπολαμ-
βάνω. ἐπεὶ δὲ ἤδει ἀντιπίπτοντα αὐτῷ, ὅτι εἰ καὶ

ὁ ἰὼβ ἥμαρτε, ἐπεὶ οἱ παῖδες ἐτιμωρήθησαν. προκα-
ταλαμβάνει καὶ φησίν, ὅτι καὶ αὐτοὶ δι' ἁμαρτίας πεπόν-
θασιν· καὶ παραινεῖ μὲν τῷ δικαίῳ θεὸν ἱκετεύειν· ἐπι-
φέρει δὲ διὰ φυσικῶν παραδειγμάτων αὐτὸν πείθειν,
ὡς δι' ἁμαρτίας ταῦτα αἱ κολάσεις ἐπιφέρονται· πέπονθε
δὲ καὶ αὐτὸς τὴν ὁμοίαν πληγὴν τῷ ἐλιφάζ· τὴν ὑπὲρ θεοῦ
ἐπιθεὶς καὶ αὐτὸς συνηγορίαν ἀναδεξάμενος. ἢ οἶμαι
διὰ τοῦτο τῶν παίδων ἐμνήσθη· ἢ ὡς μηδὲν ἔχων φανερὸν
ἁμάρτημα λέγειν κατὰ τοῦ ἰὼβ, εἰς τοὺς παῖδας τὴν αἰτίαν
μετήγαγεν· πλὴν οὐδὲ αὐτὸν ἀθῷον ἀφῆκεν, πειρώμενος
δεικνύναι μὴ τοῖς εὐσεβέσιν, ἀλλὰ τοῖς ἀδίκοις τὰς κο-
λάσεις ἀκολουθεῖν: +

+

+ Πρώτη τοῦ βαλδὰδ πρὸς τὸν ἰὼβ ἀντίρρησις :-

κεφάλαιον ς̄ :

+

ξα Ὑπολαβὼν δὲ βαλδὰδ ὁ σαυχίτης λέγει, μβ μέχρι τίνος,
λαλήσεις ταῦτα, πνεῦμα πολυρῆμον τοῦ στόματός σου· μὴ
ὁ κς̄ ἀδικήσει κρίνων· ἢ ξς ὁ τὰ πάντα ποιήσας ταράξει τὸ

› δίκαιον: ∴ θ βαρύτατον· ∴ α σκληρόν

σπάταλον ἀνου δηλοῖ: Ὀλυμπιοδώρου:

ξα Εἰς τοὺς ὁμοίους καὶ ὁ βαλδὰδ τῷ ἐλιφὰζ ἐξενήνοχε λόγους, ταῖς ἁμαρτίαις τὰς κακώσεις, εὐθὺς κατακολουθεῖν ὑπο-

ξβ λαμβάνων: Παύσει φησὶ τῷ πλήθει τῶν λόγων σε νικήσειν οἰόμενος: Διδύμου: –

ξβ Τῆς αὐτῆς τῷ φθάσαντι σκαλήψει ὑπάρχων καὶ οὗτος· τῆς ὅτι δι' ἁμαρτίας τὰ κακωτικὰ πάντως ἐπιπέμπεται· καὶ κοινωνῶν τῷ ἑτέρῳ φίλῳ κατὰ μίαν αἰτίαν τίθεσθαι. τῶν ἐπιπόνων ποιεῖται τοῦ ἰὼβ τοὺς λόγους· ἔδει δὲ λογίζεσθαι. ὅτι ὅσα κακώσεως εἰσίν, οὐ μόνοις φαύλοις, ἀλλὰ καὶ σπου-δαίοις συμβαίνει· ἀδιάφορα γάρ. καὶ ἔτι μᾶλλον ἔδει ἐννοῆσαι ὅτι θαυμαστότερος ὁ δίκαιος ἐστὶν ὑπομένων θλίψεις καὶ πόνους: Πολυχρονίου: Μὴ ἐνδέχεται φησὶ τὸν θεὸν ἄδικον τῷ κατά τινος ἐξενέγκαι ψῆφον· ὡς γὰρ ὁ-μολογουμένου τοῦ παρὰ θεοῦ τὰς πληγὰς ἐνηνέχθαι, οἱ φίλοι τὰς κατηγορίας ἐποιοῦντο: Τοῦ αὐτοῦ:

ξγ Οὐ γὰρ φιλανθρωπία τῷ ἀρχῇ παραγγελῶν, οὐκ ἔστι τινὰ πώποτε παρὰ τὸ δίκαιον ἐκόλασεν· καὶ ὡς ἐρωτῶντος τοῦ ἰώβ· πῶς οὖν οὕτω βαρεῖαν ἤνεγκε τὴν κατ' ἐμοῦ πληγὴν ὀξέως ἐπάγει· εἰ υἱοί σου ἥμαρτον ἐναντίον αὐτοῦ καὶ τὰ ἑξῆς: Τοῦ ἁγίου ἰω:

ξγ Οὐχ ὁρᾷς πόση δικαιοσύνη φησὶν ἐν τῇ κτίσει, πόση εὐ-

› ταξία: Εἰ οἱ υἱοί σου ἥμαρτον ἐναν-

› τίον αὐτοῦ· ἀπέστειλεν ἐν χειρὶ ἀνομίας αὐτῶν.

σὺ δὲ ὄρθριζε πρὸς κύριον παντοκράτορα δεόμενος· εἰ
καθαρὸς εἶ καὶ ἀληθινός, δεήσεως ἐπακούσεταί σου:
Ὀλυμπιοδώρου : Ἐπειδὴ μὴ ἔχῃ αὐτὸν ἐλέγξαι ξδ
ἡμαρτηκότα, εἰς τοὺς υἱοὺς τρέπεται: Διδύμου:
Σύγχει καὶ οὗτος τὸν λόγον, καὶ ἐπιφέρεται τοῖς πρόσκα- ξδ
σι λέγων· ὅτι εἰ καὶ μὴ αὐτὸς ἥμαρτες, ἀλλὰ οἱ υἱοί σου
προνοήσαντες ὅτι ἔχεις ὑπὲρ ἑτέρου οὐκ ἂν κολάζοιτο.
ἀλλὰ καὶ τοῦτο γοῦν ὑπέχουσιν· ὅτι διὰ τὰς ἰδίας ἁμαρ-
τίας, ἀπεστάλη ἐν χειρὶ αὐτῶν ἀνομίᾳ, αἰνιττόμενος τὸ
τῆς πτώσεως, καθ' ἣν τὰ τέκνα αὐτοῦ ἀπώλοντο:
Πολυχρονίου: Πάντων φησὶ πλημμεληκότων ξδ
δίκην, παρὰ τῶν σῶν παίδων εἰσεπράξατο τὸν θάνατον:
Ὀλυμπιοδώρου: Τουτέστι κατὰ τὰς ἑαυτῶν ξε
πράξεις ἀπέλαβον: Τοῦ αὐτοῦ:
Συμβουλεύω σοι φησί, δεήθητι τοῦ θεοῦ μετὰ σπουδῆς. ξε
παντὸς προτιμοτέραν τὴν ἱκετείαν ποιούμενος· τὸ γὰρ
ὄρθριζε τοῦτο δηλοῖ· καὶ εἰ ὄντως ἀληθινὸς εἶ καὶ ἀπρό-
σπλαστος, ἀποκαταστήσει σοι βίον, καὶ διαιτητὴν πρέ-
ποντα δικαίῳ· ἵν' οὕτως εὖ πράξῃς ὡς ὀλίγα νομισθῆ-
ναι σου τὰ πρότερον ἀγαθά· καταποιεῖ δὲ ὡς οἴεται ὁ
Βαλδάδ, ἐν μέρει εὐλογίας κεῖσθαι τοῖς δικαίοις
τὸν ἐν τῷ βίῳ φθορῶν τὴν ἀπόλαυσιν: Πολυχρονίου:
Ἴδε ἐπὶ ταῖς ἑαυτοῦ φησὶ συνεχέσι πληγαῖς, ἐπι- ξς
μηδῶς ἐξιλέωσαι τὸ θεῖον· καὶ εἰ τὰ τῆς παλαιᾶς σου.

εὐσεβείας μὴ μάχει προσχήματος ἦν· ὀρθῷ δὲ λογισμῷ
ταύτην κρινεῖς εὐμενὴς γινόμενος, τάχιστά σε εἰς τὴν προ-
τέραν εὐημερίαν ἄξει, ἰσοστάσιον τοῖς ὑπὲρ ἀρετῆς πόνοις
τὴν ἀμοιβὴν δείξων: τοῦ ἁγίου Ἰω(άννου):

Εἰ καθαρὸς εἶ, τίνος ἕνεκα ταῦτα πάσχεις· οὐκοῦν ἴσθι ὅτι καὶ
καθαρὸν ὄντα ταῦτα πάσχειν ἔστιν· οὐ πάντως δὲ τοῦ καθα-
-ροῦ καὶ ἀληθινοῦ τῆς πίστεως ἐκβαίνουσιν· ἔστι γὰρ ὅτε
καὶ ἀσύμφορα αὐτῷ:

Ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης· ἔσται οὖν τὰ μὲν
πρῶτά σου ὀλίγα· τὰ δὲ ἔσχατά σου ἀμύθητα· ἐπερώτησον
γὰρ γενεὰν πρώτην· ἐξιχνίασον δὲ κατὰ γένος πατέρων· χθι-
ζοὶ γάρ ἐσμεν καὶ οὐκ οἴδαμεν: :· Θ(εοῦ) εὐεργεσίαι·
:· ἀγαθὰ τουτέστι: Πολυχρονίου:

Τί φησι λέγω ὅτι τὸν βίον σοι τὸν ἀπολομένον ἀξιοθαυμαστὸν γενή-
σεται· ἀποκρύψει τὰ φάσματα τῶν παρακεχωρηθησομένων
ἡ πλειονότης τοῦ Θ(εο)ῦ σοι δαψιλῶς τῆς παρούσης ἐνδείας
τοῦ μισθοῦ δωρουμένου: τοῦ ἁγίου Ἰω(άννου):

Τουτέστι δυνατόν σοι ἐν μείζονι ποιῆσαι εὐπραγίᾳ τῆς προ-
τέρας: Ὀλυμπιοδώρου: Ἐπιζήτησον φησὶ τὰ πα-
λαιότερα, καὶ ἀνερεύνησον τὰ ὑπὸ τῶν πατέρων· ἡμεῖς γὰρ
ἐχθὲς καὶ πρὸ ὀλίγου μὲν γεγόναμεν· οἱ δὲ πατέρες φησί σε
διδάξουσι, καὶ διὰ τῶν ἐλάλησαν, καὶ διὰ τῶν ἔπραξαν· τί δὲ
διδάξουσιν, εὔδηλον ὅτι διὰ τὰς ἁμαρτίας αἱ τιμωρίαι. καὶ
ὡς οὐ δυνατὸν εὐθηνίαν ἀδίκων κρατύνεσθαι· εἰ καὶ τὸν

τῶν δικαίων ἐν δυσκολίαις γενομένων ἐξηγάσθησαν. τῆς γὰρ παρὰ τοῦ ἑρμηνείας ἀξιωθέντες, λαμπροὶ παρὰ πᾶσι γεγόνασι: τοῦ ἁγίου ἰω:

Ὅτι δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπειδὴ ἡμεῖς ὀλιγοχρόνιοι ἐσμὲν τοὺς γεγηρακότας ἐρωτήσωμεν, καὶ αὐτοὶ ἀπαγγελοῦσιν. ὅτι ὥσπερ ἀδύνατον, ἄνευ ὕδατος χλωρὸν ἀναθάλλειν· οὕτως ἄνευ δικαιοσύνης διαμεῖναι, τοιοῦτόν φησιν· οἱ δὲ ἀσεβεῖς διαμένουσιν: τῶν ἀπὸ ἀβραὰμ ὅτι πονέσαντες ἐμακαρίσθησαν: Ὀλυμπιοδώρου:

Ἡμεῖς γὰρ οὐκ ἀξιόχρεω, δίχα τῆς μνήμης τῶν πρὸ ταῦτα πιστώσασθαι, ὡς μηδὲν δύνασθαι γνῶναι τὸ ἀκριβές:

Διδύμου: Σαφῶς δὲ ἀκούειν τὸ χθιζοὶ ἐσμὲν γάρ· ὅτι ὡς πρὸς τὴν ἀνθρωπίνην ζωὴν ἐστὶν τοῦτό φησι· μάλιστα ὅτι λέγει· ἐπερώτησον γενεὰν πρώτην. σκιὰ γὰρ ἡμῶν ὁ βίος ἐστὶν ἐπὶ τῆς γῆς ἀντὶ τοῦ βίου τοῦ ἐπὶ τῆς γῆς φησίν, ὅτι σκιὰ τυγχάνει: Πολυχρονίου:

Ἡμεῖς γάρ φησιν οὐ πρὸ πολλοῦ γεγονότες καὶ μικρὸν ὕστερον οὐκ ἐσόμενοι, ἴσως οὐκ ἀξιόπιστοι δίχα τῆς τῶν ἀρχαίων μνήμης, τὰ τοιαῦτα διηγούμενοι:

Σκιὰ γὰρ ἡμῶν ἐστιν ὁ βίος ἐπὶ τῆς γῆς· ἢ οὐχ οὗτοί σε διδάξουσι καὶ ἀναγγελοῦσι· καὶ ἐκ καρδίας ἐξάξουσι ῥήματα. μὴ θάλλει πάπυρος ἄνευ ὕδατος· ἢ ὑψωθήσεται βούτομον ἄνευ ποτοῦ; ἔτι ὂν ἐπὶ ῥίζης: οἱ τὸ αἱ ἡμέραι, ὡς μὴ δύνασθαι γνῶναι τὸ ἀκριβές:

∴ ζωή ἐστιν σοφίας ∴ ∴ ἀντὶ τοῦ ἀληθινά:

∴ ᾱ ε̄ ἡ πληθυνθήσεται ἔτος ∴ θ̄ ἀρχ.

ς Διδύμου: Δίκαιον ἐκλαβεῖν σκιὰν εἶναι καὶ τὸν βίον τοῦ ἀνθρώπου κατὰ τὸ εὔσειστον καὶ εὐπαράγωγον:

ϛζ Τοῦ αὐτοῦ: Ὁ τῶν παλαιοτέρων πιστεύεσθαι τὰ καθ' ἑαυτὸν οὕτως βουλόμενος ταῦτά φησιν, ὡς ἂν πλείστοις παρατυχόντων πεπιστευκώς, οἷς οὐ πάντες εἶδον καὶ αὐτὸν παρέτυχον: Καὶ μετ' ὀλίγα: Ὅτι δὲ ἐκ καρδίας οἱ λογισμοὶ τὰ ῥήματα παραπέμπουσιν, αὐτοῦ ἐναντίου ὁ σωτὴρ φησίν, ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί: Πολυχρονίου:

Οἱ δὲ πρόγονοι φησὶν ἐν ἀρετῇ βεβιωκότες, καὶ τῆς ἑαυτῶν εὐσεβείας μέγιστα καταλιμπάνοντες, μνημεῖα ἀξιοῦσι πρὸς παίδευσιν τοῖς νουνεχέσιν: Ὀλυμπιοδώρου:

Ὥσπερ οὖν φησιν οὐκ ἐνδέχεται πάπυρον ἢ βούτομον, ἢ αὐξηθῆναι ἢ θηλύξεσθαι τῆς τοῦ ὕδατος ἰκμάδος μὴ ἀπολαύοντα· ἀλλὰ καὶ πᾶσα βοτάνη μὴ ἀρδευομένη ξηραίνεται. οὕτως ἄνευ εὐσεβείας ἀμήχανον ἀνθρώπῳ εὐθηνίαν διαμεῖναι:

ξη Διδύμου: Οὕτως ἀδύνατον μὴ δεχόμενον ἐν διανοίᾳ ὠφέλειαν τῶν κρειττόνων, κατὰ τὸ ἐπ προσεγγίζειν ὠφέλιμον. δύναται δὲ καὶ περὶ τῶν ἀνθρώπων πεπλημμεληκότων λέγειν· ὅτι καθάπερ ὑπὸ ὕδατος ὑπὸ τῆς προνοίας ταῦτα ἀρδεύεται· εἰ μὴ ἐπιούσης αὐτά, ἔφθαρται καὶ εὐμεγέθη ἕξει τὴν διάλυσιν:

Ἀντὶ τοῦ καὶ πρὸ τοῦ πυκασθῆναι:

Καὶ οὐ μὴ πυκασθῇ· πρὸ τοῦ ποιεῖν παντελῶς βοτάνη ξηρανθή-
σεται· οὕτω τοίνυν ἔσται τὰ ἔσχατα πάντων τῶν ἐπιλανθα-
νομένων τοῦ κυρίου· ἐλπὶς γὰρ ἀσεβοῦς ἀπολεῖται· ἀοίκητος
γὰρ αὐτοῦ ἔσται ὁ βίος :: οὐδὲ ξηραν-
θήσεται τὰ ἔτι αὐτοῦ ἐν ὥρᾳ αὐτοῦ· οὐ πυκνασθήσεται.
:: τουτέστι ξηραίνεται: Διδύμου:

Λέγει οὖν ὅτι καὶ μικρὸν καὶ μέγα τῶν ἐν τῷ βίῳ, ὑπὸ
πρόνοιαν ἐστὶν ξηραινόμενον εἰ μὴ αὐτῆς ἐπιστεύοι:

Ὀλυμπιοδώρου: Ἵνα εἴπῃ ὅτι πανέστιος ξθ
ἀπόλλυται· κἂν γὰρ ὡς οἷόν τε ἀσφαλῶς δόξῃ φησὶ πράτ-
τειν καὶ ἑδραίως τὰ κατ' ἑαυτὸν διατίθεσθαι· ἐπιλά-
θεται δὲ αὐτοῦ ὁ θεός. ἀντὶ τοῦ παντελῶς αὐτοῦ πει-
ράξεται οὐ μὴ ὑπομείνῃ: τοῦ αὐτοῦ:

Ὥσπερ ἡ τῶν ἀσεβῶν ἐλπίς, οὐ περὶ ὑφεστηκότα γίνεται. ζιο
ἡ γὰρ ἐλπίς, οὐδὲν ἕτερον ἐστὶ κατὰ λόγον, ἡ προσδοκία
ἀγαθῶν. καὶ ὁ φοβούμενος δὲ προσδοκᾷ, ἀλλ' οὐ κἀγαθά.
κακῶν γὰρ προσδοκία ἐστὶν ὁ φόβος. ἀγαθῶν δὲ ἡ ἐλπίς.
ἐπεὶ οὖν οὐχ ὑφεστηκότα πράγματα οἱ ἀσεβεῖς προσδο-
κῶσιν, ἀπόλλυται αὐτῶν ἡ ἐλπίς· ὡς γὰρ μαινόμενοι τοῖς
ἡδέσι χρῶνται· καὶ ἐν τούτῳ ματαίαν ἔχουσιν ἐλπίδα:
ἴς γὰρ τῶν δαιμόνων τὸν βίον ἤλπισεν : Διδύμου: ζιο

Πρὸς τὸ αἰσθητὸν τοῦτον οὐ πάντως ἐστὶν ἀληθές· δῆλον
δέ ἐστιν, ὅτι οὐ τοὺς τῶν λόγους εἰς ἔργα μεταβαλόντων· πλούσιοι

οἰκίαν οἰκοδομεῖ· αὕτη δέ ἐστιν ἡ ἀρετή, ἣν ὁ ἁμαρτωλὸς
οὐδέποτε ἕξει· τὴν οἰκίαν ταύτην ἀοίκητον· ἐπεὶ γὰρ τοῦ δικαίου
μένειν ἐν τῇ ἑαυτοῦ ἀρετῇ· ἡ δικαιοσύνη γὰρ αὐτοῦ μένει
εἰς τὸν αἰῶνα :
ἀράχνη δὲ αὐτοῦ ἀποβήσεται ἡ σκηνή· ἐὰν ὑπερείσῃ τὴν
οἰκίαν αὐτοῦ, οὐ μὴ στῇ· ἐπιλαβομένου δὲ αὐτοῦ οὐ μὴ ὑ-
πομείνῃ· ὑγρὸς γάρ ἐστιν ὑπὸ ἡλίου· καὶ ἐκ σαπρίας αὐ-
τοῦ ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται :
α' σ' ἡ πεποίθησις· σ' ἐρειστήσεται ἐπ' αὐτήν
καὶ οὐ στήσεται· α' ἄικμος ἐστιν εἰς πρόσωπον ἡλίου·
α' ἐμπεσεῖται, θ' παραφυάς· σ' κλάδος :
θ Διδύμου : Ὥσπερ ἀράχνη ποικιλίαν ἐπιδείκνυται
ἐξ ὑφάσματος λεπτοῦ κατασκευασμένη, οὕτω ἐάσα
διαλύεται ἐπὶ ψηλαφῶντός τινος· τὰ τῶν φαύλων οὖν ἔργα
καὶ ἡ κατασκευὴ τῆς πανουργίας, ἀράχνῃ ἔοικεν οὐχ ὑ-
ϛο φισταμένῃ: κἂν ἀποπληρῶται αὐτὴ χρήμασιν :
γο Διδύμου : Ἀράχνης γὰρ ἡ τῶν φαύλων ἐπίνοια
σκηνὴ ὀνομαζομένη, καταπίπτουσα εὐάλωτός ἐστιν οὕτως·
γο ὡς μηδὲ δοκεῖν γεγονέναι ποτέ : Ὥσπερ ἡ ἀρά-
χνη οὐχ ὑφίσταται ἁφήν· Ὀλυμπιοδώρου :
ō Διαλυθήσεται φησὶν ὥσπερ κηρὸς ὑπὸ τοῦ ἡλίου τῆς δι-
καιοσύνης· ὅμοιον δὲ τὸ ὡς τήκεται κηρὸς ἀπὸ προ-
σώπου πυρός, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προ-
σώπου τοῦ θεοῦ· ἀλλὰ μὴν καὶ αἱ παραφυάδες αὐτοῦ σαπ-

σονται· τοῦτο γάρ φησι τὸ ἐκ λαγνείας αὐτοῦ ὁ ἐκδαπανῶν

αὐτοῦ ἐξελεύσεται· ἔοικε δὲ διὰ τῶν ἐκδαπανῶν τὴν

ἀπώλειαν τῶν παίδων τοῦ Ἰὼβ αἰνίττεσθαι: ἄλλως:

Ἐν ὅσῳ γάρ ἐστιν ὑετὸς ὑπὸ ἡλίου, ὅ ἐστιν ἀμέτοχος ἡλίου,

αὔξει μὲν ἐκ τῆς ἰλύος· ὑπομεῖναι δὲ ἥλιον οὐ δύναται·

ἀλλ' οἱονεὶ σήπεται:

οα

Ἐπὶ συσωματώσει λίθων κοιμᾶται· ἐν δὲ μέσῳ χαλίκων

ζήσεται· ἐὰν δὲ καὶ καταπίῃ ὁ τόπος ψεύσεται αὐτόν· οὐ-

χ ἑώρακας τοιαῦτα· ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη·

οβ ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει· ογ ὁ γὰρ κύριος οὐ μὴ ἀπο-

ποιήσηται τὸν ἄκακον: Ὀλυμπιοδώρου:

Τουτέστι τοῖς προσκόμμασι καὶ τοῖς σκανδάλοις ἐπανα- οδ

παύεται κατὰ τὸ εἰρημένον· ὁ ἐμποιήσας τῷ λα-

-ῷ μου καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε· τὸ δὲ

ἐὰν καὶ καταπίῃ αὐτὸ τοῦ ἐκριζωθῇ, ὅπερ ἐστὶν ἐὰν

καὶ βεβαίως ἑστάναι δοκῇ, ὁ τόπος ψεύσεται αὐτόν·

τουτέστιν ἀφανὴς γίνεται καὶ ἀνεπίγνωστος:

Διδύμου: Οἶκος ἐστὶ λίθων συνθέσεις κατὰ

τέχνην πρὸς ἑτέροις ἕνωσιν ἔχων· τοιοῦτον δὲ ἡ ἀ-

ρετὴ καὶ ἡ ἀλήθεια καὶ αὐτὴ ἡ θεολογία τοῦ θεοῦ· ἐσκορ-

πισμένου δέ τι ἐστὶν ἡ συμφορὰ τῶν λίθων, καὶ μίξις

τῶν χαλίκων παραπλήσιον τῇ κακίᾳ τῇ μὴ ἐχούσῃ ἕνω-

σιν, ἀλλ' ἀταξίαν· ὁ ἀσεβὴς οὖν ἀντὶ τοῦ τὴν οἰκοδομὴν

ἐν οἴκῳ κακίας ἔχειν διαπεπλεγμένος, κατὰ τοὺς ἔξω τῆς

οἰκοδομῆς λίθους· οἳ οὐ καθαρμόζονται τῇ οἰκοδομῇ τοῦ

ξϛ πύργου κατὰ τὸν ποιμένα: Δύσχερον μὲν τὸ

τεμνόμενον καταλιμπάνειν μνήμην· χρέος δὲ οὐδεμία:

ἢ τίς οἱ τῶν κειμένων ἀμοιβὴ οὐκ ἀληθῶς ὁ λόγος

ὑπαίτεται τῶν ἀσεβῶν τὴν ἀπώλειαν:

ο Ἀρέσκω ὦ Ἰὼβ ταῦτά σε λανθάνει τὰ παρ' αὐτοῦ εἰς γνῶσιν

προκείμενα: Ὀλυμπιοδώρου:

οβ Ἄλλος παρὰ τὸν ἀσεβῆ πάντως ἂν ὁ εὐσεβὴς εἴη. λέγει

οὖν ὅτι τὸν εὐσεβῆ, κἂν ἔν τινι δυσπραγίᾳ γίνεται, οὐ

περιόψεται καθάπερ ὁ θεός: Διδύμου:

Ἄκακον ἐνταῦθα λέγει τὸν μὴ ἔχοντα κακίαν, οὐ τὸν εὐηθῆ.

ἀμφότερα γὰρ τὸ ὄνομα σημαίνει. ὅταν γὰρ λέγῃ

περὶ τῶν αἱρετικῶν, ὅτι διὰ τῆς χρηστολογίας καὶ εὐλο-

γίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. ἀκάκους λέ-

γει τοὺς εὐηθεῖς, τοὺς βραδεῖς τὴν νόησιν. καὶ πάλιν ἄ-

κακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι ὅπερ τοὺς δικαίους σημαίνει:

Πολυχρονίου: Τὸν μὲν οὖν παράνομον φησὶν ὁ θεὸς,

οὐ τιμωρεῖται. εἰ δέ τις εἴη εὐσεβής, καὶ τῆς καθ' ἑκάστην

βλάβης. εἰ καὶ ἐν ἐσχάτοις ἐξελασθείη πλείστης γοῦν

αὐτῷ τῆς θείας μεταδίδωσι προνοίας:

Πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται· ἀληθινῶν δὲ στόμα

ἐμπλήσει γέλωτος· τὰ δὲ χείλη αὐτῶν ἐξομολογήσεως·

οἱ δὲ ἐχθροὶ αὐτῶν ἐνδύσονται αἰσχύνην· δίαιτα δὲ ἀ-

σεβοῦς οὐκ ἔσται: ϛ οὐδὲ ὀρέξει χεῖρα

κακούργοις· ∴ δῆ(λον) τῆς ἀγαλλιάσεως· ∴ ἀθ(ρ)

ἀγαλματικοῦ· ::: ἡ σκέπη. ἡ ἐ(πι)σκοπή· ἡ μνήμη αὐτῶν

ὀλεῖται: Πολυχρονίου:

Τῶν μὲν φησὶν ἀσεβῶν οὐδὲ .τοὺς

γνησίᾳ τῇ διαθέσει ὥσπερ βουλεύτας· εὐφροσύνης ἐμπιπλησιν· δ

ἵνα εἴπῃ ὅτι πάλαι μὲν ἐσχηματίζου τὴν ἀρετήν, διαλούπ

ὁ θεὸς καταφανοὺς τῆς ὑποκρίσεως, δίκην ἐπράξατο· οὐδὲ

τὰς δοκούσας τιμὰς εἶναι προσιέμενος: Διδύμου:

Ἀληθινός ἐστιν ἄκακος ὁ μὴ ὑποκρινόμενος, μηδὲ ἐπι- ε

μορφιζόμενος τὴν ἀρετήν, ὁ μὴ ὑποκρινόμενος σω-

φροσύνην· ἀλλὰ σώφρον, ὅτι τὸ δίκαιον δικαίως δι-

ώκων· τούτων οὖν τῶν ἀληθινῶν ἐμπλήσει γέλωτος

τὸ στόμα ὁ θεός: Εὐαγρίου:

Αὐτὸ τοῦ νοῦ ἐμπλήσει γνώσεως: Πολυχρονίου: ε

Ὠδῖνας ἀληθῶς πολεμίων κατά τινα ἐπιβουλήν, τήν τε

γῆν διωσάντων, καὶ ληϊσαμένων τὰ προσόντα:

Τῆς ἐπ' αὐτῆς κλοπῆς ἐπιστάντος:

Τῶν δὲ παρανόμων φησὶ καὶ τὸ μνημόσυνον ἀπολεῖται:

†

+

## + προθεωρεία κεφα(λαίου) ξ :

+

Τοῦ Βαλδὰδ εἰρηκότος, μὴ ὁ κς ἀδικήσει κρίνων· ἢ ὁ τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον· συντίθεται καὶ ὁ Ἰὼβ τῇ τοῦ θῦ δικαιοκρισίᾳ φάσκων· ἐπ' ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν· ἀποφηνάμενος δὲ, μετὰ πολλῆς τῆς πληροφορίας δίκαιον τὸν θν φησὶν, ὅτι καὶ σοφός ἐστι καὶ δυνατὸς καὶ μέγας· καὶ χαλεπὸν παντὶ πρὸς θν ἀντιτείνειν· εἶτα κατασκευάζει διὰ πλειόνων τοῦ θῦ τὸ δυνατὸν καὶ ἀκατάληπτον καὶ φησὶν ὅτι οὐδεὶς δίκαιος παρὰ θῷ εἰ μὴ κατὰ χάριν· καὶ ὅτι οὐδὲν μὲν συνοίδεν ἑαυτῷ πλὴν οὐκ ἐν τούτῳ δεδικαίωται· εἶτα τοῦ βίου τὸ ὀλιγοχρόνιον εἰς ἱκετείαν προβάλλεται καὶ φησίν· ὅτι εἰ ὡς ἀσεβὴς κολάζομαι, ἄμεινον μοι ἦν τὸ ἀποθανεῖν. ὑπὸ δὲ τῆς πολλῆς περὶ θν ἀγάπης τὸν ἐμπαθῆ φόβον ὑπερβάς, ἐπειδὴ μὴ πείθει τοὺς φίλους ὅτι οὐ δι' ἁμαρτίαν κολάζεται πρὸς τὸν δεσπότην θν ἡδέως τὴν ἑαυτοῦ λέγει δίκην· σφόδρα θαρρῶν τῇ τοῦ θῦ δικαιοκρισίᾳ· εἰδὼς ὅτι οὐ καταδέξεται κς ἄδικόν τι ψηφίσασθαι· ταῦτα οὖν οὐ τραχυνομένου τυραννικοί τὰ ἐγκλήματα, ἀλλ' ὡς υἱοῦ πρὸς πρα παρρησιαζομένου,

καὶ μονονουχὶ λέγοντος ἡδέως σοὶ ὦ πάτερ διαλέξομαι. οἶδα γὰρ ὅτι ψεύσασθαι οὐκ ἀνέχῃ. ὁ δὲ ταῦτα λέγων ὑπερβαλλόντως τιμᾷ τὸν θεόν, ὡς δίκαιον καὶ ἀληθῆ καὶ ἀπροσωπόληπτον. ἐκ τοιαύτης οὖν διαθέσεως τὴν πρὸς θεὸν αἰτεῖ διαδικασίαν. καὶ πάλιν ἐπειδὴ ὅλως ἐτόλμησε λαλῆσαι. σύγγνωθί φησι δέσποτα. αἱ γὰρ περιστᾶσαι ὀδύναι, καὶ ὅλως φθέγξασθαί με παρεσκεύασαν. καὶ πάλιν τὸ φιλάγαθον τοῦ θεοῦ καὶ ἀμνησίκακον, καὶ μεγαλόδωρον προΐσχεται, καὶ ἱκετεύει ὡς ποιητὴν φείσασθαι τοῦ ποιήματος. καὶ τὸ δίκαιον τοῦ θεοῦ παρίστησιν. καὶ αἰτεῖ τινὸς ἀναψύξεως τυχεῖν πρὸ τελευτῆς. οὐχ οὕτως οἶμαι, διὰ τὸ τῶν βασάνων ἀπαλλαγῆναι, ὅτι οὐκ ὀργίζεται αὐτῷ ὁ θεός, οὐδὲ ἀπορρίψει αὐτὸν εἰς σκότος ἐκ τοῦ φωτεινοτάτου ἑαυτοῦ προσώπου:

+ πρώτη τοῦ ἰὼβ πρὸς τοὺς φίλους διάλεξις :

κεφάλαιον ξ(ον) :

+

Ὑπολαβὼν δὲ ἰὼβ λέγει· ἐπ᾽ ἀληθείας οἶδα ὅτι οὕτως ἐστί· πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ κυρίου :

ὅτ χρυσοστόμου : τοῦ βαλδὰδ εἰρηκότος, μὴ ὁ κύριος ἀδικήσει κρίνων· συντρέχει καὶ ὁ ἰὼβ τῇ τοῦ θεοῦ δικαιοκρισίᾳ καὶ φησίν, ἐπ᾽ ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν, οὕτω δὲ προοιμιάζεται, τοὺς ἐφεξῆς ἑαυτοῦ λόγους προασφαλιζόμενος· ἵνα ὅταν λέγῃ ἡδέως κρίνομαι πρὸς θεόν, μήτις ὑπολάβοι ὅτι ἄδικα [illegible] φησὶ τοῦτο· ἀλλ᾽ ὅτι θαρρῶν τῇ τοῦ θεοῦ δικαιοκρισίᾳ, καὶ τῇ ἑαυτοῦ δικαιοσύνῃ, καὶ τῇ περὶ θεοῦ ἀγάπῃ τοὺς λόγους προφέρει, κατὰ τὸ εἰρημένον, ἐὰν μὴ ἡ καρδία ὑμῶν, καταγινώσκῃ ὑμῶν· παρρησίαν ἔχετε πρὸς τὸν θεόν· ἐπιστάμενος δὲ πάλιν, ὡς πρὸς τὴν θείαν ἀκρίβειαν, οὐδείς ἐστιν ἀναμάρτητος, ἐπιφέρει καὶ φησίν· πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ κυρίῳ· ἐὰν γὰρ θελήσῃ ὁ θεὸς κρίνεσθαι μετὰ ἀνθρώπου, ἀμηχανεῖ ὁ αὐτὸς ὅλως ὑπακοῦσαι, καὶ διᾶραι τὸ στόμα· οὐ γὰρ δύναται χιλίους λόγους λέγοντος τοῦ θεοῦ πρὸς

ἔγνω γοῦν καὶ μόνον αὐτῷ ἐπῆλθεν ὅτι κακῶς ἐρρέθη. τὴν γὰρ αὐτο-
σοφίαν ἀμήχανον ἄσοφον τί λαλήσῃ. λέγεται δὲ ὅλως κρίνε-
σθαι πρὸς αὐτὸν θεόν. ἐοίκασι τάξει εἰς ἡμᾶς τοὺς ἐξ ἐναντίας αὐτε-
ξετάζειν πράξεις. ὡς ὅταν λέγῃ, παῦε καὶ διαλεχθῶμεν. πά-
λιν δὲ σημειώσεως ταῦτα προεῖπεν ὁ κύριος δίκαιος. μονονουχί
λέγων τὸ τοῦ μακαρίου Δαυίδ. καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ
τοῦ δούλου σου. ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
ἵνα ἐάν ἀκούσωμεν αὐτοῦ βουλομένου κρίνεσθαι πρὸς θεόν,
καὶ τοῦτο μάθωμεν ἐντεῦθεν. ὅτι τὰς παρὰ αὐτοῖς κρίσεις
φεύγει. οἷα ἢ κατὰ ἄγνοιαν λαλούντων. ἢ πρὸς χάριν τινῶν:
τοῦ αὐτοῦ: Οἶδα φησὶ κἀγὼ ὅτι οὐκ ἄδικος ὁ θεός,
ἀλλὰ καὶ κολάζων τοὺς ἀσεβεῖς, κατὰ τὸν τοῦ δικαίου κολά-
ζει λόγον. δεικνὺς δὲ ὅτι τοῦτο δόγμα παρ' ἑαυτῷ σφάλον
ἔχει. οἱονεὶ μεθ' ὅρκου ἐπισοῦται τὸν λόγον φήσας, ἐπ' ἀ-
ληθείας οἶδα ὅτι οὕτως ἐστίν: τοῦ ἁγίου Ἰω(άννου):
Πόσης φιλοσοφίας ταῦτα τὰ ῥήματα. οἶδα φησὶν ὅτι οἱ ἀσε-
βεῖς ἀπόλλυνται. οἱ δὲ δίκαιοι οὐχί. ὁρᾷς πῶς οὐδαμοῦ
καταγινώσκει τοῦ θεοῦ ἀδικίαν: Μεθοδίου ἐπισκόπου:
Δύναται φησὶ γενέσθαι δίκαιος, συγκρίσει ἀνθρώπων. ὡς δὲ
πρὸς τὸν τῶν ὅλων κύριον, πῶς ἔσται δίκαιος βροτός:
Πολυχρονίου: Καὶ οὐχ οἱ ἐπὶ γῆς αὐτοὶ πρὸς
θεὸν ἰσωθήσονται. πλείστην δὲ παρ' ἀμφοτέροις τὴν διαφο-
ρὰν εὕροις: Ἐὰν γὰρ βούληται κριθῆναι αὐτῷ,
οὐ μὴ ὑπακούσῃ αὐτῷ. ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον αὐτοῦ

› ἐκ χιλίων· σοφὸς γὰρ ἐστὶ διανοίᾳ κραταιός τε καὶ μέγας·
› τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινεν:
∴ θ ε ※ ∴ ἐπιγ. οὐ δ' οὐ: Ὀλυμπιοδώρου:

2 Τὸ μὲν χειλέων ὁ σύμμαχος χιλίων ἡρμήνευσε· λέγει δὲ ὡς εἰ καί τις ἐθελήσειεν κριθῆναι πρὸς θεόν, οὐδὲ λόγου ἀξιωθήσεται. ὑπερφρονεῖ γὰρ τῆς εὐτελείας τῶν ἀνθρώπων, ἵνα γοῦν πρὸς χιλίους οὐκ ἀποκρίνεται: Μεθοδίου ἐπισκόπου:

Οὐ γὰρ τὸ ἐρωτᾶν κρίνων ὁ θεός, ἀλλὰ πείθει τὸν κρινόμενον, καὶ ποιεῖ αὐτὸν παραδέξασθαι τὸν κρινόμενον τὴν ἀπόφασιν αὐτοῦ· μεμφόμενοι γοῦν οἱ κρινόμενοι ἔλεγον τὸν κύριον μεθ' ἡμῶν τοῦ θεοῦ καὶ λέγοντα, Τίς ἡ ὠφέλεια ἐν τῷ αἵματί μου ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν· φέρε τί τούτου ἢ τῶν λοιπῶν πεποίηκα ἄξια:

2 Οὐ συνθέσει λέξεων, ἀλλὰ τῇ διανοίᾳ: Ὀλυμπιοδώρου:

ση Πάλιν καὶ τοῦτο προασφαλιζόμενος ἡμᾶς φησιν, ἵνα γνῶμεν ὅτι οὐδαμοῦ τὸ παραινούμενος, ἀλλ' ἱκετεύων καὶ θαρρῶν τῇ τοῦ θεοῦ ἀληθείᾳ τοὺς λόγους προφέρειν· ὁ γὰρ εἰδὼς μὴ συμφέρον εἶναι σκληρὸν φαίνεσθαι κατὰ θεοῦ, οὐκ αὐτὸς ἐτραχύνετο: Τοῦ ἁγίου Ἰω(άννου):

ση Ὥσπερ καὶ πρὸς βραχὺ συγχωρηθῇ, ἀλλ' οὐχ ὑπομένει:

ση Πολυχρονίου:

Φαραὼ αὐτὸς ὁ διάβολος· ἐναντίον γὰρ τοῦ παντοκράτορος ἐτραχηλίασεν: Καὶ μετ' ὀλίγα: Καὶ πάντες δὲ σκληροὶ γεγόνασιν ἐναντίον αὐτοῦ οἱ ἔχοντες

τὰς λίτυνας

τὰς λιθίνας καρδίας: Τοῦ αὐτοῦ ἄλλως: Διὰ τοῦτο ο δ
φησὶν οὐδεὶς οὐδέποτε κατὰ θεοῦ θρασυνόμενος
ἀτιμώρητος μεμένηκεν: ~
οε
Ὁ παλαιῶν ὄρη καὶ οὐκ οἴδασι. καὶ ὁ καταστρέφων αὐτὰ ὀργῇ.
ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων:
ἢ ἐξαιρῶν ὄρη καὶ ἀδηλοποιῶν αὐτά:
Ὀλυμπιοδώρου: Πρὸς μὲν ῥητὸν ὅτι ὄρη φησὶν ἐ- οε
ξαφανίζων μετ' εὐκολίας. πρὸς δὲ διάνοιαν ὁ παρα-
φέρων τὰς ἐπιβουλὰς τὰς ὑπερεχούσας τοῦ πονηροῦ
ἐκ τῶν αὐτῶν καὶ ἀγνοούντων αὐτοῦ: Μεθοδίου ἐπισ.
ὄρη μωσῆς καὶ οἱ προφῆται. ἦρα τοὺς ὀφθαλμούς μου εἰς οε
τὰ ὄρη. Χριστὸς δὲ παλαιοῖ τὴν πρώτην διαθήκην, καὶ οὐ-
κ οἴδασιν Ἰουδαῖοι πρὸς οὓς εἴρηται· εἰ ἐπιστεύετε Μωϋ-
σεῖ, ἐπιστεύετε ἂν ἐμοί. ὁ αὐτὸς δὲ καὶ καταστρέφει τὰ
μείζει τοῦ κηρύγματος ὄρη τῆς γῆς, καὶ τὸ ἀγίασμα ὁ αὐτὸς
καὶ τὸν ἥλιον ἀμαυροῖ τῇ ἑαυτοῦ λαμπρότητι καὶ τοὺς
ἀστέρας: Διδύμου: Οἷα λέγει ἄνθρωπος νοσῶν
ἡλκωμένος, ὅστρακον ἔχων καὶ τὸν ἰχῶρα ξέων, ἄνθρωπος
ἐπὶ κοπρίας καθεζόμενος, ὁ παλαιῶν ὄρη καὶ οὐκ οἴ-
δασιν. τίνες οὖν εἰσὶν οἱ λόγοι ἴδωμεν, καὶ περὶ ποίων
ὀρέων παλαιουμένων, καὶ ὑπὸ τίνων καὶ οὐκ οἴδασιν:
Πολυχρονίου: Ἅπερ εἴρηκεν οὐδεὶς οἶδεν. οε
ἐπείγομεν μὴ εὑρίσκειν τὴν ἑρμηνείαν. νῦν δὲ ὁ παλαι-
ῶν ὄρη καὶ οὐκ οἴδασιν. ὁ καταστρέφων αὐτὰ ὀργῇ.

τουτέστι κατὰ τὸ γράμμα λατρεύων, ὡς καί τις λέγει ὁ ἀ-
πόστολος· ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ τὰ παλαιούμενα
καταργεῖσθαι. παλαιοῦται τὰ τοῦ γράμματος· ἀνακαινί-
ζονται τὰ τοῦ πνς· ὥστε δουλεύειν ἐν καινότητι πνς. καὶ οὐ
παλαιότητι γράμματος. παράδοξον ὁ ἰς μου πεποίηκε …
ἐλθών· τοὺς ἄλλους προφήτας καὶ πεπαλαίωκε καὶ ἀνεκαί-
οσ -νισεν: Ὀλυμπιοδώρου: Στύλους τὰς πέτρας
φησίν· ἐν αὐτῷ γὰρ ἐστι τὸ θεμελιῶσαι τὴν γῆν. ὡς αὐτὸς
οἶδε καὶ σαλεῦσαι· τὸ δὲ κατὰ ἄστρων κατασφραγίζει, ἀντὶ τοῦ
ἀποκλήσει, ὥστε μὴ φαίνειν αὐτά, ὁπότε βούλεται:
Πολυχρονίου: Τίνες οἱ στῦλοι ἦσαν τοῦ κυ μου ιυ
χυ, οἱ ἀπόστολοι· οὗτοι γὰρ παρὰ τὸν καιρὸν τοῦ πάθους ιυ
ἐσαλεύθησαν· πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ
οσ νυκτὶ ταύτῃ: Τοῦ αὐτοῦ: Ὁ σείσας τὴν ὑπου-
ρανόν· σεισμοὶ πολλάκις γεγόνασιν ἐπὶ τῆς γῆς· ἀλλ' οἱ γε-
γόμενοι σεισμοὶ καὶ πρὸ τοῦ κυ μου ιυ χυ καὶ μετὰ ιν χν
ἐκ μέρους γεγόνασιν· ἐπὶ δὲ τοῦ κυ ἡμῶν ιυ χυ, οὐ γέ-
γονε μερικῶς ὁ σεισμός· ἀλλ' ὅλη ἡ γῆ ἐσαλεύθη:
Οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται. ὁ λέγων τῷ ἡλίῳ καὶ οὐκ ἀ-
νατέλλει· κατὰ δὲ ἄστρων κατασφραγίζει· ὁ τανύσας
τὸν οὐρανὸν μόνος· καὶ περιπατῶν ὡς ἐπ' ἐδάφους
ἐπὶ τῆς θαλάσσης· ὁ ποιῶν πλειάδα καὶ ἕσπερον, ἀρκ- ∴ τὰ ὀνόματα ἄστρων:
τοῦρον καὶ ταμιεῖα νότου: Τοῦ αὐτοῦ:
ο+ Οὐχ ὡς ἀπιόντος τοῦ ἡλίου, ἀλλὰ τὸ μεγαλεῖον τῆς ἐξουσ-

ἐμφαίνων φησίν· Πολυχρονίου· Τοῦτο ἤδη
σαφὲς γέγονεν. ὅτι τοῦ ἡλίου ἐκλείποντος ἀπὸ τῆς ἕκτης ὥρας
μέχρι τῆς ἐννάτης, ἐπὶ τὸν σταυρὸν οἱ προφῆται προεφή-
τευσαν. ὅτι τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας μέλλει ποιεῖν ἐν τῇ
καρδίᾳ τῆς γῆς ὁ υἱὸς τοῦ ἀνθρώπου· Ὀλυμπιοδώρου·
Καλῶς φέρεται ἀντὶ τοῦ ἀποκλείσει· δύναται φησὶ καὶ
τῷ ἡλίῳ ἐπιτάττειν κατὰ χώραν μένειν καὶ μὴ ἀνατέλλειν.
καὶ τὰ ἄστρα ἀποκλύειν ὥστε μὴ φωτίζειν τὴν γῆν·
Μεθοδίου σίδης· Ὁ ἀριθμῶν πλήθη ἄστρων.
Φέρεται δὲ ὅτι ταῖς τρισὶν ὥραις ἐν αἷς ὁ ἥλιος ἐξέλιπεν,
ἀστέρες ἐφάνησαν ὡς ἐν νυκτί· Πολυχρονίου·
αὐτὸ τοῦτον ὁ χ(ριστὸ)ς ἐτάνυσε· τῷ γὰρ λόγῳ κ(υρίο)υ οἱ οὐρανοὶ ἐ-
στερεώθησαν· Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ
δέρριν· Καὶ τοῦτο πεποίηκεν ὁ ἐνανθρωπήσας
ὁ λόγος· Ὀλυμπιοδώρου· Ἀπὸ τῶν
τῶν περιφανεστέρων ἀστέρων τοὺς λόγους περιέλαβον. ἀπὸ
δὲ τοῦ νότου καὶ τοὺς ἄλλους ἀνέμους ἐσήμανεν· ταμιεῖα
δὲ τοὺς θησαυροὺς τῶν ἀνέμων φησίν· Ἄλλως· οξ
Ὁ ἑβραῖος καὶ πάντα τὰ ἄστρα τὰ κυκλοῦντα νότον φησίν,
ὅπερ διὰ τοῦ ταμιεῖα λέγει, τὸ πλῆθος τῶν αὐτόθι φαι-
νομένων ἄστρων δηλῶν· διαφέρει δὲ ἄστρον ἀστέρος.
τὸ γὰρ ἄστρον ἐξ ἀστέρων σύγκειται· Πολυχρονίου·
Βούλεται εἰπεῖν ὅτι ὁ θ(εὸ)ς διὰ τῆς κτίσεως τήν τε ἑαυτοῦ σοφίαν οξ
ἐνεδείξατο καὶ τὴν περὶ ἀνθρώπους πρόνοιαν. τὴν μὲν τῷ ποι-

πλὴν τῶν φαινομένων. τὴν δὲ τῇ χρήσει τῆς ἀπολαύειν πεφύκασιν
αὐτοί. πρὸς γὰρ τὰς τῶν ἄστρων ἐπιτολὰς καὶ δύσεις, καὶ τῆς σε-
λήνης τὰς σημειώσεις. γεωργοί τε σπείρουσιν, καὶ τῆς γῆς τὴν ἐπι-
μέλειαν ποιοῦνται. εὐδινοῦ τε καὶ χειμερινοῦ σημεῖα λαμ-
βάνοντες. καὶ ναῦται τὴν θάλασσαν πλέουσιν. ἄλλα μὲν ἔχου(σιν)
ἄλλοις ἄστροις τὸν πλοῦν ἀνύοντα· φοίνικες δὲ λέγονται πρὸς
τὴν μικρὰν ἄρκτον περαιοῦσθαι τὴν θάλασσαν:

Ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα ἔνδοξά τε καὶ ἐξαίσια, ὧν
οὐκ ἔστιν ἀριθμός. ἐὰν ὑπερβῇ με οὐ μὴ ἴδω· καὶ ἐὰν παρέλ-
θῃ με οὐδ' ὣς ἔγνων. ἐὰν ἀπαλλάξῃ τίς ἀποστρέψει:

:: ταῦτα καὶ ὁ Ἐλιφὰζ προείρηκε: ∴ ἀλλ' ὃ θαυ-
μάσια ὑπερμεγέθη. ∴ οὐδὲ συνήσω. ∴ ἴδοι
ἀναστρέψει: Μεθοδίου ἐπισκ:

οπ ἃ γὰρ προείρηκα φησίν, οὔπω μεγάλα, οὔπω ἀνεξιχνίαστα
πρακτὰ ὄντα: τοῦ ἁγίου Ἰω(άννου):

οπ ἃ ἡμεῖς οὐκ ἴσμεν πέρα δὲ οὐδαμοῦ τὴν οὐσίαν, ἀλλὰ τὰς ἐ-
νεργείας αὐτοῦ ἐλέγει: Πολυχρονίου:

Τῆς μεγαλουργίας αὐτοῦ φησὶ τὰ σημεῖα, καθεκάστην συνεπινο-
ῶν, ἀέρος τροπάς, ἐναλλαγὰς καιρῶν, ὡρῶν διαδοχάς,
ἡμέρας καὶ νυκτὸς εὔτακτον κίνησιν. ἀπὸ γὰρ τῶν οὐ-
ρανίων ἄστρων τοῦ ἀέρος ἐμνημόνευσε τὸ πρὸς τὴν μεγ... 61
ποικίλον καὶ πολυειδὲς παριστῶν· μεγάλα τε καὶ ἀνεξιχνί-
αστα λέγει· χιόνος γένεσιν· χαλάζης φοράν· βροντῶν
ἤχους, ἀστραπῆς βολὰς καὶ τὰ τοιαῦτα: Ὀλυμπιοδώρου:

τὸ ἀπόρρητον αὐτοῦ τῆς φύσεως καὶ ἀκατάληπτον διὰ τοῦ οθ
παρίστησιν: ταῦτα δὲ ποιεῖ ἀπεράντω δυνάμει: οθ
διδύμου: τὸ ἀκατάληπτον τοῦ θεοῦ κρίματος οη
καὶ ἐνταῦθα σημαίνει· καὶ γὰρ αὐτῶ, μᾶλλον δὲ γεννητῇ
φύσει, ταῦτα καταλαβεῖν ἀμήχανον διὰ ἐπιβολῆς:
πολυχρονίου: καὶ ταῦτα φησὶ ποιεῖ ἀπεράντω οθ
δυνάμει ἀπαύστως ἐργαζόμενος, καὶ οὔτε ἐμμένει οὔτε
ἐπιγινώσκων, οὔτε ὀργιζόμενον νοῆσαι δύναμαι:
ὀλυμπιοδώρου: ἐὰν φησὶ συντέληται ποι- π
ῆσαι θέλη, τίς ἀναστρέψει τὰ δοκοῦντα αὐτῶ.
σὺ δὲ φησὶν ἴσθι, ὅτι ἀγαθὸς κολάζει, καὶ ἀοργήτως
τιμωρεῖται· πάντα συμφερόντως οἰκονομῶν τὰ καθ' ἡμᾶς:
δὲ σύμμαχος αὐτὸς τοῦ ὑπ' αὐτοῦ δὲ καμφθῆσαι κήτη τὰ
ὑπ' οὐρανὸν οὕτως ἐπέδωκεν, ὑποκάτω αὐτοῦ καμ-
φθήσονται οἱ ἐπερειδόμενοι ἀλαζονίᾳ ἤγουν ἔθη ὅτι καὶ τῶν
ὑπερηφάνων καταστρέφει τὴν ὀφρύν· πρὸς δὲ διανοίαις
ὑπ' αὐτοῦ ἐταπεινώθησαν τὰ σωματικὰ τῆς συνηθεί-
κήτη καλούμενα· ὅτι σεί τοὺς κλύδωνας τῆς ψυχῆς δια-
νήχονται: πολυχρονίου: ἐὰν φησὶ κατά π
τινος ἀποφήνηται, τίς ἀνακαλέσεται· ἢ τίς ἐρεῖ αὐτῶ τί
ἐποίησας· τίς δὲ αὐτῶ φησὶν ἐγκαλεῖ, ὡς οὐ καλῶς
πεποιηκότι: καὶ τίς ἐρεῖ αὐτῶ τί ἐποίησας·
αὐτὸς γὰρ ἀπέστραπται ὀργήν· ὑπ' αὐτοῦ δὲ ἐκάμφθησαν
κήτη τὰ ὑπ' οὐρανόν· ἐὰν δὲ ὑπακούσηται ἢ διακρίνηται

ἐγκλήματά μου· ἐάν τε γὰρ δίκαιος ὦ, οὐκ εἰσακούσεταί μου:

:: ιγ θ ὁ θεὸς οὗ ἀναπόστρεπτος ἡ ὀργή· :: ε ὑπο-
κάτω αὐτοῦ καμφθήσονται οἱ ἐπερειδόμενοι ἀμαξονίαν·
-:- λ θ μετ' αὐτοῦ· ::: θ ὅστις εἰ δικαιωθήσομαι οὐ-
κ ἀποκριθήσεταί μοι: Πολυχρονίου:

Καὶ ἐξουσίαν φησὶν ὡς πάντων δεσπόζων ἐπιμένει τε ἐστίν, οἷς ἂν βούληται καὶ τιμωρεῖται οὓς ἂν θέλῃ: τουτέστιν ἀπαθῶς καὶ ἀοργήτως κολάζει:

Συνεκδοχικῶς διὰ τῆς ὀργῆς πᾶσαν κακίαν δεδήλωκεν:

Διδύμου: Εἰ μὴ γὰρ αὐτὸς αὐτὰ ὑπέταξεν, ἂν ὑποταγείη ὑπ' αὐτῆς ταῦτα. καὶ ἐν τοῖς ἄλλοις δὲ θείοις ἰοβολ' δια βὰς τῷ λογισμῷ τοῦτο εὑρήσεις· ἀλλὰ καὶ τὰ ὑπουράνια τὰ κήτη ἀλληγορικῶς ὀνομαζόμενα αὐτὸς ἔκαμψεν· οὐ γὰρ διά τι ἐστὶν ἀνθρώπινα φύσις πρὸς αὐτά, μετὰ καμφθῆναι ὑπὸ θεοῦ: Πολυχρονίου:

Ὁ ἑβραῖος ὑπ' αὐτοῦ ἅπαντα ἀπόλλυται. τουτέστιν ἐὰν μετὰ τῆς ὀργῆς παυσάμενος μεταβάλῃ, ἅπαντα ἀφανίζει. ὁ δὲ ἑλληνικός, κήτη ἔφη, ἵνα εἴπῃ τὰ μεγάλα καὶ ἄμαχον ἔχειν τὴν ἰσχὺν δοκοῦντα: Ὀλυμπιοδώρου:

πα Εἰ δὲ καὶ ἐπακούσεταί μου τῷ διακρίνειν καὶ καθεξετάζειν τὰ ἐμὰ ἐγκλήματα. τὸ γὰρ ἦ καθ' ὃ νοῶ, κἂν δοκῶ μοι δίκαιος εἶναι· ἐπειδὴ μὴ καθ' αὐτὸν ἡμέτερον νοῦν ὁ θεὸς κρίνει· ἀλλὰ ὑψηλότερα καὶ ἀνέφικτα ἡμῖν τὰ αὐτὰ κρίματα. ἴσως οὐ δικαιώσει με, οὐδὲ εἰσακούσεταί μου· ὅθεν οὐχ οὕ

-μεῖς μέν, ἐμοὶ συνάπτεσθαι δικάζειν ὦ φίλοι· οὐ δὲ μᾶλλον
ἐμοὶ τοῦτο δεῖ· ταῦτα δὲ λέγει, τούς τε φίλους ἐπιστομίζ(ων),
καὶ μόνον οὐχὶ τὸ τοῦ ἀποστόλου βοῶν· οὐδὲν μὲν ἐμαυτῷ
σύνοιδα· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρί-
νων με κ(ύριό)ς ἐστιν: **Πολυχρονίου:**

Ἡ μὲν οὖν ἰσχύς φησιν οὕτως ἀνέφικτος, καὶ ταῦτα ὑπερβαί- πα
νουσα λόγον· ἐβουλόμην δὲ εἰ πρᾶος καὶ ἥμερος προσεκά-
-λει με δικαιολογούμενον: **Τοῦ αὐτοῦ:**

Ἀλλὰ τί φησι πάθω· εἰ γὰρ καὶ πολλοῦ τοῦ πταίοντος δυνα-
-τὸς εἴη τοῖς ἑαυτοῦ χρήσασθαι δικαίοις, παραπέμπεταί μου
τοὺς λόγους: **Τοῦ** κρίματος αὐτοῦ δεηθή-
σομαι· ἐάν τε καλέσω καὶ ὑπακούσῃ, οὐ πιστεύσω ὅτι
εἰσακήκοέ μου, μὴ γνόφῳ με ἐκτρίψῃ· πολλὰ δέ τὰ
συντρίμματά μου πεποίηκε διὰ κενῆς:
· θ ※ · ∴ ε΄ παρὰ καλαγίδος : ∴ λθ
σπορεαί: **Πολυχρονίου:**

Καὶ φόνου φησὶ δέομαι καὶ αὐτὸν εἰς ἀκρόασιν ὑπ
καλέσειν: **Ὀλυμπιοδώρου:**

Ἐὰν δὲ καὶ ἐπικαλέσωμαι τὸν θεόν, καὶ ὑπακούσῃ ἀκοῦσαι πβ
μου τῆς δικαιολογίας καὶ δικαιώσῃ με, οὐ πιστεύσω φη-
σὶν ὅτι ἐδικαίωσέ με· ἀόρατος γὰρ ἐστι καὶ ἀγνοῶ τὴν
κρίσιν· ὥστε πέπεισμαι καὶ ἐξ ἀφανοῦς ἀναιρεῖν με τελευτ(ῇ)·
πῶς οὖν με πείθει ὅτι ἐδικαίωσεν, ἢ τῶν παθῶν ἀπαλ-
λάξειεν· διὸ καὶ ἐπάγει· πολλὰ δέ μου τὰ συντρίμματα

πϛ συμπεποίηκεν. Πολυχρονίου: Εἰ δὲ καὶ ὅλως φησὶν ἐπήκουσέ μου τοὺς λόγους, οὐ πιστεύω ὅτι εἰσακήκοέ μου

πϛ τῆς φωνῆς: Θαῤῥῶ τολμηρῶς μου φησὶν καλέσαι αὐτὸν ὑπακούσῃ δὲ ὡς μὴ τῇ ἀσαφείᾳ τῶν πραγμάτων συντρι-

-βείη ὑπομείνω: Πολυχρονίου: Διέσοικέ φησι μὴ παρασκεψάμενός μου τὴν ἱκεσίαν. ἐξ ἀφανοῦς με ἀναιρῶν. ἀόρατος μὲν ὢν τὴν φύσιν. ἀοράτως δὲ καὶ τὰς πληγὰς ἐπάγων: Ὀλυμπιοδώρου:

πζ Οὐ διὰ φθόνον ὅτι αἰτίαν οὐκ ἐπίσταμαι δι' ἣν οὕτως συντρίβομαι. τοῦτο γάρ ἔοικε σημαίνειν τὸ διὰ κενῆς. ἢ καὶ τοῦτο λέγει. ὅτι οὐκ ἔστιν ὃ θεὸς δοκιμάζει με διὰ βασάνων. ἤδη γάρ με καὶ πρὸ τῶν ἐλεγχῶν: Πολυχρονίου:

πη Ἀπόδειξις δὲ τῶν εἰρημένων τὰ παρόντα. ποικίλαις γάρ με ταῖς συμφοραῖς ἀθρόον περιέβαλεν οὐδενὸς ἁμαρτήματος εὐθύνας εἰσπραξάμενος: τοῦ αὐτοῦ τῶν:

πθ Οὐδὲ εἰ πρὸς ἀποδεῖξαι τὰ ὑπάρχοντα αὐτοῦ δικαιοσύνης. τί οὖν θαυμάζεις, εἰ ὁ θεὸς εἴπω, τοῦτο καὶ οὗτος λέγει ὅτι δικαιοσύνης οὐχ ὅτι οὐχ ἥμαρτεν. ἀλλ' ὅτι οὐδενός ἐστι πλέον ἀπὸ τῆς τιμωρίας αὐτοῦ καὶ τοῦ κολάζεσθαι:

Οὐκ ἐᾷ γάρ με ἀναπνεῦσαι· ἐνέπλησε δέ με πικρίας. ὅτι μὲν γὰρ ἰσχύϊ κρατεῖ. τίς οὖν κρίματι αὐτοῦ ἀντιστήσεται. ἐάν τε γὰρ ὦ δίκαιος τὸ στόμα μου ἀσεβήσει· ἐάν τε ὦ ἄμεμπτος σκολιὸς ἀποβήσομαι:

: ἄμεμπτος

πι Ὀλυμπιοδώρου: Ἐγὼ μὲν οὖν φησὶν οὐδὲ α-

-ναστεύωσι ἀνεπιτηδείως δύναμαι· λογιζόμενος δὲ τὴν
ὑπὲρ τὴν ἰσχὺν, τολμηρὸν εἶναι ἀποφαίνομαι, τὸ τοῖς
αὐτοῦ κρίμασιν ἀνθίστασθαι· ταῦτα δὲ πάντα πρὸς
τοὺς φίλους ἀποτεινόμενος λέγει· τοὺς οἰομένους
αὐτὸν δι' ἁμαρτίας κολάζεσθαι: Πολυχρ:

Καὶ τοσαύτη μοι φησὶν ἡ ἐπίγνωσις τῶν δεινῶν· ὥστε μηδὲ πγ
τὴν τυχοῦσαν ἐπιχειρείαν ἔχειν : τοῦ αὐτοῦ:

Καὶ ταῦτα πάντα φησὶν, μετ' ἐξουσίας ἐξελέγξεσθαι, ἅπαξ πδ
ἔχων τὴν δύναμιν, οὐδενὸς ὄντος τοῦ πρὸς τὸ τυχὸν
γοῦν ἀντιλέξοντος: τοῦ ἁγίου Ἰω:

Τοὐτέστι πολλῶν πλήρης εἰμὶ δεινῶν: ε

Ὥσπερ τῇ ἰσχύϊ, οὕτω καὶ τῇ δικαιοκρισίᾳ κρατεῖ· ᾧ ϛ
οὐδεὶς ἀντιστήσεται: τοῦ ἁγίου Ἰω:

Ἐάν τε γὰρ τολμήσω λέγειν ὅτι δίκαιός εἰμι, αὐτὸ τὸ εἰπεῖν πζ
τοῦτο, ἀσεβὲς εἶναι ὑπολαμβάνω· ἐὰν δὲ καὶ τολμή-
σω εἰπεῖν, ὅτι ἄμεμπτος εἰμὶ καὶ ἐμαυτὸν ἀποδέχο-
μαι· αὐτὸ τοῦτο σκολιόν με δείκνυσι καὶ οὐκ εὐθῆ· τοῦτ
δὲ ποιεῖ καὶ ὁ φαρισαῖος εἰπὼν κατῆλθε κατα-
κεκριμένος: Διδύμου:

Δίκαιος ὢν οὐκ ὠφελεῖ λέγειν τοῦτο αὐτὸ ὅτι δίκαιος
εἰμί· οὐ γὰρ περὶ ἑαυτοῦ ὁ δίκαιος λέγει· τοῦτο ὅ-
-μοιον τὸ γέγονα ἄφρον· ὑμεῖς με ἠναγκάσατε:

Ἐὰν δικαίως χρησώμαι πρὸς αὐτὸν ἀσεβήσω: πη

Πολυχρονίου: Διὸ δή φησιν, ὅτι οὐκ ἀπολύσει, πθ

καθάπερ ἤδη προλαβὼν ἔπληξε· πῶς δὲ πρὸ αὐτοῦ δικαι-
ολογίᾳ χρήσομαι, ἄνθρωπος ἀσθενής, πρὸς τὸν τῶν ὅλων κτίστην
διαφερόμενος. ἵνα εἴπῃ ὅτι διὰ τὴν ἐξουσίαν περι-
γίνεται, ἀδίκους ἀποφαίνων τοὺς λόγους: Διδύμου:
θ̄ Τῆς αὐτῆς διανοίας ἐστὶ καὶ τοῦτο δηλοῦντος αὐτοῦ· ὅτι
οὐδὲν ἐμαυτῷ συνειδώς, πειράσεσιν ὑποβάλλομαι:
Πολυχρονίου: Εἰ γὰρ καὶ καθαρῶς φησὶ βε-
βίωκα, πονηρὸς ὠφθήσομαι τοῦ θεοῦ ὑπομένειν καὶ
τὰ κατορθώματα ἄγειν δυναμένου:
Εἴτε γὰρ ἠσέβησα, οὐκ οἶδα τῇ ψυχῇ, πλὴν ὅτι ἀφῄρη-
ταί μου ἡ ζωή· διὸ εἶπον μέγαν καὶ δυνάστην ἀπολλύει
ὀργή· ὅτι φαῦλοι ἐν θανάτῳ ἐξαισίῳ· ἀλλὰ δίκαιοι κα-
ταγελῶνται· παραδέδονται γὰρ εἰς χεῖρας ἀσεβοῦς:
ϛ Ὀλυμπιοδώρου: Πάλιν τὸ τοῦ ἀποστόλου εἰπών·
ἐγὼ μὲν οὐδὲν ἐμαυτῷ σύνοιδα, πλὴν οὐκ ἐν τούτῳ
δεδικαίωμαι. διὸ τὰς τοιαύτας ὑπομένω κολάσεις:
ϛ Πολυχρονίου: Ἐγὼ μὲν γάρ φησιν ἐμαυ-
-τῷ οὐ συνεπίσταμαι παρανενομηκότι· ὁρῶν δὲ ἐν ἐσχά-
-τοις τὰ κατ' ἐμαυτόν, εἰς ἀπορίαν καθέστηκα· ἀγνοῶν
τίνα τῶν γεγενημένων τὴν αἰτίαν λογίσωμαι:
π̄ϛ Ὀλυμπιοδώρου: Ταῦτα ἀναλογιζόμενος
λέγω, ὅτι τὸν οἰόμενον μέγαν ἑαυτὸν εἶναι καὶ δυ-
-νατὸν κατὰ δικαιοσύνην, ἀπόλλυσιν ἡ τοῦ θεοῦ ὀργή·
πρέπεται δὲ καὶ εἰς φίλους τοῦτο περὶ τοῦ Ἰώβ:

Πολυχρονίου: Τουτέστιν ὅτι ἁπλῶς ἡ ὀργὴ κατὰ πς
πάντων χωρεῖ τοῦ θεοῦ· εἴτε ἐν εὐσεβείᾳ εἴη τις μέγας,
εἴτε κατὰ βίον λαμπρός:· Τοῦ αὐτοῦ:·
Τουτέστι χαλεπὴν τοῖς παρανόμοις ἐπάγει τὴν δίκην:
Ὀλυμπιοδώρου: Καταγελῶνται ὑπὸ τῶν φαύλ(ων) πζ
δηλονότι· τὸ δὲ λέγειν εἰς χεῖρας ἀσεβοῦς, ἔοικε πλη-
ροφορεῖσθαι, ὅτι διαβόλῳ παραδέδοται· τὴν δὲ αἰτίαν
ἔφη ταῦτα οἰκονομεῖν τῷ ἀγνοεῖν: Πολυχρονίου:
Ἀποδεικνὺς ἀπὸ τῶν λεγομένων τὰ πράγματα· ἐπειδὴ γὰρ ϙ
πολλάκις ἴδοιεν εἰς ἁρπαγὴν τοῖς ἀσεβέσιν ἐκδεδομένους
τοὺς τῆς ἀρετῆς ἐπιμελουμένους, ἵνα εἴπῃ· ἐμὲ ὑπὸ
τῶν φαύλων εἴασε τοιαῦτα ὑπομεῖναι:
Πρόσωπα κριτῶν αὐτῆς συγκαλύπτει. εἰ δὲ μὴ αὐτός τίς
ἐστιν· ὁ δὲ βίος μου ἐστὶν ἐλαφρότερος δρομέως· ἀ- π
πέδρασαν καὶ οὐκ εἴδοσαν. εἰ καί ἐστι ναυσὶν ἴχνος ὁδοῦ,
ἢ ἀετοῦ πετομένου ζητοῦντος βοράν·
:: πρόσωπον· ἐν τοῖς β'. :: ε' καὶ νῦν τίς
ἐστιν. :: οἱ γ' αἱ ἡμέραι ἀπέδρα τὸ μὴ βεβαιοῦσθαι ἁ-
μαρτίαις· ::: ※ θ' ε' ἀληθινόν. ::: ἢ ἀπῆλ-
-θον ὁμοίως ναυσὶ σπευδούσαις, ὡς ἀετὸς ἱπτάμενος
ἐπὶ βοράν: Ὀλυμπιοδώρου:
Ἐπειδὴ διαβόλου ἐμνήσθη εἰρηκώς, παραδέδονται γῆ
εἰς χεῖρας ἀσεβοῦς. ἀκολούθως ἐπάγει λέγων· ὅτι ἡ δὲ
ἁμαρτία λανθάνει καὶ τῶν διακριτικῶν τὴν γνῶσιν, ἐν

ὑποκρίσει δικαιοσύνης πολλάκις προσερχομένη· διόπερ ὁ-
πεὶς ἀναμάρτητος· ἢ διὰ μὴ πανουργία ἐχρῆτο· οὐ μέγας
ὑπάρχων. ἀλλ᾽ εὐκαταφρόνητος ὁ τῆς ἁμαρτίας αἴτιος διάβολος·
ταῦτα δὲ ὡς ἅγιος καὶ προφήτης μετ᾽ ἐπικρύψεως ἐν μέσῳ
τῆς διαλέξεως τέθεικεν. εἶτα πάλιν τρέπεται εἰς τὸ διήγημα
τὰ καθ᾽ ἑαυτὸν καὶ φησί: ἄλλως: καὶ τοὺς
ἐν ὑπεροχῇ φησὶν ἀποκρύπτει ὁ θεός· ἢ οὕτως· τῶν ὑπερ-
ορώντων εἰδέναι τὴν δικαιοκρισίαν τῆς ὀργῆς αὐτοῦ συγκα-
λύπτει τὰ πρόσωπα· τουτέστιν ἐπισκοτοῖ τὴν ἀκριβῆ γνῶσιν·
εἰ δὲ μὴ αὐτός ἐστιν ὁ ταῦτα ποιῶν· ὑμεῖς εἴπατε τίς
πη ἐστίν: πολυχρονίου: καὶ τοὺς ἐν τιμῇ καὶ τῷ
κράτει ὄντας, ἀφανεῖς ἐργάζεται: τοῦ αὐτοῦ:
Εἰ δὲ ταῦτα φησὶ μὴ τοῦτον ἔχει τὸν τρόπον ἐλέγξατε· παν-
ταχοῦ δὲ ταῖς οἰκείαις κέχρηνται συμφοραῖς περὶ ἀπο-
πθ λογίαν: ὀλυμπιοδώρου: αὐτός μὲν
οὐ μέγας ἐγὼ δὲ ὀλιγοχρόνιος: διδύμου:
πθ Ἔοικε δὲ διεγείρων αὐτοὺς πρὸς τὸ μὴ νομίζειν ὅτι διὰ
περίκεινται ἀξιώματα τῶν ὁμοίων ἀπηλλάχθησαν· ταῦτα
γὰρ κοινὰ καὶ σπουδαίῳ φαύλῳ· καὶ ἐλευθέρῳ καὶ δού-
λῳ καὶ ἰδιώτῃ καὶ ἄρχοντι καὶ ἁπαξαπλῶς ἅπασιν:
ὀλυμπιοδώρου: διὸ θᾶττον ἀπαλλαττόμενοι
φησὶ τοῦ βίου οἱ ἄνθρωποι τὰ καθ᾽ ἕκαστα τοῦ βίου ἰδεῖν οὐ
δύνανται· καὶ ὥσπερ οἰκέτης νέως ἢ ἀτελοῦς τέχνην εὑρεῖν·
οὕτως οὐδὲ τῆς εὐηθείας τοῦ βίου γνωρίσματα· τὸ δὲ

ἐπὶ βορὰν καθιπταμένου. ὅπερ ἐστὶν ἐπὶ τροφὴν σπεύδειν τὴν
ὀξύτητα σημαίνει: Οὕτω κἀγώ φησιν ὀλίγων τινῶν ϛ
χρηστῶν ἀπολαύσας θᾶττον ταῦτα παρέδραμον:
Πολυχρονίου: Ὡς γὰρ νεὼς φησὶν ἴχνη οὐκ ἔνεστιν φ
εὑρεῖν ἐν θαλάττῃ, οὕτως οὐδὲ τῆς ἐμῆς εὐημερίας τὰ τεκμή-
καταλιμπάνω εἶναι:
Ἐάν τε γὰρ εἴπω ἐπιλήσομαι λαλῶν. ὁ δὲ βίος μου ἐστὶν
ἐλαφρός. σείομαι πᾶσι τοῖς μέλεσιν. οἶδα γὰρ ὅτι οὐ-
κ ἀθῷόν με ἐάσεις. ἐπειδὴ δὲ εἰμὶ ἀσεβής, διατί μὴ
ἀπέθανον: ∴ ἀπολεσχίας.
∴ εἰς τί τοῦτο μάτην κοπιῶ: Ὀλυμπιοδώρου:
Ἐάν φησι βουληθῶ τοῖς παρ' ἐμαυτοῦ χρήσασθαι λόγοις, ϛα
εἰς πολὺ μῆκος ἐκτείνω τὸν λόγον. μεταξὺ δὲ στένω καὶ περί-
τρομος γίνομαι, δεδοικὼς μήποτε ἐλεγχθῶ ἐν ἀγνοίᾳ τι
πεπραχώς: ἄλλως: Εἰπὼν τὸ ὀξὺ τοῦ βίου,
εὐεπίγνωστος ὤν, ὁ παθὼς οὕτως πρὸς τὰ ἐν ἀγνοίᾳ πλημμελή-
-ματα φησίν, ὅτι καὶ ὅμως ἐπιλανθάνομαι τοῦ θανάτου
μου τὸν καιρόν. διὸ καὶ ἐπαμισυγκύψας τῷ προσώπῳ στε-
νάξω: Ἰουλιανοῦ: Τὸ γὰρ ἐπαγγελὲς τῆς ϛα
ὀδύνης ὑπερέχει μου τῆς μνήμης: Τοῦ ἁγίου Ἰω:
Καὶ τὰ τῆς μνήμης μοι διόλωλε· τοσαύτη ἡ ὀδύνη ἐστὶν ἐν ἐμοί:
ἐὰν εἰς μετάνοιαν ἔλθω, βαρύνομαι τῷ συνειδότι: σσ
Ὀλυμπιοδώρου: Τοῖς ἔνδον τοῖς γονατοῖς μέλεσιν σσ
τινάσσομαι· εἰδὼς ὅτι οὐκ ἀναίτιόν με ἐάσεις· ἐπεὶ

γὰρ πρὸς τὴν τοῦ θεοῦ ἀκρίβειαν ἐξεταζόμενος.
ϛδ τοῦ ἁγίου ἰω(άννου): Κἂν ἀπαγγελῶ τῶν κατεχόντων φη-
σί, τὰ πάντων ἀνέξω κατ' ἐμοῦ στόματα ἢ τιμωρίαν:
ἐπιδείξεις τοῦ ἁγίου διὰ τοῦτο γνωρίζεται, καὶ μεγάλη εὐγνω-
μοσύνη· φησὶ γὰρ ὅτι ἐξεταστής μου γινόμενος ἀκριβής· θεὸς
γὰρ εἶ, οὐκ ἀθῷόν με ἐάσεις· εἰ γὰρ καὶ εἰδὼς οἶδα ὅτι δίκαιος
ἀναφαίνομαι· ἀλλ' ὅμως οἶδα καὶ πέπεισμαι ὡς ὅτι πρὸς θεὸν πο-
[illegible], ἀλλὰ οὐκέτι καθαρὰ ἐνώπιον αὐτοῦ καὶ αὐτός
δ δηλονότι: πολυχρονίου: Ἀλλὰ πρὸς μη-
δὲν ἕτερον φησὶν ἀφορῶντες, ἢ μόνον τὰς κατὰ τοῦ σώματος
πληγὰς τὴν κατ' ἐμοῦ φέρεται ψῆφον: Ὀλυμπιοδώρου:
ϛε Εἰ δὲ ὅλως ἐκρίθην εἶναι ἀσεβής· βέλτιον οὖν μοι τὸ τελευτᾶν
πρὸ τῆς ἀσεβείας, ὡς φιλόθεος οὖν τοῦτο φησίν:
ϛε τοῦ ἁγίου ἰω(άννου): Διατί οὐκ ἀπέθανον. οὐκ οἶδα τὴν
οἰκονομίαν φησίν: πολυχρονίου:
ϛβ Τοιγαροῦν φησὶν αἱροῦμαι τὸν θάνατον, εἰ τοσούτοις ὀνει-
δεσιν ὡς παράνομος βάλλεσθαι:
ϛζ Ἐὰν γὰρ ἀπολούσωμαι χιόνι, καὶ ἀποκαθάρωμαι χερσὶ κα-
θαραῖς, ἱκανῶς ἐν ῥύπῳ με ἔβαψας. ἐβδελύξατο δέ με
ἡ στολή: Ὃ καὶ τότε ἐν διαφθορᾷ βα-
πτίσεις με: Ὀλυμπιοδώρου:
Ἔθος ἦν τοῖς παλαιοῖς λουτροῖς ἀποκαθαίρειν τοὺς μολυσμούς.
καὶ τοῦτο δὲ πάλιν ἔθος ἦν. ἔνθα ἐβούλοντο δεῖξαι ὡς οὐ-
κ ἐκοινώνησαν ἤδη τῇ ἁμαρτίᾳ, ἀπενίπτοντο τὰς χεῖρας λέ-

-γοντες ἀθῷός εἰμι ἀπὸ τοῦ πράγματος τούτου, ὡς καὶ Δαβὶδ ἔψαλλε λέγων· νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου. τοῦτο οὖν λέγει, ὅτι ὅπως ἂν ὦ καθαρός· αἱ ἐπαχθεῖς αὗται τιμωρίαι ἐκ τῆς προλήψεως ἐρρυπωμένον με καὶ ἀκάθαρτον ὑποδεικνύουσιν, ὡς καὶ τὸν ἀπολελουμένον τῶν ἐγκλημάτων μου δοκεῖν μολύνεσθαι· ἑκάστου διὰ πλῆθος ἁμαρτιῶν ταῦτά με πάσχειν ὑπολαμβάνοντος. ταῦτα δέ φησιν, διὰ τὸ τοὺς αὐτοῦ φίλους εἰς ἀπόδειξιν τοῦ εἶναι αὐτὸν ἁμαρτωλὸν τὰ συμβάντα αὐτῷ προφέρειν. τὸ δὲ ἐβδελύξατό με ἡ στολή, δύναται καὶ οὕτω νοεῖσθαι, ὅτι οἱ ἐγγύτατοί μου ἐμίσησάν με, ἢ ὅτι οὐδὲ ἐπενδύσασθαί με δύναμαι, διὰ τὸ ἄγαν εἱλκῶσθαι. ἢ ὅτι τὸ σῶμα βδελυκτόν μοι γέγονε· τοῦτο γὰρ ἡ στολή:

τοῦ ἁγίου Ἰω(άννου):

Τουτέστιν ὑπόδειγμα κεῖμαι πᾶσιν ἀσεβείας· τὸν γὰρ πονηρὸν ἐκ τοῦ μέσου ληφθῆναι ἐχρῆν· ὥστε μὴ εἶναι τοῖς ἄλλοις διδάσκαλον. ἂν τοῦ ἡλίου καθαρότερος γίνωμαι· ἔχω κηλῖδα φησὶν οὐ τῶν τυχόντων:

τοῦ αὐτοῦ:

Καὶ ὁ ἐγγύτατος καὶ αὐτός ἐμίσησέ με, οὐ διὰ τὴν τιμωρίαν ἀπεστράφη. ἀλλ' ὡς ἐναγῆ καὶ μιαρόν· ὡς ἀκάθαρτον καὶ πάντων ἔσχατον. οὕτως ἀπεστράφησάν με:

Βδελυκτόν γέγονέ μοι τὸ σῶμα· τοῦτο γὰρ ἡ στολή:

Οὐ γάρ ἐστιν ἄνθρωπος κατ' ἐμὲ ᾧ ἀντικρινοῦμαι· ἵνα ἔλθωμεν ὁμοθυμαδὸν εἰς κρίσιν· εἴθε ἦν ὁ μεσίτης ἡμῶν καὶ ἐλέγχων, καὶ διακούων ἀναμέσον ἀμφοτέρων:

Ὀλυμπιοδώρου: Εἴθε γὰρ ἦν ἐξὸν φησὶν ὡς ἐστὶ
αὐτῷ πρὸς σὲ τὸν ἀδέκαστον κριτὴν κριθῆναι, καὶ ἐλέγχεσθαι
μαστίγων, τὸν υἱὸν τῷ πράγματι ἀποφαινόμενον· ταῦτα μὲν
ὡς ἔφημεν θαρρῶν ταῦτα τοῦ θεοῦ ἀλήθεια φησίν· καὶ βουλό-
μενος τοὺς φίλους διελέγξαι μὴ ἀληθεύοντας· τοῦ γὰρ Ἰὼβ
λέγοντος ὅτι οὐκ ᾔδει τοιαῦτα ἡμαρτηκὼς ὡς τοιαῦτα κο-
λάζεσθαι, καὶ τοῦ θεοῦ φάσκοντος ὡς οὐ διαμαρτίας κολάζει.
τί ἕτερον εἶχεν ὁ μακάριος ποιεῖν, ἢ συνεξετάζειν τοῖς ἑκατέρων
λόγοις, καὶ καταδεῖξαι τοὺς φίλους ὡς ψευδομένους. ὃ
δὴ καὶ ὕστερον ὁ θεὸς ἔπραξεν· εἶτα ὡς παρ' ἄλλος λέγοντος
καὶ διὰ τὴν τὰς αὐτοῦ παραλύσεις δίκαια ἔσεσθαι λέγων· ὅτι
εἰ ἐπιτρέψει μοι ὁ θεὸς παρρησιάζεσθαι, ἀφελέτω τὰς βα-
σάνους, ἐπιτρεψάτω μοι τὸ μὴ φοβεῖσθαι, ἵνα ὡς ἐξ αὐτοῦ
τὴν παρρησίαν λαβὼν· λαλήσω καὶ τὰς ἐμὰς δικαιολογίας πα-
ραθῶμαι· ῥάβδον δὲ τὸ ἰταλικὸν καὶ τὰς βασάνους φησίν·
σοβείτω δὲ ἀντὶ τοῦ αἰσχυνέτω· περιγραφέτω καταπλησσέτω:

ϛα Εἴθε παρὼν ἐπληροφόρησάς με τὰς ἁμαρτίας μου:

ϛα Πολυχρονίου: Τοῦτο δή μοι φησὶ συμβαίνει,
ὅπως τὴν συνείδησιν ἐπὶ παρανομίᾳ πληττομένῳ· ἀλλ' ἐπειδὴ
μὴ πρὸς ὁμόφυλον καὶ ἰσότιμον τοὺς λόγους ποιοῦμαι:

Ἄλλως: Ἀκόλουθος ὁ λόγος ἐξομαλιζόμενος.
ἐγὼ μὲν ἐπίσταμαι τὰ καθ' ἐμαυτόν· ἐπειδὴ δὲ οἱ φίλοι οὐ λο-
γισμῷ ὀρθῷ κινούμενοι. οὐδὲ τῶν περιεστηκότων θλίψεων
αἰτίαν δι' ἁμαρτίας ὑπενόησαν· ἀξιοῦμαι τῆς ἡσυχίας :

τοῦ αὐτοῦ: Δι' ὧν παραγγέλλει παιδεύει τοὺς φίλους ἀναμαθῆναι ὅτι εὐπαρρησίαστον αὐτὸν εἶναι δεῖ καὶ ἕτοιμον εἰς κρίσιν· ὁ γὰρ συνειδὼς αὐτῷ εἰς φόβον εἶναι οὐ βούλεται:

τοῦ αὐτοῦ: Ἔδει δέ μοι φησὶ τοῦτο ὑπάρξειν, ὥστε παρρησίας ἐλέγχειν τὸν ἀδικοῦντα:

Ἀπαλλαξάτω ἀπ' ἐμοῦ τὴν ῥάβδον· ὁ δὲ φόβος αὐτοῦ μή με στροβείτω· καὶ οὐ μὴ φοβηθῶ ἐὰν λαλήσω· οὐ γὰρ οὕτως συνεπίσταμαι κάμνων τῇ ψυχῇ μου· στένων ἐπαφήσω ἐπ' αὐτὸν τὰ ῥήματά μου· λαλήσω πικρίᾳ ψυχῆς μου συνεχόμενος:

∴ οἱ γ' ἀποσκευέτω· ∴ α' θ' σ' αὐτοῦ· ⁘ α' ἐκθαμβείτω· ::: ἀλλά· :::: σ' οὐ γὰρ εἰμὶ ἐγὼ ὁ αὐτὸς παρ' ἐμαυτῷ· :::: α' ἐπ' ἐμέ, θ' εἰς ἐμαυτόν: Ὀλυμπιοδώρου:

Εἰ ἀπαλλάξειέ με τῶν νῦν, καὶ τὴν εἰς ἔπειτα ἀσφάλειαν ἐγγυήσαιτό μοι, ἐλάλησα ἄν: Πολυχρονίου:

Ἵνα με φησὶ τῶν ἐπικειμένων ἀπαλλάξῃ πληγῶν, καὶ περὶ τῶν μετὰ ταῦτα ἐγγυήσαιτο, ὡς οὐδὲν πείσομαι παρρησιασάμενος: Ὀλυμπιοδώρου:

Οὕτω πως ἢ ὡς οἱ φίλοι ὀνειδίζουσιν ὡς δι' ἁμαρτίας μοι τιμωρουμένῳ, οὐ τοιαῦτα ἐπίσταμαι τῇ ψυχῇ μου:

Πολυχρονίου: Οὐ γὰρ συνεπίσταμαι ἐμαυτῷ ἀδικίαν οὕτω περὶ τῶν κατ' ἐμαυτὸν δίχα παντὸς διελέχθην φόβου καὶ καθαρῷ τῷ συνειδότι τῆς κατ' ἐμαυτοῦ τιμωρίας τὴν αἰτίαν ἀπῄτησα· Ὀλυμπιοδώρου:

ϛε Πειρώμενος φησὶν ἐν τῇ ψυχῇ· ὑπὲρ μὲν ἐμαυτοῦ δικαιολογήσασθαι παρήσω· ἱκετεύσω δὲ τὸν θεὸν ἀνεῖναι τῶν συμφορῶν· ὥστε μὴ διὰ τῆς πρὸς αὐτὸν παρρησίας παρανομεῖν:

ϛϛ Πολυχρονίου: Ἐφ' ἡσυχίας στενάξω πρὸς οὐδένα δυνάμενος ταῖς ἐμαυτοῦ χρήσασθαι δικαιολογίαις:

Καὶ ἐρῶ πρὸς κύριον, μή με ἀσεβεῖν δίδασκε· καὶ διατί με οὕτως ἔκρινας· ἢ καλόν σοι ἐὰν σοι ἀδικήσω· ὅτι ἀπείπω ἔργα χειρῶν σου: Ὀλυμπιοδώρου:

Μὴ περιόψῃ με καταπονούμενον, ἵνα μὴ γένωμαι ἄδικος τῇ περιστάσει θλίψει καταποθείς: Ἄλλως:

Συνεὶ ἔλεγε, καὶ μή με συγχωρήσῃς πειρασθῆναι ὑπὲρ ὃ δύναμαι: Διδύμου: Εἰ γὰρ καὶ ὁ μηδὲν ἁμαρτὼν δι' ἁμαρτίας κολάζοιτο, τὸ ἁμαρτάνειν ἐρωτότερον ἂν εἴη· ὥστε καὶ διδάσκεσθαι ἁμαρτάνειν ὁ μὴ τοιοῦτος. Ἐπεὶ μία μόνη αἰτία ἐστὶ τοῦ πάσχειν· ἔλεγξαι δ' ἂν καὶ τὸ διατί με οὕτως ἔκρινας· ὁ τὰς καρδίας ἐπιστάμενος. Εἰ μὴ συνείδην ὅτι διὰ τὸν ἐξαιτησάμενον ταῦτα ὑπομένω:

Εὐαγρίου: Μή με ἀσεβεῖν δίδασκε· ἀντὶ τοῦ ἀπόστησον λόγους ἀσεβείας ἀπ' ἐμοῦ· οὐδένα γὰρ ὁ κύριος ἀσεβεῖν διδάσκει: Ὀλυμπιοδώρου:

ϛξ Τὸ διατί ὡς καὶ ἀνωτέρω πολλάκις εἴπομεν· οὐκ αἰτιολογικῶς λέγει, οἱονεὶ λέγων· οὐ καλόν σοι πρέπει οὐδὲ ἀρεστὸν τὸ εἰς ἀδικίαν με τραπῆναι· οἰκειότερον τοίνυν· πολλοὶ γὰρ πολλάκις τὰς συμφορὰς οὐ φέροντες, εἰς

ἄποντας πάλιν ἐλεάσησαν· καὶ ἔοικε πῶς καὶ ἔλεγον λόγους
τὴν αὐτῶν εὔνοιαν λέγειν τῷ μακαρίῳ Δαυῒδ φάσκοντι· ὅτι
οὐ καθίσει κ(ύριο)ς τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον
τῶν δικαίων· ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις
χεῖρας αὐτῶν· καὶ ὅρα εἰ καὶ ὁ ἀπόστολος τοιοῦτόν τινα νοήσας
ἔλεγεν· κυρώσατε εἰς αὐτὸν ἀγάπην· ἵνα μὴ ὑπὸ τῆς περι-
σσοτέρας λύπης καταποθῇ ὁ τοιοῦτος· εἶτα ἐπάγει· ἵνα
μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ, ὡς πεφυκότων
τῶν αὐτῶν ἐν ταῖς ἄγαν περιστάσεσι, κατολιγωρεῖν καὶ
πίπτειν, τὶ τῶν τῷ διαβόλῳ δοκούντων:

πολυχρονίου: γνώρισόν μοι φησὶ ποίων ξϛ
με παρανομημάτων εἰσπράξω δίκην· ἢ καλόν σοί ἐστιν
ἐὰν ἀσεβήσω: ὀλυμπιοδώρου: ξζ

πρὶν ὡς ποιητὴς ἐκέλευε θεοῦ μὴ παιδεύειν ἑαυτοῦ τὸ
ποίημα· καὶ ἠρέμα μὲν πληροφορεῖται ὡς ἅγιος,
ὅτι διαβόλῳ παραδέδοται· τοῦτον γὰρ καὶ τοὺς σὺν αὐτῷ
δαίμονας ἀσεβεῖς φησι· τὴν δὲ πρόνοιαν δι' ἧς ὁ πονηρὸς
αὐτοῦ κατεξανίσταται, οὔπω μαθεῖν πεπίστευται· διό μοι
μαθεῖν καὶ ποικίλους περιστρέφειν λόγους· τούτῳ μὲν ἐξελθὼν
ἀπαγγεῖλαι τῷ πονηρῷ· τοῦτο δὲ καὶ μαθεῖν ἐπιποθῶν διὰ τὴν
αἰτίαν τιμωρεῖται: τοῦ ἁγίου ἰω(άννου):

ὁρᾷς ὅτι οὐ διὰ τοῦτο βούλεται δικαιοῦσθαι ὡς κακῶς πράτ- ξη
των, ἀλλ' ὅτι τί ὠφελεῖ με φησὶν αὕτη ἡ θλῖψις· δέδοικε
γὰρ μὴ καὶ βλάψῃ:

Βουλῇ δὲ ἀσεβῶν προσέσχες· ἢ ὥσπερ βροτὸς ὁρᾷ καθορᾷς·
ἢ ὡς ὁρᾷ ἄνθρωπος βλέψῃ· ἢ ὁ βίος σου ἀνθρώπινός ἐστιν, ἢ
τὰ ἔτη σου ἀνδρός· ὅτι ἀνεζήτησας τὰς ἀνομίας μου, καὶ
τὰς ἀνομίας μου ἐξιχνίασας· οἶδας γὰρ ὅτι οὐκ ἠσέβησα:

ςθ Ὀλυμπιοδώρου: Μὴ ἀνθρωπίνως φησὶ τὰ πράγματα κρίνεις, μὴ διὰ τὸ ματαιοῦν τι διαλαθεῖν τὴν σὴν ἀκρίβειαν, ὥσπερ τοὺς ἀνθρώπους· ἐπειδὴ δὲ καὶ αὐτοὺς οὐκ ὀλιγοχρόνιος εἶ· πῶς τοίνυν ἀναζητεῖς τὴν ἀνομίαν μου ἢ τὴν ἁμαρτίαν μου ἐξιχνιάσεις· ἀναίτιος ὅτι οὐκ ἔστιν ἀσέβεια ἢ περὶ σὲ οἶδας· ταῦτα δὲ λέγει μαρτυρεῖ τὸν θεὸν τῆς ἑαυτοῦ δικαιοσύνης παραγόμενος, ὁμοῦ καὶ ἐξ αὐτῶν ἀγαθὸν ἐπιτ… ἀπολαῦσαι θεοῦ· οὐδὲ γὰρ τὴν ἐν ἀνθρώποις φησὶν αὐτὸς κακίαν μιμῇ, μνησικακῶν τοῖς ἁμαρτάνουσι καὶ ἀκριβῶς τῶν πλημμελημάτων ἀπαιτῶν τὰς εὐθύνας· ἔστι δὲ τί

ϖ καὶ ἠγνόηταί μου: Οὐδὲ γὰρ τὴν ἐν ἀνθρώποις φησὶν αὐτὸς κακίαν μιμῇ· μνησικακῶν τοῖς ἀνθρώποις τοῖς ἁμαρτάνουσι· καὶ ἀκριβῶς τῶν πλημμελημάτων τίνυσ τὰς εὐθύνας· οἶδας γὰρ ὅτι οὐκ ἠσέβησα· σὺ δὲ ὢν φησὶ καὶ τὰ μύχια τῶν λογισμῶν, σαφῶς διαγινώσκων

ϖ σὺ οἶδάς μοι οὐδὲν ἐπταικότι: Ἀεὶ οὖν οἶδα τὰ προσόντα καὶ τὰ ἐσόμενα: Ἰουλιανοῦ:

Μὴ πρόσκαιρον φησὶ τὴν ἀρχὴν λαβὼν ἔχεις, ἵνα ἐξ ἀνακρίσεως τὰ κατ' ἐμὲ ἐπιγνῷς, δι' ὧν ταῖς αἰκίαις με παραδέδωκας, ἀλλ' οὐδέν σε λέληθεν· ἐπίστασαι δὲ τὸ

τὸ ἐμόν·

τὸ ἐπιόν· ὅτι αὐτό τι λέγει τὴν ἁμαρτίαν. ἔλεγον δὲ τὴν ἀ-
σέβειαν· καὶ τὴν μὲν κοινῶς, ὅπου τε θεοῦ καὶ ὅπου ἀνθρώπου
γίνεσθαι· τὴν δὲ ἰδικῶς ὅπου θεοῦ· καὶ ὅπου αὐτὸ τὸ σέβειν.
ἀνθρώπου γὰρ ἀσεβὴς οὐδεὶς : τοῦ ἁγίου ἰω :

Ἐγὼ φησὶν οἶδα· ἀλλὰ συμβαίνει σβεννύναι με καὶ ἄλλο : γο

Ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν σου ἐξαιρούμενος. αἱ χεῖρές σου
ἔπλασάν με καὶ ἐποίησάν με. μετὰ ταῦτα μεταβαλών με
ἔπαισας· μνήσθητι ὅτι πηλόν με ἔπλασας· εἰς δὲ γῆν με
πάλιν ἀποστρέφεις : ἀδ. ἅμα κύκλῳ κατεπόν-
τισάς με· Ὀλυμπιοδώρου :

Ἀλλ' οὐδεὶς ἕτερος φησὶν ἀπαλλάξει με τῶν κακῶν δύναται,
πλὴν σοῦ τοῦ πλάσαντος· αὐτὸς γὰρ ἐξ ἀρχῆς τε φιλανθρωπίᾳ πε-
ποίηκας, καὶ ἐν εὐθηνίᾳ κατέστησας· καὶ πάλιν ἐτιμω-
ρήσω με ταῦτα. ὥστε δυνατόν σοι πάλιν βουληθέντα φιλαν-
θρωπεύσασθαι : Ἰουλιανοῦ :

Τὸ δύνασθαι πρόσεστι καὶ τὴν τῶν ὄντων γνῶσιν ἔχειν. καὶ
τὸ δίκαιόν σοι ὑπάρχει. τίς οὖν τούτων ἀντιστῆναι δύναται :
τοῦ ἁγίου ἰω : Τουτέστιν ὅταν σοι κολάσῃς,
οὐδεὶς δικαιωθῆναι δύναται : Πολυχρονίου :

Οὐδεὶς ἕτερος ἀπαλλάξαι τῶν κακῶν δύναται πλὴν σοῦ τοῦ
πλάσαντος : Ὀλυμπιοδώρου : τοῦ ἁγίου ἰω :

Ἔργον εἰμὶ τῶν χειρῶν σου φησὶ καὶ ἁμαρτωλός :
Ὀλυμπιοδώρου : Μετὰ τὸ ποιῆσαι με φησὶ καὶ ἐν
εὐθηνίᾳ καταστῆσαι, εἰς θλίψεις καὶ μάστιγας μετέβαλ

λ τὰ καὶ ἐμέ : τοῦ αὐτοῦ : Ἰκετεύω δὲ μνησθῆναί
σε καὶ τοῦ τῆς φύσεως εὐτελοῦς καὶ ὀλιγοχρονίου:
λ τοῦ ἁγίου ἰω : Ἀκολούθως καὶ τῆς δημιουργίας
καὶ τῆς προνοίας αὐτοῦ ἐπιστάμενος ἀρχὴν καὶ τὴν εἰς εὐ-
χὴν τρέπει τὸν λόγον λέγων· εἰ καὶ ἐπλήγης ὡς ἐξουσιάζων
τὰ ὀστώδη· ἀλλὰ μνήσθητι ὅτι ἀσθενής εἰμι, καὶ ἐκ πηλοῦ
τὴν σύστασιν ἔχω· τοῦτο δὲ κατὰ τὸ σῶμα νοητέον:
λ Ἰουλιανοῦ : Ἐπειδὴ τούτων τὸ μεγαλοφυὲς τοῦ θεοῦ
ἀποδείκνυσιν· ἐπ' ὅσον γάρ φησιν ἀγαθὸς εἶ καὶ σοφός,
ὡς καὶ ἐκ τῆς ὕλης ταύτης τῆς ἐπικήρου ζῶον ποιῆσαι, καὶ τοῦτο
νοῦ καὶ λόγου χαρίσασθαι : Πολυχρονίου:
λ Ἐξαρχῆς τε γάρ φησιν ἀγαθότητι πεποίηκας, καὶ ὡς γῆ αὖθις θα-
νάτῳ με ἐσημείωσας :
Ἢ οὐχ ὥσπερ γάλα ἤμελξάς με· ἐτύρωσας δέ με ἴσα τυρῷ· δέρμα
δὲ καὶ κρέας με ἐνέδυσας· ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας.
ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ' ἐμοί :
:: α ἀπέσταξας· :: α ἔπηξας· ::: αὐτὴ τοῦ συ-
νείρψας· ::: α β ἐποίησας μετ' ἐμοῦ· ε παρέσ-
ε χες μοι: Ὀλυμπιοδώρου : Ἤτοι ἀπὸ
χοὸς διὰ τὸ λεπτότατον, ἢ διὰ τὸν σπερματικὸν λόγον
ε φησίν : Πολυχρονίου : Ἀλλ' ὅμως φησίν, οὐ κα-
θ' ὅλου, τὸ εἶναι τοὺς ἀνθρώπους· ἀλλὰ θανάτους τῇ διαδοχῇ κα-
ταστήσας· ἀλλ' ἔστιν τὴν πρὸς εἰκόνα ἐνδειξάμενος πρόνοιαν.
καὶ τὴν ἐξ εὐτελοῦς ὑποθέσεως τῆς τῶν αὐτῶν γονῆς τὸ εἶναι

τοῖς αὐτοῖς προσήπται· οὐκ ἔστιν διαφθείρεσθαι ἐν τῇ μητρώα νηδύϊ· ἀλλὰ συμπηγνὺς μὲν τὴν ὑγρὰν φύσιν· εἰς δὲ δέρμα καὶ κρέας, ὀστέα τε καὶ νεῦρα, μεταξὺ τὸ καταβληθέν:

Ὀλυμπιοδώρου: Ἢ διὰ τὴν ἐξαρχῆς τῆς πλάσεως ι̃
σύμπηξιν. ἢ καὶ διὰ τὴν ἐν τῇ μήτρα σύστασιν:

Τοῦ ἁγίου Ἰω: Τὸ σπέρμα ἐξοῦ συνίσταται τὸ ζῶον, ὡς γάλα ἀμελχθὲν λέγει. καὶ ὥσπερ τὸ γάλα ἀμελχθὲν τυρὸς γίνεται, οὕτω καὶ τὸ σπέρμα σύστασιν φύσις γίνεται. κατάστασις δὲ αὕτη ἐπὶ πρὸ τοῦ ἐμβρύου. τὸ γὰρ καταβληθὲν εἰς τοὺς αὔλακας τῆς ὑστέρας σπέρμα, ὅταν συστραφῇ δίκα τυρός, γίνεται φύσις. ὅπερ λοιπὸν διαπλάττεται ἢ ὡς ἡ γραφή φησιν ἐξεικονίζεται, καὶ δέχεται ὥσπερ χαρακτῆρα: Τοῦ αὐτοῦ: Τουτέστιν ὁ τοσαύτην περὶ ἐμὲ φιλανθρωπίαν ἐπιδειξάμενος, τοσαύτην πρόνοιαν, τοσαύτην σοφίας πείσεις:

Σευήρου ἐπισκόπου: Ἢ περὶ ἐξοῦ φυσικῶς ἡμεῖς ἐνωθέντα, ἐνταῦθα ἐνδύματα καλεῖται: Τοῦ αὐτοῦ Ἰω: δ

Ὅλων τῶν ὁδὸν καὶ ἁρμονίαν τῆς συστάσεως τοῦ σώματος δ
ἀπαγγέλει· διά τε τῶν πρὸ τούτων, καὶ αὐτῶν τῶν εἰρημένων:

Ὀλυμπιοδώρου: Καὶ διαμόνην φιλανθρωπίαν καὶ ν̄
ἔλεον ἐξ οὐκ ὄντων ἡμᾶς εἰς τὸ εἶναι παρήγαγες. ἡ δὲ σὴ περὶ ἡμᾶς πρόνοια, τὴν ἡμετέραν διατηρεῖ σύστασιν:

Τοῦ ἁγίου Ἰω: Ταῦτα δὴ καὶ ἔσαυτα τὸ δέρμα ν̄
καὶ κρέας καὶ ὀστᾶ, καὶ νεῦρα δέδα ἔχει. παρουσίαν δὲ

ψυχῆς ζωτικὰ κινήματα ἔχει· ἀναχωρησάσης τε αὐτῆς οὐδὲν ἔχει ζωτικόν φησιν· ὅτι οὐκ ἔπλασας μόνον, καὶ δέρμα καὶ κρέας καὶ ὀστᾶ καὶ νεῦρα πεποιηκὼς ἐνέδυσάς με· ἀλλὰ καὶ ζωὴν καὶ ἔλεον ἔθου παρ' ἐμοί· καὶ διὰ μὲν τοῦ ζωὴν τεθεικέναι τὸ τῆς δημιουργίας οἰκεῖον σημαίνει· διὰ δὲ τοῦ ἐλέου τὴν προνοητικὴν χάριν: ἄλλως: Εἰ μὴ γὰρ ἠλέησας, οὐ γὰρ ἂν ἐν τῇ ὑστέρᾳ τῆς μήτρας ἔζη τὸ βρέφος:

, Ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα· ταῦτα ἔχων ἐν ἑαυτῷ οἶδα, ὅτι πάντα
, δύνασαι· ἀδυνατεῖ δέ σοι οὐδέν· ἐάν τε γὰρ ἁμάρτω φυ-
, λάσσεις με: ἀπ̄ ς ἐμαυτῷ :

σχ Τοῦ ἁγίου Ἰω(άννου): Παρὰ πάντα φησὶ τὸν βίον προνοίας ἀπήλαυσα τῆς σῆς: Πολυχρονίου:

σχ Τουτέστι καὶ μετὰ τὸ γενέσθαι τῇ σῇ προνοίᾳ τὸ ζῆν κέκτημαι:

ε̄ Ὀλυμπιοδώρου: Ταῦτα φησὶ τὰ πράγματα παρ' ἐμαυτῷ σῷα κεκτημένος, ὅτι καὶ σὺ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν δυνατός εἶ· καὶ τὴν ῥευστὴν καὶ γαλακτώδη οὐσίαν, ἤτοι τὸν ἀπὸ γῆς χοῦν, ὡς σοφὸς καὶ δυνατός, εἰς ἀνθρώπου σύστασιν ἐξ ἀρχῆς· καὶ ὅτι ἐλεήμων εἶ καὶ ζωῆς χορηγός, καὶ ὅτι πολλὴν τῶν καθ' ἡμᾶς ποιεῖ πρόνοιαν· ἱκετεύω σε καὶ οἶδα ὅτι δυνατός εἶ, καὶ τῶν παρόντων ἀλγεινῶν τὸ σὸν ἀπαλλάξαι ποίημα: Εὐαγρίου:

ε̄ Ταῦτα ἔχων ἐν ἑαυτῷ ποῖα· ζωὴν καὶ ἔλεος καὶ ἐπισκο-
ε̄ πήν: . . . . . . . . ἤτοι τὸ δημι-

συγγνωμονικὸν καὶ προνοητικὸν καὶ κριτικόν: Ὀλυμπιοδώρου:
τ Ὁ κοινὸς τῆς ἀνθρωπότητος ὑποκριθεὶς πρόσωπον φησίν, ὅτι ε
οὐδέν σε λανθάνει δέσποτα· ἀλλὰ γὰρ καὶ ἐπιτηρεῖς ἡμῶν
τὰ ἔργα· τοῦτο γὰρ ἐστὶ τὸ φυλάσσεις· καὶ εἰ πολλάκις τοὺς
ἁμαρτάνοντας μὴ παραχρῆμα κολάζεις· πλὴν οὐ διὰ τοῦτο
ἤδη καὶ ἀνευθύνους ἐᾷς: ἄλλως: Διδοὺς
συγγνώμην τοῖς πταίουσιν, ὅτι οὐδεὶς ἀναμάρτητος:
Διδύμου: Εἰκότως τοῦτο λέγει· ἐπεὶ γὰρ δημι- ϛ
ουργὸν καὶ προνοητὴν αὐτοῦ τε καὶ τῶν ὅλων οἶδεν αὐτόν,
ἀκολούθως καὶ περὶ μακροθυμίας αὐτοῦ διδάσκει·
ἐπίσταται γὰρ καὶ αὐτὸς κατὰ τὸν μακάριον Δαυίδ· ὅτι οὐκ ὀρ-
γὴν ἐπάγει καθ᾽ ἑκάστην ἡμέραν· φυλάττει δὲ τὸν ἁμαρτά-
νοντα θεός, οὐ βουλόμενος αὐτὸν ἁμαρτάνειν· οὐ βούλεται
γὰρ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν:
Πολυχρονίου: Ἀλλ᾽ οὐκ ἐπ᾽ ἐμοῦ φησὶ τῇ σῇ ἐχρή- ϛ
σω ἀγαθότητι, ἀκριβὴς δὲ ἐξεταστής, τῶν ἐμῶν πλημμελη-
μάτων γενόμενος· καὶ δίκας ὑπὲρ ἁπάντων ἀπῄτησας:
› Ἀπὸ δὲ ἀνομίας οὐκ ἀθῷόν με πεποίηκας· ἐάν τε γὰρ ἀ-
› σεβὴς ὦ, οἴμοι· ἐάν τε δίκαιος ὦ, οὐ δύναμαι ἀνακύ-
› ψαι· πλήρης γὰρ ἀτιμίας εἰμί· ἀγρεύομαι γὰρ ὥσπερ λέων
› εἰς σφαγήν· πάλιν δὲ μεταβαλὼν δεινῶς με ὀλέκεις:
:· α' θ' οὐκ ἀθῳώσεις με· σ' οὐ καθαρήσεις με·
:: α' καὶ δικαιωθεὶς οὐκ ἀρῶ κεφαλήν· ::: α' θ'
καὶ ἐπιστρέψας ἐθαυμάστωσας ἐν ἐμοί:

ξ Ὀλυμπιοδώρου· Εἰ γὰρ ἀσεβὴς εἴην φησί· τοῦτό μοι πάντων τὸ χεῖρον· εἰ δὲ καὶ δίκαιος, ἀλλ' οὕτω ὑποκείμενος τοῖς πάθεσιν, διὰ τὴν πατέρων παράβασιν: Διδύμου:

ξ Εἴτε προαιρετικῶς ἁμαρτῶ, οἴμοι· εἴτε ὡς προαποδέδω-κα μὲν τὸ ἐκ διαδοχῆς μόνον ἔγκλημα τοῦ ἀδάμ· πάλιν οὐδ' οὕτω ἀνακύψαι δυνήσομαι, ὡς πάντως ἀπηλλαγμένο(ς) ῥύπου· τῶν γὰρ ἁμαρτημάτων, τὰ μὲν ἐκ τῆς ἡμετέρας προ-αιρέσεως φαῦλος ὑφίσταται· τὰ δὲ ὡς προείρηται· καὶ τοῖς μὲν ἐκ προαιρέσεως κόλασις ἕπεται· τοῖς δὲ ἐξ ἀγνοίας καὶ φύσεως ἔλεος ἕπεται: Πολυχρονίου:

ξ Τουτέστι καὶ ἁμαρτάνων σημεῖον κακοῖς· καὶ δίκαιος γενό-μενος, οὔτε ἀπολαύειν ἀγαθοῦ ὡς ἔοικε συγχωροῦμαι:

α ἕως φησὶν ἀμφισβητοῦμεν διὰ τὰ πάθη:

η Ὀλυμπιοδώρου: Συγκεκλεῖσθαι φησὶ δοκῶ καὶ ἐγγὺς εἶναι τοῦ ἀπαλλάττεσθαι τῶν δεινῶν διὰ τοῦ θανάτου· εἶτα ὁ μὲν θάνατος οὐκ ἐπέστησεν· αἱ δὲ ὀδύναι πάλιν ἐξ ὑποστροφῆς διαδέχονται: Διδύμου:

η Λέοντι παρεικάζειν ἑαυτὸν ἔοικεν, διὰ τὴν προτέραν εὐθη-νίαν· ἀρχικὸν γὰρ τὸ ζῶον· τῆς δὲ αὐτῆς ἐννοίας ἔχεται καὶ τὸ πάλιν δὲ μεταβαλὼν δεινῶς με ὀλέκεις· μετα-βαλὼν γὰρ ἀπὸ τῆς πρώην εὐδαιμονίας εἰς ἀτιμίαν, εἰ καὶ ἀπὸ δεινῶν εἰς δεινότερα μεταφέρων·

η Πολυχρονίου: Ἀσαφῶς σφόδρα τοῦτο κεῖται παρὰ τῷ ἑλληνικῷ· ἀκριβολογῶν γὰρ τὴν ἔννοιαν ἀπὸ

τῶν ἑβραϊκῶν ἐστὶ λαβεῖν. ἐὰν γὰρ φησὶν ἐν ἀθηνήσω ὡς λέων
θηρεύσεις με. σώζεται δὲ ἐν ἑκατέρῳ ἡ αὐτὴ ἔννοια. ἔστι γὰρ
εἰπεῖν· ὅτι ἐγὼ ὁ δυνατὸς καὶ γαῦρος λέοντος δίκην, τῇ περι-
ούσῃ δόξῃ καὶ ἀφθονίᾳ τοῦ πλούτου, καθάπερ ἀγκίστροις τισὶ
τοῖς δεινοῖς τεθήρευμαι· οὐδεμίαν διάληψιν τῶν παθῶν ἐν-
είσπω: Τουτέστι μετὰ ἀτιμίας εἰς ἀπώλειαν:

Πολυχρονίου: Καὶ ἀπλήστευσάν μοι τὴν προτέραν
εὐημερίαν ἐξαμειψάμενος, εἰς ἐσχάτην μετέστησας συμφοράν:

Ἐπανακαινίζων ἐπ' ἐμὲ τὴν ἔτασίν μου· ὀργῇ δὲ μεγάλῃ
μοι ἐχρήσω· ἐπήγαγες δὲ ἐπ' ἐμὲ πειρατήρια· ἱνατί οὖν
ἐκ κοιλίας με ἐξήγαγες καὶ οὐκ ἀπέθανον:

:: ἀ πειρατίας, θ δυνάμεις: Πολυχρονίου:

Καὶ ἐξέτασίν φησι τῶν ἠκριβωμένων συνεχῶς ἄγεις τοῦτ'
ἐστι διὰ τῶν ἐπ' ἀλλήλων πληγῶν· τοῦτο δὲ τὸ πλήθους καὶ ἑτέ-
-ρους ἐκ τῶν συμφορῶν ἐπάγεσθαι, ἑκάστου ὀνειδίζοντος
ἐπ' ἀσεβείᾳ, καὶ τὰς εὐθύνας ἀπαιτοῦντος: —

Ὀλυμπιοδώρου: Ὀργὴν τὴν τιμωρίαν φησὶ τὴν
μεγάλως αὐτῷ ἐπενηνεγμένην. πειρατήρια δὲ τὰ ἐπι-
σταλευθέντα αὐτῷ κακά. δεήσεως δὲ ἔχεται ταῦτα.
καὶ προσέχουσι ἱκεσίας σὺν ὀδυρμῷ τῷ προσήκοντι:

Πολυχρονίου: Τουτέστι σφοδρᾷ τῇ κατ' ἐμοῦ
ἐχρήσω τιμωρίᾳ: Διδύμου:

Καὶ ταῦτα πάλιν τὸ μέγεθος τῶν θλίψεων ἐμφαίνει· ὅτι
οὐ καταφρονῶν· ἀλλὰ παριστῶν τοῖς φίλοις γνώμῃ ὅτι

ὑπερβάλλουσα αὐτῇ ὀργῇ, οὐχ ὡς ὑπενόουν οἱ διὰ ἁμαρτίας ἐξ-
εἰ συμβάλοιεν αὐτοῦ τὸν βίον. ὀργὴν δὲ ἐνταῦθα οὐ πάθος
ἐκλαβεῖν δεῖ: Πολυχρονίου: Τουτέστιν ἅπασι
μὲν μὴ πρὸς τὸ πάσχειν ἐνδέδωκας: Ὀλυμπιοδώρου:

θ̄ Ταῦτα ὁ ἐκκλησιαστὴς ὕστερον εἶπε, μακαρίζων τὸν ἀποθα-
νόντα ὑπὲρ τὸν ζῶντα, καὶ τὸν μήπω γεννηθέντα ὑπὲρ ἀμ-
φοτέρους. τοιαύτη δὲ περιεστήκει ὁ ἄνθρωπος ὀδυνηρὰ ζωή,
διὰ τὸ μὴ πιστὸς εἶναι παρὰ θεῷ, μὴ δὲ φυλάξαι τὰ θεῖα προ-
στάγματα. ὁ δὲ μακάριος ἐπόθει τὸν θάνατον. οὐ μόνον διὰ
τὰς ἀλγηδόνας· ἀλλ᾽ ὅτι ὀλιγοχρόνιος ἐστί φησιν. εἰ καὶ τοῦ
χρόνου παρατεινομένου ὑπέστρεψεν ἐγκαταλελειμμένος με-
μενηκέναι παρὰ θεοῦ: Διδύμου:

θ̄ Τῶν προσπεσόντων αὐτῷ πειρατηρίων ἐπιμνησθεὶς ἐπὶ τὴν
πρώτην αἰτίαν τῶν παθῶν ἀνατρέχει. τουτέστι τὴν παράβα-
σιν καὶ τὴν ἐκ φθορᾶς γένεσιν. καὶ ὅρα πῶς οὐδαμοῦ μετὰ
κατὰ τῆς προτέρας αὐτοῦ ποιήσεως σχετλιάζει. ἀλλὰ τὸ πει-
ραθῆναι τῆς ἐν βίῳ φθορᾶς ἡγεῖται χαλεπόν. κοιλίας τε καὶ
γαστρὸς μνημονεύων. ἡμεῖς γὰρ ἑαυτοὺς τῇ παραβάσει τὴν
ὀδυνηρὰν ταύτην ὑπεισηγάγομεν ζωήν. τούτοις δὲ ἐξεί-
ργαστο καὶ ἐν τῇ πρώτῃ ῥήσει. καὶ αὖθις νῦν δῆλον δεῖξαι
βουλόμενος, ὡς οὐ μεμπτῶς, οὐδὲ βλασφήμως τῶν δικαίων
ἀλγηδόνων, ἀπαλλαγῆναι ποθεῖ διὰ τοῦ θανάτου. ἀλλ᾽ ἐπεὶ
περιέστρεψεν ἀνακαθάρσεις πολλάκις εἰρήκαμεν παρα-
τεινομένων αὐτῷ τῶν παθῶν. τελείαν ἐγκατάληψιν ὑπο-

μεμενηκυῖαι παρὰ θεοῦ· ἀλλ' ἐπειχθῆναι ἀπαλλαγῆς βασάνων ἀνέσεως· ὅτι δὴ πλέον τοῦ θεοῦ κέκληται· διὸ καὶ τὸ ὀλιγοχρόνιον τῆς ζωῆς εἰς ἱκετείαν προβάλλεται· καὶ οὐκ ἀγνοοῦμεν τὸ τῆς ἀναστάσεως μυστήριον, ὡς καὶ ἐν τοῖς ἑξῆς ἐπιδειξόμεθα· δόγμα δὲ ἐπίστασθαι κάλλιστον· ὅτι ὁ ἅπαξ ἐξελθὼν τοῦ βίου, οὐκέτι εἰς τόνδε τὸν βίον ἐπαναστρέφει, ὡς μυθολογοῦσιν οἱ τὰς μετενσωματώσεις τερατευόμενοι:

Ἵνα τί οὖν ἐκ κοιλίας με ἐξήγαγες καὶ οὐκ ἀπέθανον· ὀφθαλμὸς δέ με οὐκ εἶδεν· καὶ ὥσπερ οὐκ ὢν ἐγενόμην· διὰ γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην· ἢ οὐκ ὀλίγος ἐστὶν ὁ χρόνος τοῦ βίου μου· ἔασόν με ἀναπαύσασθαι μικρόν, πρὸ τοῦ με ἀπελθεῖν ὅθεν οὐκ ἀναστρέψω:

α' β' οὐκ ἀπηνέχθην· ἄλλ. γ' πορευθῆναι:

Ε. Ἵνα γὰρ καὶ μὴ μισθὸν ὑπὲρ ἀγαθοεργίας ἐκομιζόμην· ἀλλ' οὐχὶ πᾶν ταῖς τοσαύταις παλαιόμην βασάνοις: θ

Πολυχρονίου: Τούτοις φησὶ μέλλοντα περιπίπτειν, ἄμεινον ἦν μηδὲ τὴν ἀρχὴν γενέσθαι:

Διδύμου: Τὸν τῆς ἀθανάτου ζωῆς χρόνον ἐννοῶν καὶ τοῦτον συγκρίνων τῇ παρούσῃ ζωῇ φησίν· οὐκ ὀλίγος ἐστὶν ὁ χρόνος τοῦ βίου μου· ἔασόν με ἀναπαύσασθαι μικρόν:

Πολυχρονίου: Ὅλως δὲ γινόμενον ἄνθρωπον φησὶ μὴ ἐδέξατο παραχρῆμα θάνατος:

Τοῦ αὐτοῦ: Τίς γάρ φησιν ἀγνοεῖ, ὡς πρόσκαιροι ὄντες οἱ ἄνθρωποι, βαρὺ νομίζουσιν, ἐν ταλαιπωρίᾳ

ἐξιλάξεσθαι: Ὀλυμπιοδώρου:

Δέδοικε γάρ, μὴ ἐν ἀποστροφῇ τοῦ γεγονώς, εἰς τὸ ἐξώτερον σκότος βληθῇ: Διδύμου: Εὐχῆς τρόπῳ ταῦτα προσφέρει· οὐ γάρ αἱ ἐπικείμεναι ἀνίαι μικραὶ ἐτύγχανον· οὐδὲ ἀναισθήτως ἔφερε τὰς ἀλγηδόνας· τοῦτο γάρ οὐκ ἦν ἀνδρεῖον εἰ οὐκ ᾐσθάνετο· διδάσκει δὲ ὅτι καὶ τὸ δυνάμει ὑπέμεινεν, δι' ὧν ηὔχετο εὐχαρίστως:

Πολυχρονίου: Τοιγαροῦν φησὶν ἐκεχειρίαν μοι τῶν πόνων παράσχου πρὸς καιρὸν ὀλίγον· καὶ εἰσαπόλυσθαι μέλλοντι: Διδύμου: Καὶ ἐν ταῖς ἀλγηδόσι τυγχάνων ὁ ἀνδρειότατος· ἐκηρύττετο περὶ τοῦ μέλλοντος αἰῶνος· οὕτως οὐκ ἂν αἰρῶν ἀνάστασιν ἔλεγεν, πρὸ τοῦ με πορευθῆναι ὅθεν οὐκ ἀναστρέψω:

Εἰς γῆν σκοτεινὴν καὶ γνοφεράν· εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστι φέγγος, οὐδὲ ὁρᾶν ζωὴν βροτῶν.

: ἐ σκεπομένην θανάτῳ: Πολυχρονίου:

Ὁ ἑβραῖος εἰς γῆν σκοτεινὴν ὑπὲρ τὸ σκότος, ἔνθα φησὶν οὐκ ἄνεσίς ἐστιν, ἀλλὰ τελευτὴ τῶν κακῶν: Τοῦ αὐτοῦ:

Καλὰ παράθεσιν ἔδειξε τοῦ θανάτου τὸ βαρύ· ἐνταῦθα μὲν γάρ ἐν νυκτὶ γινόμενος, ἀπαλλαγὴν προσδοκᾷ, ἡμέρας καταλαβούσης· ἐκεῖ δὲ ἀπελθόντα οὐκ ἔνεστιν εἰς τὸν βίον ἀπελθόντα ἐπιστρέψαι, καὶ ἐν σκοτεινοῖς ἔσται:

Τοῦ αὐτοῦ: Αὐτὸ τοῦτο ὅπου τάξεις ἡλίου καὶ ἀστέρων οὐκ ἔνεστιν: Τοῦ αὐτοῦ: Τουτέστι τῶν αἰ—

θεωρῶν τὴν κατάστασιν. ἵνα εἴπῃ οὐδεμίαν καὶ τάξιν πολιτικήν : +

+

+ προθεωρία κεφαλαίου η' :

θ'

+

Ἀπολαβὼν τοῦ Ἰὼβ διαλεχθέντος. σφοδρότερον ὁ Σωφὰρ διακα-
χεῖται· καὶ πρῶτον μὲν ἐπὶ πολυλογίας σκώπτει· εἶτα μέμ-
φεται ὡς εἰρηκότα ὅτι καθαρός καὶ ἄμωμος εἰμί, καὶ
οὐ νενοηκώς τῆς ποίας διαθέσεως ἤθελε κρίνεσθαι πρὸς
θεόν· εἴθε φησὶ τὸν δικαστὴν δικαιολογήσασθαί σοι θεόν·
ἵνα καὶ τὸ τῆς σοφίας αὐτοῦ καὶ τὸ τῆς δυνάμεως γνῷς
ὡς κατ' ἀξίαν σοι ἀπονέμων ἐτιμωρήσατό σε· εἶτα δείξας
τοῦ θεοῦ τὴν δύναμιν τό τε ἄπειρον τὸ ἀτελές. παραινεῖ τὸν
Ἰὼβ εἰς εὐχὴν τραπῆναι καὶ μετανοῆσαι ἐφ' οἷς πρότερον
ἡμάρτηκεν· οὕτω γὰρ ἔσεσθαι αὐτῷ ἵλεων τὸν θεὸν καταστησόμενον·
τῶν τε παρόντων δεινῶν ἔξω γενέσθαι, καὶ τὴν προτέραν
εὐδαιμονίαν ἐπιλαβεῖν : + ÷ ἀπολαβεῖν

+

+

\+ πρώτη τοῦ σωφὰρ πρὸς τὸν ἰὼβ ἀντίρρησις : κε(φάλαιον) η' :

\+

Ὑπολαβὼν (ια) δὲ σωφὰρ ὁ μιναῖος λέγει· ὁ τὰ (ιβ) πολλὰ λέγων, καὶ
ἀντακούσεται· ἢ (ιγ) καὶ ὁ εὔλαλος οἴεται δίκαιος εἶναι· εὐλο- (ιγ)
γημένος γεννητὸς γυναικὸς ὀλιγόβιος:

ια Ὀλυμπιοδώρου: Παραπλησίως τοῖς ἄλλοις καὶ ὁ σωφὰρ
ἐπιφέρεται τῷ ἰώβ, ἢ καὶ σφοδρότερον· ἠγνοήκασι γὰρ ἐ-
πίσης τὴν τοῦ δικαίου διάθεσιν, ἢ περὶ θεοῦ χρώμενος ἐ-
λάλει· διό δὴ καὶ θεῷ συνηγορεῖν οἰόμενοι, θεῷ προσ-
κρούοντες ἔλαθον : Πολυχρονίου:

ιβ Τῷ πλήθει μὲν φησὶ τῶν ῥημάτων νομίσεις νενικηκέναι·
ὥστε ἡμᾶς καὶ ἡσυχίαν ἄγοντας καλεῖσθαι ἐκπεπληγμένους
τῶν λόγων τὰ εὑρήματα· ἴσθι δὲ ὡς ἥκω αὐτὸς ἀποκρι-
νόμενός τε καὶ ἐλέγξων τὸν λόγον : Ἰουλιανοῦ:

ιβ Ὁ γλῶσσαν ἔχων εἰς τὸ λαλεῖν, οὗτος καὶ ἀκοὰς κέκτηται
ιγ εἰς τὸ ἀκούειν : Οὐκ ἐν πλήθει γὰρ λόγων φησὶν
ἡ τοῦ δικαίου κρίνεται φύσις : Πολυχρονίου:

ιγ Καὶ ὡς ἔοικε φησὶ τῷ πλήθει τῶν λόγων, οἴει τοῦ δικαίου
προσιέναι τῇ μοίρᾳ· ἀλλ' ἴσθι ὡς οὐδὲν γενναῖον, οὐδὲ
ἀναντίρρητον ἔφης : Τοῦ ἁγίου Ἰω(άννου):

ιγ Μὴ γὰρ ἐπειδὴ φθέγξασθαι δύνασαι φησὶν ἤδη καὶ δίκαιος

εἰ: Ὀλυμπιοδώρου: Κἂν πολλὰ αὐτῷ φέρωσί φη- ιϛ
σι τὸ εὐλογημένος· αὐτὶ τοῦ πολλάκις ἐὰν καὶ περὶ ἀπληστ-
-ίας εὐλογούμενος ὁ ἐν γυναικὸς ὀλιγόβιος, ἵνα εἴπῃ ὅτι
αὐτὸς ὤν, μὴ δίου ἀναμάρτητος εἶναι· ἢ ὀλιγόβιος λέγει.
τὸν μὴ εἰς πολλὰ παρελκόμενον· ἵνα εἴπῃ, ὅτι οὐ πολλὰ
φλυαρῶν οὐκ εὐλογηθήσει: Ἄλλως: Κεφαλὴν
φησὶν ἀμαρτήματα ὁ τοῦ βίου φαῦλον ἀπαρτιζόμενος·
λέγει δὲ τοῦτο, ἐπεὶ συμμίξων ὥσπερ τὸν Ἰὼβ δικαιοῦντα
ἑαυτόν: Ἰουλιανοῦ: Διὰ τὰς τῶν δε εὐπορούν- ιϛ
τας συμφοράς:

Μὴ πολὺς ἐν γέλωσι γίνου· οὐ γὰρ ἔστιν ὁ ἀντικρινόμενός ιε
σοι· μὴ γὰρ λέγε ὅτι καθαρός εἰμι τοῖς ἔργοις καὶ ἄμεμ-
πτος ἐναντίον αὐτοῦ· ἀλλὰ πῶς ἂν ὁ κύριος λαλήσαι πρός σε,
καὶ διανοίξει χείλη αὐτοῦ μετὰ σοῦ:

∴ ἃ καὶ οὐκέτι ἐκλέξουσι σε: Ὀλυμπιοδώρου:

Ἐπειδὴ γὰρ ἤλπισεν ὁ Ἰὼβ καταστῆναι αὐτῷ εἰς κρίσιν, μὴ ιε
μάτην φησὶ φλυαρεῖν· οὐ γὰρ ἔχεις τὸν ἀντικρινόμενόν
μοι: Πολυχρονίου: Ταῦτα φησὶ σκοπῶν ἡ- ιε
σύχαζε· οὐ γὰρ ἐπαινῶ σε μᾶλλον ἢ μέμφεσθαι ἐξ ὧν
τοῖς ἑαυτὸν κεκοσμημένοις ἐπαίνοις: Ὀλυμπιοδώρου:

Εἴθε γὰρ ἦν φησὶ τὸν θεὸν διαλεχθῆναί σοι, ἵνα μαθὼν τὴν 15
αὐτοῦ σοφίαν, καὶ τὴν κατὰ δικαιοσύνην ὑπεροχὴν,
μηκέτι τολμήσῃς λέγειν, ὅτι καθαρός εἰμι καὶ ἄ-
μεμπτος· ἀλλὰ γνῷς ὅτι τὸ κατ' ἀξίαν ἀπένειμέ σοι

ὁ θεὸς· ἰσομέτρους τοῖς ἁμαρτήμασι τὰς τιμωρίας ἐπα-
γαγών. τὸ δὲ ὅτι διπλοῦς ἔσται τὸ κατὰ σὲ τοῦτο δηλοῖ· πολ-
λή φησίν ἐστιν ἡ ὑπεροχὴ τοῦ θεοῦ, πρὸς τὸν λέγοντα ἑαυτὸν·
ὥσπερ σὺ σοφὸν εἶναι καὶ δίκαιον : τοῦ ἁγίου Ἰω(άννου):
ιϛ Καὶ μὴν αὐτός εἶπεν, ὅτι ἐπ' ἀληθείας οἶδεν ὅτι οὐκ ἔστιν
βροτὸς καθαρὸς ἐναντίον κυρίου· ὁρᾷς πῶς ἐναντία ἐγκα-
ιϛ λοῦσι: Διδύμου: Ὡς πρὸς τὴν ἰδίαν ὑπό-
ληψιν ἀγνοῶν αὐτοῦ τὴν καθαρότητα, τοσοῦτον τινὰ παραι-
νεῖν αὐτῷ πειρᾶται· οἰόμενος ὅτι ἀθέτησίς ἐστι τῆς προ-
νοίας ἡ τούτου τῆς καθαρότητος, καὶ τοῦ ἀμέμπτου ὁμο-
λογία· ᾤοντο γὰρ οἱ φίλοι ὅτι εἰ μὴ ἦν ἁμαρτήσας,
οὐ περιέπεσε ταῖς συμφοραῖς : Πολυχρονίου:
ιϛ Κατηγορείας γάρ φησι τῆς ἐσχάτης ἄξιον τὸ τοῖς τοῦ θεοῦ τὰς
ἑαυτοῦ συγκρίνοντα πράξεις, μαρτυρεῖν ἑαυτῷ δικαιο-
οτε σύνης ἀκρίβειαν : Μὴ ὑπολάβῃς ὅτι λαλεῖ
θεὸς καὶ χειλέων αὐτοῦ ἄνοιξιν ἀνθρωποπαθῶς φημί·
λέγω σοι, ὅτι μὴ λέγε μὲν ὅτι καθαρός εἰμι· ἐνδεί-
κνυε δὲ σεαυτὸν εἰς καθαρότητα. ἢν οὕτως λαλήσει πρὸς
σέ. καὶ ἀνοίξει χείλη αὐτοῦ μετὰ σοῦ· δι' ἀγαθότητα
λαλιὰν δὲ αὐτοῦ. τὴν ἐν διανοίᾳ ἀοράτως γινομένην
ὁμιλίαν ἐκληπτέον:
Εἶτα ἀναγγελεῖ σοι δύναμιν σοφίας· ὅτι διπλοῦς ἔσται τῶν
κατὰ σὲ τῇ εὐνομίᾳ· καὶ τότε γνώσῃ ὅτι ἄξιά σοι ἀ-
πέβη παρὰ κυρίου ὧν ἡμάρτηκας· ἢ ἴχνος κυρίου εὑρήσεις.

ἢ εἰς τὰ ἔσχατα ἀφίκου, ἃ ἐποίησεν ὁ παντοκράτωρ:
:: τὰ ἀπορρήτου σοφίας: :: τὰ μήτι ἐξιχνιασμοῦ:
Διδύμου: Δηλοῖ ὅτι λαλῶν πρὸς σὲ διδάξει σε ὅτι οθ
σοφὸς ταῦτα παραγγέλλει. διακείμενος δὲ ὡς περὶ αὐ-
τοπροσώπως. διδάξει αὐτὸν ὁ θεὸς δηλαδὴ ταῦτα τῶν
ἰὼβ ἐλέγχων. ἔστι μὲν οὖν ἀληθῶς, καταγνῶναι τῷ δυ-
ναμένῳ τῶν μετὰ σοφίας αὐτοῦ καὶ τοῖς οἰκείοις ἐπα-
γωγήν, ὅτι οὐ κατακυρώμενος, ἀλλ' ἴαμα εἰκότως καὶ πρὸς
ὑγείαν ψυχῆς ἐπάγει τὰς θλίψεις: Πολυχρονίου:
Ἐπειδὴ ἔφη τις δεῖν μοι κριθῆναι μετὰ τοῦ θεοῦ φησὶν εἴ- οθ
θε ἐνῆν διαλεχθῆναι τὸν θεόν. καὶ τῆς αὐτοῦ σοφίας τὰ ἀ-
πόρρητα παραστῆσαι τῷ λόγῳ. τοῦτο γὰρ μηνύει τῷ ἀνα-
γγέλει σοι αὐτήν, ἵνα φησὶν ἃ πάλαι ἔκρυψε, ταῦτα νῦν
δῆλα ποιήσας, παράσχῃ συγγνῶναι τῆς τε αὐτοῦ δυνάμεως
καὶ σοφίας τὸ μέγεθος: Εὐαγρίου:
Διπλοῦν εἴρηκε τότε καταληπτὸν τῆς σοφίας αὐτοῦ καὶ τὸ
ἀκατάληπτον. ἢ ὅτι οὐ μόνον ἐν τοῖς αἰσθητοῖς, ἀλλὰ
καὶ ἐν τοῖς νοητοῖς αὐτοῦ ἔργοις θεωρεῖται ἡ σοφία
αὐτοῦ: Διδύμου: Τότε γὰρ ἴσως
φησὶ συνειδὼς ἑαυτοῦ τε καὶ τοῦ θεοῦ τὸ διάφορον, καὶ
ὡς μείζονα ἢ κατὰ τὴν ἑαυτοῦ ἐτόλμησας φύσιν κρί-
νεσθαι πρὸς τὸν δεσπότην ἑλόμενος. ἂν καὶ μηδὲ τῶν
ὑπ' ἄλλου λεγομένων συνιεὶς τὸν λόγον: Τοῦ αὐτοῦ:
Ἔτι τῆς αὐτῆς ἐχόμενος διανοίας, ὡς προσχηματίσαντα

διαλεγόμενος φησίν· ὅτι εἰ λαλήσαι κύριος πρός σε καὶ ἐπιστήσειεν
κατὰ τὴν σοφίαν ἑαυτοῦ· ἐξ ἧς γνοὺς τὴν ὑπεροχὴν
αὐτοῦ, μαθήσῃ ὅτι ἀξία σοι ἀπέβη παρὰ κυρίου ὧν ἡμάρ-
C τηκας: Πολυχρονίου: Σωφρονέστερος κατέστης
ἂν φησὶ τῆς ὀφρύος καταλαβὼν τὴν λόγων γνούς, ἄξιά τε
τῶν ἁμαρτημάτων τὰ πάντα ὑποσχών: Ὀλυμπιοδώρου:
ιζ Ἀνέφικτά σοι φησὶ τὰ τοῦ θεοῦ καὶ τὰς ὁδοὺς αὐτοῦ τῆς προ-
νοίας εὑρεῖν ἀμήχανον· ἢ ἄχρι τέλους τῶν βουλευμάτων
αὐτοῦ φθάσαι ἢ τῶν ποιημάτων: Τοῦ αὐτοῦ:
ιζ Ἀρχὴν ἢ τέλος αὐτοῦ εὑρήσεις. ἔσχατα γὰρ τὰς ἐκβάσεις
ὁ το λέγει. Τοῦ αὐτοῦ: Ἀλλ' ἆρα μὲν ἀρχὴν φη-
σὶν οὐχ εὑρήσεις, μὴ ἄρα δὲ τοῦ τέλους ἐφικέσθαι δυνηθῇς:
ὑψηλὸς ὁ οὐρανός, καὶ τί ποιήσεις· βαθύτερα δὲ τῶν ἐν ᾅδου
τί οἶδας. ἢ μακρότερα μέτρου γῆς, ἢ εὔρους θαλάσσης.
ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ αὐτῷ τί ἐποίησας.
αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων:
∴ ἀντὶ τοῦ ἀμηχανήσεις εὑρεῖν: ∴ διὰ τὰς
ιη πονηρίας τῶν ἀνθρώπων: Ὀλυμπιοδώρου:
Πῶς δ' ἂν ἐφίκοιο φησὶ πόσον ἐστὶ τὸ ὕψος τοῦ οὐρανοῦ· τοῦτο
γὰρ σημαίνει τὸ καὶ τί ποιήσεις. ἀντὶ τοῦ ἀμηχανήσεις εὑρεῖν
ἢ τίνα ἐστὶ τὰ ὑπὸ τὸν ᾅδην· ἢ τίσι περιώρισται μέτροις ἥ τε γῆ
ιη καὶ ἡ θάλασσα: Διδύμου: Δεῖξαι βούλεται διὰ
πάντων τούτων, ὅτι ἡ τῶν ἀνθρώπων γνῶσις μεμετρημένη ἐστὶ μὴ
ἐφικνουμένη τὰ τοῦ θεοῦ κρίματα· καὶ νῦν γὰρ οὕτως φη-

σὺ ἔσῃ, καὶ ᾅδου βαθύτερα· καὶ μακρότερα γῆς καὶ τοῦ
εὔρους τῆς θαλάσσης, λέγεται περὶ αὐτοῦ εἰρῆσθαι· ἢ τάχα
δὲ ἴσως, ὅτι κἂν ἐπιχειρήσῃ τις περὶ γῆς καὶ θαλάσσης καὶ
οὐρανοῦ λαλῆσαι· ἀλλὰ τὰ ὑπὲρ ἐκεῖνα ἀγνοεῖ: πολυχρονίου:
Εἰ τὰ ὁρώμενα φησὶ καὶ ὑπὸ θεοῦ γινόμενα διαφεύγει τὴν ἡμε- ιη
τέραν κατάληψιν· πῶς οὐ τῆς ἐσχάτης πρὸς αὐτὸν τείνειν
τὴν γλῶτταν: Μὴ οἶδας τὰ ὑπεράνω τοῦ οὐρανοῦ, ιη
ἢ τὰ κατὰ γῆς: πολυχρονίου: ἀλλ' οὐδὲ κατὰ ϙ
τὴν γῆν ὅπως γέγονε, καὶ ἐπὶ τίνος ἔστηκε τῆς ἕδρας εἶναι
ἀπαξιονήσαις: τοῦ αὐτοῦ: ἵνα εἴπῃ αὐτὸ ἐ- -σσ
φικτὸς ἂν τῇ φύσει, ἀκατάληπτός ἐστι καὶ εἰς τὴν τῶν κα-
θ' ἕκαστον οἰκονομίαν: διδύμου: καὶ τοῦτο ἀληθῶς -σσ
λέγει, καὶ πρὸς τὸν σκοπὸν βλέπων τοῦ πρέποντα· τίς γὰρ ἀν-
θίσταται τῷ βουλήματι τοῦ θεοῦ, ὅμοιον τούτῳ, μὴ ἐρεῖ
τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως:
διδύμου: σαφὲς δὴ ὅτι δῆλον εἶδε τὸ ἑαυτοῦ δὲ κα- ιθ
τασκευῇ· οἶδε γὰρ φησὶ τὰ τῶν ἀνόμων, μὴ παρορῶν τὰ
πταίσματα. δεικνὺς τοῦ θεοῦ τὸ ἀναπόδραστον:
πολυχρονίου: Ταῦτα φησὶ ποιεῖ τὰς ἑκάστου πρά- ιθ
ξεις ἀκριβῶς εἰδώς, καὶ τῶν γινομένων τὴν αἰτίαν, καὶ
οὐκ ἀνεξέταστα καταλιμπάνει τὰ ἀνθρώπινα, οὔτε τοὺς
ἁμαρτάνοντας τιμωρίας ἐκτὸς ἀφίησι:
Ἰδὼν δὲ ἄτοπα οὐ παρόψεται· ἄνθρωπος δὲ ἄλλως νήχεται λό-
γοις· βροτὸς δὲ γεννητὸς γυναικὸς ἴσα ὄνῳ ἐρημίτῃ· εἰ

καὶ γὰρ σοὶ καθαρὰν ἔθου τὴν καρδίαν σου :

:: ἡ διακλινῆς θεραπεύεται· :: ἔτι γὰρ οὐ αὐτῷ

π εἴρηκε γάρ : Ὀλυμπιοδώρου : Τὰ μὲν κατὰ θεὸν φη-
σὶ τοιαῦτα, οἷα καὶ λογίσασθαι φοβερόν· οἱ δὲ ἄνθρωποι τηνάλλως
πλανῶνται περὶ τὰ θεῖα, καθάπερ καὶ ὄνος ἐν ἐρήμῳ, διέ-
ξοδον τῆς ὁδοῦ οὐκ ἔχων διὰ τὸ ἄβατον· ἢ καὶ ἄλλως, ἐ-
ρωτήματι αἰνιττόμενος τὸν Ἰώβ, ὡς τὰ πρὸς τὸν θεὸν ἀνυπόστα-
τον : Ἰουλιανοῦ : Οὐ γὰρ ἔστι νηχόμενον εἰς πέ-
ρας τῆς θαλάσσης ἐλθεῖν, οὔτε μὴν πᾶσαν τὴν τοῦ θεοῦ γνώμην
λογισμῷ περιλαβεῖν· ὥσπερ οὐδὲ ὄνος εἰς πέρας ἀφι-
κέσθαι τῆς ἐρήμου δύναται : Διδύμου :

π Τὸ τῆς τοῦ θεοῦ γνώσεως ἀσφαλὲς περιβάλλων ταῖς τῶν ἀνθρώπων
ἐπιβολαῖς, νήχεσθαι αὐτοὺς ματαίως φέρειν· ἐρημικῷ
αὐτῷ ὄνῳ παραβάλλειν· διὰ τούτου παριστῶντος σφόδρα
τῶν ἀνθρώπων νωθεῖς, πρὸς τὴν κατάληψιν τῶν κειμένων, ὑ-
περβολικῷ χρώμενος τῷ λόγῳ : Πολυχρονίου :

π Τὰ μὲν κατὰ θεόν φησι τοιαῦτα, οἷα καὶ λογίσασθαι φοβερόν·
οἱ δὲ ἄνθρωποι τηνάλλως πλανῶνται ἐναντία τῇ τοῦ θεοῦ φύσει δοξά-
ζοντες, καὶ οὐδὲν τῶν βοσκημάτων διαφέρουσι· τῶν ἐν πᾶσι
πλέον εἰδότες οὐδέν, ἵνα εἴπῃ ὅτι οὐχ ὡς λογικοὶ συνιᾶσιν
ἀπὸ τῶν ὁρωμένων τοῦ θεοῦ, τήν τε σοφίαν καὶ τὴν δύναμιν·
ἀλλὰ θρεμμάτων δίκην περὶ τὰ παρόντα αἰσθόμενοι· οὐδὲν
ἄξιον λογικῆς φρονοῦσι φύσεως : Ὀλυμπιοδώρου :

πα Οἱ ἰχθύνοι τῶν ῥημάτων ἐνταῦθα ἐπιμελεῖς τυγχάνουσιν.

ὅσα νοῦς τοιοῦτος· εὐτίμοι ποιήσῃ φησί· καθαροῦ σου τὴν καρ-
-δίαν καὶ δεῖξῃ ἐν τῷ τοῦ θεοῦ, καὶ παῦσῃ παρανομιῶν· οὕτω γὰρ
πᾶσαν δυσπραγίαν ἀποδυσάμενος εἰς τὴν προτέραν ἐπα-
νήξεις εὐδαιμονίαν: Ἰουλιανοῦ:

Εἰ δὲ οὐ τὸν δικαστὴν προσκαλεῖται, ἵνα δικάσῃ σοι· βλέπε κα
τὰ κατὰ σαυτόν, ὅπως ἔσῃ καθαρός: Πολυχρονίου:

Σύμβουλον καὶ διδάσκαλον αὐτὸν ἐχέτω, προλέγοντα δή- κα
-θεν αὐτῷ προστάσσει λέγων, καὶ σφόδρα καθαρὸς ἔσῃ· εἰς
εὐχὴν τὰς χεῖρας ἂν ἀνατείνῃς ἀεὶ μὴ παύσῃ ἀπὸ θεοῦ εὐ-
τρεπὴς ἔσο, καὶ τὸ ὑπολειπόμενον ἐν σοὶ φαῦλον, ἀ-
ποθέσθω· ἀλλὰ καὶ ἀδικία ἐν σοὶ μὴ αὐλισθήτω· ὅ
ἐστι καὶ πῶς συμβήσεται ἐν ἀρχῇ τοῦ ἀδικεῖν γενέσθαι
ἐν τῷ βίῳ τούτῳ:

Ὑπτιάζεις δὲ χεῖρας πρὸς αὐτόν· εἰ ἄνομόν τι ἐστὶν ἐν χει-
ρί σου, πόρρω ποίησον αὐτὸ ἀπὸ σοῦ· ἀδικία δὲ ἐν διαί-
τῃ σου μὴ αὐλισθήτω· οὕτω γὰρ ἀναλάμψει σου τὸ πρό-
σωπον, ὥσπερ ὕδωρ καθαρόν· ἐκδύσῃ δὲ ῥύπον καὶ
οὐ μὴ φοβηθήσῃ, καὶ τὸν πόνον ἐπιλήσῃ, ὥσπερ κῦμα
παρελθὸν καὶ οὐ πτοηθήσῃ:

:: ἡ ἐκπέτασις· ἡ ἀπλώσεις πρὸς αὐτὸν τὰς πα-
λάμας σου: :: τουτέστιν ἐν τῇ προσευχῇ πρὸς τοὺς
ποιήσει δέησιν· ::: θ ἐν σκηνῇ σου · ::: γα-
λήνης γεγενημένης: Ὀλυμπιοδώρου:

Μετὰ γὰρ τὸ διειδὲς γενέσθαι τὸ ὕδωρ, οὐκ ἐμφαίνεταί τι

μ

κβ τῆς ὕλης: Πολυχρονίου: Παραδείγματι τὴν ἐ-
πὶ τὸ κρεῖττον ἔδειξε μεταβολήν· ὥσπερ γάρ φησιν οἱ ῥυποῦν-
τὸ σῶμα ἀποπλυνάμενοι, οὐδὲν ἴχνος φέρουσι τῆς προ-
λαβούσης ἀηδίας· οὕτω καὶ αὐτὸς μεταβαλόμενος τοῦ λοιποῦ
τῇ τοῦ θεοῦ προνοίᾳ πάντων ἕξεις τὴν ἀφθονίαν· ὥστε μη-
δὲ μνημονεύειν περιληφθῆναι τῆς παρούσης ταλαιπωρίας·
τὸ οὖν ὥσπερ ὕδωρ καθαρὸν ὡσανεὶ ἀπὸ ὕδατος πεπιεσ-
μένου ἔσῃ λαμπρὸς καὶ ἀκηλίδωτος· τὸ δὲ ἀναλάμψει, αὐ-
τὸ τοῦ ἄγος ἀντ' ἄγου διαχθήσει: Ὀλυμπιοδώρου:
κγ Πρὸς ὃ εἶπεν ὁ Ἰὼβ τὸ ἱκανῶς με ἐν ῥύπῳ ἔβαψας:
, Ἡ δὲ εὐχή σου ὥσπερ ἑωσφόρος· ἐκ δὲ μεσημβρίας ἀνατε-
, λεῖ σοι ζωή· πεποιθὼς δὲ ἔσῃ ὅτι ἔστι σοι ἐλπίς· ἐκ δὲ
, μερίμνης καὶ φροντίδος ἀναφανεῖταί σοι εἰρήνη· ἡσυ-
, χάσεις γὰρ καὶ οὐκ ἔστι ὁ πολεμῶν σε· μεταβαλόμενοι
, δὲ πολλοί σου δεηθήσονται: ∴ ἃ ἐν ἐλπίδι
κοιμηθῆναι: Ὀλυμπιοδώρου:
κδ Ἀντὶ τοῦ καθαρὰ καὶ ἀνύουσα: Τοῦ αὐτοῦ:
Ἡ δὲ μεσημβρίας τουτέστιν ἐκ τοῦ ἐπιτεταμένου καύ-
σωνος· λέγει δὲ τῆς παρούσης θλίψεως: Πολυχρονίου:
κε Μεσημβρίαν τὴν συμφορὰν λέγει, καὶ κατὰ τὸ τῆς γραφῆς
ἔθος· οὕτω καὶ ὁ προφήτης λέγει· ὡς φῶς καὶ σκότος με-
σημβρία· ἀντὶ τοῦ ἔσται ἡ συμφορὰ τοῦ θεοῦ ἡ ἀντίληψις:
κς Ὀλυμπιοδώρου: Καὶ θαρσήσεις ὡς ἔχων εἰς θεὸν
γρ θυ τὴν ἐλπίδα: Φροντίζειν οὖν εἰς θεόν:

Πολυχρονίου:

πολυχρονίου: μεσημβρίαν τὴν συμφορὰν λέγει, ἢ κε
κατὰ τὸ τῆς γραφῆς ἔθος· οὕτω γὰρ καὶ ὁ προφήτης λέγει, ὡς
φῶς καύματος μεσημβρία· ἀντὶ τοῦ ἔσται ἡ συμφορὰ
τοῦ θεοῦ ἡ ἀντίληψις: ὀλυμπιοδώρου:
καὶ θαρρήσεις ὡς ἔχων εἰς θεὸν τὴν ἐλπίδα: ὀλυμπιοδώρου: κϛ
φροντίσεται σου ὁ θεός: πολυχρονίου:
Ἐν γὰρ ἀφθονίᾳ φησὶν ἀγαθῶν γενόμενος, οὐκέτι δείσεις ϛθ
τὴν αὐτῶν πολεμίων ἔφοδον: τοῦ αὐτοῦ:
Καὶ εἰ ταῦτα φησὶ ποιήσειας καὶ τῆς εὐσεβείας ἐπιμελού- θ
-μενος, παύσει ὁ παρανομῶν· καὶ μὴ ἐξ ἀδικίας αὔξειν
τὰ κατὰ τὸν οἶκον σπουδάζεις: ὀλυμπιοδώρου:
Οἱ δὲ νῦν φησὶ πειρώμενοί σε διὰ τὰς συμφορὰς καὶ ἐπεμ- κζ
-βαίνοντες· ὕστερόν σου δεηθήσονται· τότε δὴ τότε καὶ τα-
-κήσονται αὐτῶν οἱ ὀφθαλμοὶ ἐπὶ τῇ σῇ εὐημερίᾳ ὑπὸ
φθόνου δὲ δηλονότι· καὶ ταῦτα μὲν πρὸς ἔλεγχον λεγόμενα
δι' ἁμαρτίας κολαζόμενον, κακῶς ἐλέγετο· οὐδὲ γὰρ ἀπό-
-βλητοι τῶν φίλων τοιοῦτοι οἱ λόγοι· ἐὰν ἔλεγχον ἢ πρόσωπον
τὸ νουθετούμενον καὶ μετὰ τῆς προσηκούσης λέγονται δι-
-αιρέσεως· ὁ δὲ ἰὼβ ὡς μάτην ἀλγεῖ· οὐδὲν μὲν ἑαυτῷ
συνειδώς· ὡς ἀσεβὴς δὲ νουθετούμενος εἰς μετάνοιαν:
διδύμου: ἀπήντησεν ὅτι οἱ πολεμοῦντες παλαι- κζ
-πηλαίου χειρὸν τοῦ αὐτοῦ γεγενημένου ἐγκατελείποντο ὑπὸ
σωτηρίας· δῆλον δὲ ὅτι καὶ ἑαυτοῖς ἀνεπλάσαντο σωτη-
-ρίαν ἡγούμενοι τὴν τῶν πολεμουμένων κάκωσιν, καὶ

καλὰ ψυχὴν καὶ σῶμα: πολυχρονίου:

Ἐπεὶ δὲ τῶν ἐν ἀγαθοῖς ὄντων οἱ ἐν συμφοραῖς ἐξεταζόμενοι, τῆς παρὰ σοῦ ἐπικουρίας τυχεῖν σπουδάζουσι:

Σωτηρία δὲ αὐτοὺς ἀπολείψει· ἡ γὰρ ἐλπὶς αὐτῶν ἀπώλεια· ὀφθαλμοὶ δὲ ἀσεβῶν τακήσονται:

:: ※ α θ σ :: ὀφθαλμοὶ δὲ ἀσεβῶν ἐκλείψουσιν:

Διδύμου: Ἴσως τοὺς πονηροὺς αἰνίττεται καὶ τὴν λύπην αὐτῶν τὴν γινομένην ἐπὶ μεταβολῇ τοῦ ἀνιαροῖς περιπεπτωκότος ὡς διελέγχει: Ὀλυμπιοδώρου:

Ἡ γὰρ ἐλπὶς αὐτῶν τουτέστιν αἱ ἐλπίδες αὐτῶν ἀπολοῦνται καὶ ἐπιτυγχάνονται: πολυχρονίου:

Οὐ γὰρ ἐνδέχεται φησὶ τοὺς παρανόμους πράττειν ἀσφαλῶς: τοῦ αὐτοῦ: Οἱ γὰρ παραβάται φησὶ τῶν θείων νόμων, τοῖς δεινοῖς περιπεπτωκότες, ἐν ὅσῳ μεταβολὴν ἐλπίζουσιν ὑπὸ τῶν συμφορῶν, φθάνουσι διαφθαρῆναι ἢ τινὸς ἀγαθοῦ τυχεῖν:

+

## + προθεωρία κεφαλαίου θ' :

+

Σφοδρότερον τοῦ Σωφὰρ χρησαμένου τοῖς λόγοις καὶ διὰ τῆς τοῦ θεοῦ σοφίας καὶ δυνάμεως πεμφθέντες· τοῦτο μὲν φοβῆσαι τὸν δίκαιον· τοῦτο δὲ καὶ δεῖξαι ὅτι οὐκ ἀδίκως πάσχει ὡς πάσης οὔσης ὡμολογημένης τῆς τοῦ θεοῦ σοφίας καὶ δυνάμεως· χλευάζει ὁ Ἰὼβ τὸν Σωφάρ, ὡς τὰ ὁμολογημένα δι' ἀποδείξεων βουληθέντα κατασκευάσαι· εἶτα καὶ οὗτος μεγαλοπρεπῶς ἐξηγεῖται, τὰ περὶ τῆς τοῦ θεοῦ σοφίας καὶ δυνάμεως· δεικνὺς ὅτι συνετώτερος αὐτῶν ἐστὶ περὶ τὰ θεῖα· καὶ μέμφεται μὲν τοὺς φίλους, ὡς οὐ δυνηθέντας θεραπευτικοὺς λόγους εἰπεῖν· αὐτὸς δὲ ἐπὶ τοῦ δικαίου θεοῦ ὑπέσταλτα λέγει τὰ προσόντα αὐτῷ· σφόδρα θαρρῶν τῇ τοῦ θεοῦ δικαιοκρισίᾳ, καὶ μέμφεται τοὺς φίλους ὡς παρὰ τὸ δίκαιον τὴν ὑπὲρ θεοῦ δικαιολογίαν ἀναλαβοῦσι, καί φησιν ὅτι κἂν μυριάκις δόξητε ὑπὲρ θεοῦ λαλεῖν· λαλεῖτε δὲ μετὰ δόλου καὶ παρὰ τὸ δίκαιον, οὐκ ἀποδέξεται ὑμᾶς ὁ φιλαληθὴς θεός· τὸ δὲ ἐναντίον αὐτὸς πείρας ἐδέετο, ζηλῶν τεύξεσθαι· καὶ ἀποδοὺς ὡς ἀδόλως καὶ καθαρῶς φρονεῖ, μετὰ παρρησίας αὐτῷ διαλεγόμενος καί φησιν, οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι πρὸς

ἀληθῆ θεοῦ καὶ δίκαιον ἐν ἀληθείᾳ φθεγγόμενον· εἶτα
λέγεται καὶ εἰς αἴτησιν πρὸς θεόν· καὶ παρακαλεῖ συγγνώμης
τυχεῖν ἐφ᾽ οἷς ἥμαρτε· καὶ τὸ τῆς φύσεως ἀσθενὲς εἰς ἱκεσίαν
προβάλλεται φάσκων, μὴ ἔχοντα αὐτὸν εἶναι καθαρόν· κἂν μία
ἡμέρα εἰς τὸν βίον παρέλθοι. δείκνυσι δὲ κατὰ παράθεσιν,
ὡς καὶ τῶν φυτῶν ἀσθενέστερός ἐστιν ὁ ἄνθρωπος, καὶ ὡς δίκαιος προ-
φητεύει περὶ συντελείας καὶ ἀναστάσεως· ὡσαύτως δὲ καὶ παρα-
κελεύεται τὸν θεὸν καὶ ποιητήν, φείσασθαι τοῦ ἰδίου δημιουργή-
ματος· καὶ αἰτεῖται μὴ πρὸς ἀκριβεῖς ἐλθεῖν ζητήσεις. τὰ
δὲ πάλιν ἐν τῷ αὐτοῦ προσώπῳ ὑπὲρ πάντων ἐξιλεοῦται τὸν θεόν· οἱ
γὰρ δυνάμενοι τὰ οἰκεῖα ὑποστήσασθαι πρόσωπα, ἐν τῷ
καὶ ὑπὲρ τοῦ κοινοῦ εἶναι τῆς ἀναμαρτησίας τὸν θεὸν αἰτῶν, ὡς
πολλοὺς εὐεργετεῖν δύναται· καὶ οὐχ ἥκιστα ἐκ τῆς ἐνθέου
καὶ ἐναρμονίου τῶν ψαλμῶν μελῳδίας. ἐπιδείξει δὲ πάλιν ποί-
ας ἔχων τὰς περὶ θεοῦ δόξας ὁ μακάριος ἰώβ, καὶ ἐκ ποίας ἀ-
γάπης καὶ καθαρότητος, νῦν παρρησίᾳ διαλέγεται· θαυμάζειν
δὲ ἄξιον, πῶς ἐν τοιαύταις συμφοραῖς καὶ βασάνοις οὐκ ἐξε-
πλάγη, οὐκ ἀπέπεσεν· πῶς οὐδὲν αὐτὸν τῶν ὑπὸ τῶν φίλων ἐνεχθέντων
διέλαθεν, ἀλλὰ καὶ πρὸς ταῦτα ἀπαντᾷ, καὶ δόγματα λέγει· καὶ
ἀξίως θεοῦ τὰς περὶ αὐτοῦ κέκτηται ὑπολήψεις· καὶ τρόπον τινὰ
μὴ ὢν ἐν σαρκί· ἀλλ᾽ ὅλως ὢν ἐν πνεύματι· οὕτως ἐν μέσαις ταῖς
βασάνοις φιλοσοφεῖ :

† Τελευταία τοῦ Ἰὼβ πρὸς τοὺς φίλους διάλεξις· κεφ. θ:

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει· εἶτα ὑμεῖς ἐστὲ ἄνθρωποι· ἢ μεθ' ὑμῶν τελευτήσει σοφία· κἀμοὶ μὲν καρδία καθ' ὑμᾶς ἐστίν:

ἢ σὺν ἡμῖν ἡ τελειότης τῆς σοφίας. οὐ μεταβαίνουσα ἐφ' ἑτέρους: ὀλυμπιοδώρου:

Εἰρωνικῶς φησὶν ὅτι μόνοι ἄνθρωποι ὑπάρχετε· καὶ εἰς ὑμᾶς ἡ πᾶσα τελευτᾷ σοφία, ὡς μηδένα ἕτερον μετέχειν αὐτῆς. ἢ καὶ οὕτως· εἶτα ἐστὲ ἐφ' ὑμῶν εἰπεῖν, ὅτι ἄνθρωποι ἐστὲ τὸ λογικὸν διασώζοντες, ἵνα εἴπῃ ὅτι συνῆτε τῇ τελειότητι σοφίας. ἀλλὰ παρελεύσεσθε. Ταῦτα δὲ λέγει, οὐ κατεπαιρόμενος αὐτῶν. ἀλλ' ἀγχόμενος ἐφ' οἷς παρὰ τὴν ἀλήθειαν λέγουσιν. ἐπάγει γοῦν· κἀμοὶ μὲν καρδία καθ' ὑμᾶς ἐστίν: ὅπως ἑαυτοὺς κρίνοντες ἀνθρώπους, εἰδότες τὸ μεγαλεῖον τοῦ θεοῦ:

πολυχρονίου: Ἐκ τοῦ εἶτα, μή τινα πρὸ ὑμῶν γεγενῆσθαι σοφόν, μηδὲ ἔσεσθαι μεθ' ὑμᾶς. διδύμου: Ἀφαιρεῖν αὐτοῖς βούλεται, ὅτι ἀναπλασμοὺς ἐν τῇ διανοίᾳ ἑαυτῶν ἔχουσι, φάσκων· κἀμοὶ καρδία καθ' ὑμᾶς ἐστίν, καὶ οὐ συμφερόμενος ὑμῖν εἰς τὴν αὐτὴν διάνοιαν. ἢ μὴ νομίζετε ὑπερβαλλόντως νοεῖν· κἀγὼ γὰρ συνίεμι· λογικοῖς γὰρ λογικοῦ οὐ διαφέρει· τῇ δὲ ἐπιβολῇ ἡ διαφορὰ γίνεται.

ἐπικούσατέ μου οἱ ἀποκεχωκότες τὴν καρδίαν· οὐ γὰρ τὴν οἰκίαν,
ἀλλὰ τὴν ἐνέργειαν αὐτῆς· τὴν φαύλην ἀπώλειαν αὐτῆς λέγει:
φο Τοῦ αὐτοῦ. Ἀλλὰ τὴν αὐτὴν ὑμῖν φησὶν ἔχων φύσιν, οὐ
δ' αὐτὸς ἀγνοεῖν τὰ τοιαῦτα δύναμαι: Καὶ μετ' ὀλίγα:
Βούλεται εἰπεῖν ὅτι συνέσει μὲν ὑμῶν οὐ λείπομαι· τῷ δὲ με-
γέθει τῶν κακῶν βεβλημένος πρὸς τὸ λυπορῆσαι πρόκειμαι:
φο Ἰουλιανοῦ: Ἀνὸς γὰρ εἰμὶ κἀγὼ καὶ ἁπλῶς οὐκ ἄπειρος:
Δίκαιος γὰρ ἀνὴρ καὶ ἄμεμπτος ἐγενήθη εἰς χλεύασμα· εἰς
χρόνον γὰρ τακτὸν ἡτοίμαστο πεσεῖν ὑπ' ἄλλους· οἴκους δὲ
αὐτοῦ ἐκπορθεῖσθαι ὑπὸ ἀνόμων: Ὀλυμπιοδώρου:
κθ Ὅμοιον τούτῳ τὸ ἀποστολικόν· ψυχικὸς γὰρ ἀνὸς οὐ δέχεται
τὰ τοῦ πνεύματος τοῦ θεοῦ, μωρία γὰρ αὐτῷ ἐστίν:
κθ Τοῦ ἁγίου Ἰω: Δίκαιον ἑαυτὸν ἐνταῦθα
λέγει, οὐχὶ τὴν τελείαν ἀρετὴν ἑαυτῷ μαρτυρῶν· ἀλλὰ τὸ
μηδένα ἠδικηκέναι, τὸ μηδένα τῶν ἄλλων ἔχειν ἐγκαλεῖν
αὐτῷ· καὶ εἰ ἐγώ φησι μηδὲν ἠδικηκὼς τοιαῦτα πάσχω,
κθ πόσῳ μᾶλλον ὁ πονηρός: Διδύμου: Ὅταν τὰ ἐ-
λάττονα λέγει, ἑαυτῷ αὐτὰ προσάγει· οὐκ ἐπιδεικτικὸς γὰρ
ἑαυτοῦ διαλύσειαν ὑπάρχει· οὐκοῦν οὐ χρεία ἢ τῷ δίκαι-
ῳ καὶ τῷ ἔχοντι τὴν ἀρετὴν τοιαῦτα ἔρχεσθαι λέγει:
κθ Μὴ γλαάθωσαν οἱ δίκαιοι· ἐπὶ τοσοῦτον γὰρ πάσχουσιν· ἐφ' ὅ-
σον ὁ θεὸς βούλεται: Πολυχρονίου:
κθ Καὶ τὸ δὴ πάντων φησὶ δεινότατον, ὅτι εὖ βίους, καὶ οὐ-
δεμίαν ἀφορμὴν πονηρίας παρασχόμενος· ὑπήχησεν ἀ

σαγγίου· Ὀλυμπιοδώρου: Ἐντεῦθεν οἱ εἱμαρμένην λ̄
σχεδιάζοντες φασίν· ὅτι ἰδοὺ καὶ ἡ γραφὴ λέγει ὅτι ἡμᾶς τοῦ αὐτοῦ
παθεῖν· ἀλλ' οὐ τοῦτο ἡ γραφὴ λέγει καὶ γλῶττα· οὐ γὰρ ὑπὸ ἀνά-
γκην τὰ ἡμέτερα· ἀλλ' ὅτι πάντα ἐν μέτρῳ διοικοῦντα τὰ κα-
θ' ἡμᾶς ὁ θεὸς τοῖς τῆς ἑαυτοῦ προνοίας λόγοις· οἶδε καὶ μέχρι
πόσου συμφερόντως δεῖ πάσχειν ἡμᾶς· καὶ κατὰ μέτρον
ἐπάγει τοὺς πειρασμούς: Πολυχρονίου:
Ἀκρίτως φησὶ τοῦτο ὑπὸ τοῦ θεοῦ ὥστε ἐλάττονα με ὀφ- λ̄
θῆναι τῶν πονηρῶν ὑποδεεστέρων: Τοῦ αὐτοῦ:
Τουτέστιν οἶδα ταῦτα κἀγὼ ὥσπερ καὶ ὑμεῖς, ὡς συνειδότα υθ
εἰς θεὸν ἡμαρτηκότα· καὶ δοῦναι δίκην· καὶ δείξας ὡς οὐ-
κ ἀγνοῶ, τὰ παρ' αὐτῶν νοούμενα παρ' αὐτῶν αὐτούς· ἐ-
πάγει· καὶ ὑμεῖς ἐστε σοφοὶ καὶ τὰ ἑξῆς:
Οὐ μὴν[λα] δὲ ἀλλὰ μηδεὶς πεποιθέτω πονηρὸς ὢν ἄνθρωπος
ἔσεσθαι. ὅσοι παροργίζουσι τὸν κύριον, ὡς οὐχὶ καὶ ἔ-
νοχοι αὐτῷ ἔσται. ἀλλὰ[λβ] δὴ ἐπερώτησον τετράποδα ἐάν
σοι εἴπωσι· ἢ πετεινὰ τοῦ οὐρανοῦ ἐάν σοι ἀναγγείλωσι:
:: δῆλον γὰρ τοῦτο φησὶ καὶ ὁμολογημένον·
:: ἢ καὶ φώτισον σοι, ἢ καὶ δηλώσουσι σοι:
Ἰουλιανοῦ: Οἴεσθε δέ με φησὶν ἀγνοεῖν τοὺς τῆς λα
προνοίας λόγους· καίτοι καὶ τούτους οὐκ ἔλαττον ὑμῶν
γινώσκω: Τοῦ αὐτοῦ ἰῶ: Διδάσκει ὅτι λα
καὶ χλευάζει τὶς τὸν δίκαιον καὶ καταδυναστεύει. οὐκ ἔ-
στι ἄνθρωπος καὶ συστήσει αὐτὸν τῷ νοεῖν· παροργίζειν

γὰρ ὁ τοιοῦτος τὸν θεόν· ἔσται γὰρ ἐξέτασις τῶν πραττομένων.
ποῦ αἰνίττεται κρίσιν: Ὀλυμπιοδώρου:
Καὶ πρόδηλον φησὶν ὡς οὐκ ἀτιμώρητος ἡ πονηρία· οὐδὲ
ἀνεξέταστοι μενοῦσιν οἱ τὸν θεὸν παροργίζοντες:
λδ Ὀλυμπιοδώρου: Ἐπειδὴ μέγα ἐκεῖνοι ἐφρόνουν
ὡς τὴν τοῦ θεοῦ ἔχοντες γνῶσιν· τοῦτον καθαιρῶν φησὶν ὅτι πᾶσα
ἡ κτίσις οἶδε τὸν δημιουργόν· ἐπερώτησον γοῦν τὰ ἄλογα
τὰ ἄψυχα. τοῦτο λέγων, πρὸς πλείονα ἐντροπὴν τοῦ Σω-
φάρ, ὅτι καὶ μὴ λαλῶσι μηδὲ φθέγγονται· τῆς γοῦν τοῦ
θεοῦ δυνάμεως ἐπαισθάνονται· καὶ εἰ ἐκεῖνα οὕτω φησί,
πόσῳ γε μᾶλλον, ἄνθρωπος ἔμφυτον ἔχων τὸν λογισμόν. ὥσπερ
ἀμέλει καὶ ὁ λάρυγξ διακριτικός ἐστι τῶν γεύσεων, καὶ τὸ οὖς
τῶν φωνῶν: Εἰ πῶς σοι εἴπωσι καὶ τὰ ἄψυχα· γὰρ διη-
γεῖται δόξαν θεοῦ τῷ φαίνεσθαι οὕτω φθέγγεσθαι:
λδ Τοῦ ἁγίου Ἰω(άννου): Τοῦτο δέ φησιν, οὐ κοινοῖς δῆλον
μόνον, ἀλλὰ καὶ ἀλόγοις καὶ αὐτῇ τῇ ἀναισθήτῳ γῇ. τί τοί-
νυν ὡς μέγα τι θαυμαστὸν εἰσηνέχθης οὕτω διάκεισθαι.
δεῖ γὰρ πάντως τὸν πονηρὸν ἀπολέσθαι· δεῖ γὰρ πάντως.
καὶ οὐδεὶς ἀγνοεῖ καὶ τοῦτο δὲ πάντες ἴσασιν· ὅτι ἐν χειρὶ
αὐτοῦ ψυχὴ πάντων τῶν ζώντων· πάντα γὰρ συνέχει καὶ
λδ διακρατεῖ: Πολυχρονίου: Τίς γάρ φησι τῶν
ἁπάντων ἀγνοεῖ ὅτι δημιουργός ἐστι τῶν ὅλων θεός, καὶ ἀ-
νέφικτος τὴν σοφίαν· τοῦτο γὰρ οὐ κοινοῖς μόνον λο-
γικοῖς γνώρισμα· ἀλλὰ καὶ τοῖς ἀψύχοις δῆλον καθέστηκε.

καὶ ἔστιν δὲ οὐδεμία διάγνωσις, οὔτε παρὰ ἀλόγοις οὔτε παρὰ ἀλλήλοις ὡς ἂν μὴ δοκοίη ματαιοπονεῖσθαι τοῖς λόγοις, προστίθησιν ἀπόδειξιν καὶ φησίν, ὅτι ἐν τῇ χειρὶ αὐτοῦ ψυχὴ πάντων τῶν ζώντων:

Ἐκδιήγησαι δὲ γῇ ἐάν σοι φράσῃ· καὶ ἐξηγήσονταί σοι οἱ ἰχθύες τῆς θαλάσσης. τίς οὐκ ἔγνω ἐν πᾶσι τούτοις. ὅτι χεὶρ κυρίου ἐποίησε ταῦτα· εἰ μὴ ἐν χειρὶ αὐτοῦ ψυχὴ πάντων τῶν ζώντων καὶ πνεῦμα παντὸς ἀνθρώπου· οὓς μὲν γὰρ ῥήματα διακρίνει· λάρυγξ δὲ σῖτα γεύεται. ἐν πολλῷ χρόνῳ σοφία:

:: ἢ ὁμίλησον τῇ γῇ καὶ μηνύσει σοι: :: ὑπερβολικῶς εἶπε. χ ἐπ θ οι γ :: ἀκριβῶς. ἑτοίμως ἔχοντος ποιεῖν ὅ ἂν περὶ ἑκάστου βουλεύσηται:

Εὐαγρίου: Ἐν χειρὶ δικαίων ἐν χειρὶ θεοῦ: ξσ

Πολυχρονίου: Βεβαιοῖ τὰ τῆς παιδεύσεως διδάσκων αὐτούς, ὅτι ὑπὸ τὴν χεῖρα τοῦ θεοῦ πάντα ἐστί, καὶ ἡ ζωὴ τῶν ζώντων καὶ ὁ θάνατος:

Ὥσπερ γὰρ ἐλάβομεν λάρυγγα πρὸς διάκρισιν βρωμάτων καὶ νοῦν εἰς γνῶσιν θεοῦ: Εὐαγρίου:

Νοῦς μὲν γὰρ τὰ νοητά· αἴσθησις δὲ τὰ αἰσθητὰ διακρίνει:

Πολυχρονίου: Ὡς γὰρ κοινὸν φησὶν ἀνθρώπων τὸ τῆς τροφῆς μεταλαμβάνειν· οὕτω κοινὸν καὶ δημιουργὸν τὸν τῶν ὅλων εἰδέναι θεόν: Ὀλυμπιοδώρου:

Ὀλυμπιοδώρου: Παρὰ αὐτοῖς πόνῳ αὐξομένη· παρὰ δὲ θεῷ θελήσει: Τοῦ αὐτοῦ: λγ

λγ Ἐμοὶ δοκεῖ καθάπτεσθαι αὐτῶν· καὶ γὰρ νομίζεται φησὶ τὸ πᾶν εὑρηκέναι· εἰ γὰρ καὶ νοῦν ἔχομεν διακρίνοντα· ἀλλ᾽ ὅμως καὶ χρόνου δεόμεθα πολλοῦ ὥστε εὑρεῖν:

Ἐν δὲ πολλῷ βίῳ ἐπιστήμη· παρ᾽ αὐτῷ σοφία καὶ δύναμις· αὐτῷ βουλὴ καὶ σύνεσις· ἐὰν καταβάλῃ τίς οἰκοδομήσει· ἐὰν κλείσῃ κατὰ ἀνθρώπων τίς ἀνοίξει· ἐὰν κωλύσῃ τὸ ὕδωρ ξηρανεῖ τὴν γῆν : : ἀ εἰς ἄνδρα :

λδ Ὀλυμπιοδώρου: Αὐτὸς γάρ ἐστιν ἡ πηγὴ τῆς σοφίας τε καὶ δυνάμεως, ὅλοις ἄλλοις ταῦτα δίδους:

λδ Πολυχρονίου: Ἀλλὰ τούτων μὲν φησὶ τὴν γνῶσιν, καὶ τὰ τὰ μέγιστα περὶ τοῦ φρονεῖν· πάντες ἄνθρωποι κέκτηνται· τὴν δὲ ἀκριβεστάτην ἐν τῇ κτίσει γνῶσιν· καὶ τὴν κατὰ πάντων δύναμιν ἔχει μόνος θεός : Τοῦ αὐτοῦ:

Καὶ ἅπαντα φησὶν οἰκονομεῖ, οὐκ εἰκασίᾳ καὶ ἀγνοίᾳ τοῦ μέλλοντος· ἀλλ᾽ ἀκριβεστάτην ἑκάστου τὴν γνῶσιν ἔχων:

Τοῦ ἁγίου Ἰω(άννου): Τὸν περὶ προνοίας λόγον ὡς καὶ πρότερον ἐλέχθη, ἠρέμα διασπᾶται τοὺς ἀντιλέγοντας αὐτῷ· εἰ γὰρ καὶ ἐπίπονα· ἀλλά γε ἐν ἀντιτάγμασι περιίσταται· λέγει οὖν, ὅτι τῷ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν· ἔστι γοῦν εὑρεῖν, τοὺς μὲν πενομένους· τοὺς δὲ ἐν πειρασμοῖς· τοὺς δὲ νόσῳ πεπιεσμένους, καὶ ὅλως ἐν διαφόροις συμπτώμασιν ἄλλον καὶ ἄλλον κατηκισμένους καὶ μὴ στένοντας, ἀποδέχεσθαι τὸ κεκριμένον τῇ βουλήσει συμβαίνοιεν :

στο Πολυχρονίου: Ἀπόδειξις φησὶ τῆς δυνάμεως

τὰ πράγματα· εἰ γὰρ τινος θάνατον καταψηφίσηταί τις·
τοῦτον ἐπελθεῖν κωλύειν δύναται: τοῦ αὐτοῦ:

ἃ γὰρ ἂν σπουδάσῃ ποιεῖν καθ' ἡμῶν διὰ τὰς ἡμῶν ἁμαρτίας ρπθ
ἀναντιρρήτως ἐκβήσεται: τοῦ αὐτοῦ:

ἆρα οὖν τὸ ἀποκτεῖναι μὲν βουληθείη· ἐπιδοῦναι δὲ αὐ- ρις
τῷ τὴν ζωὴν κατασκευάσαι· τίς ἀρχὴ παρ' αὐτοῦ θήσασθαι·
καὶ ἡ ἀπόδειξις ἀπὸ τῶν μειζόνων καὶ ὡμολογημένων:

ἐὰν δὲ ἐπαφῇ ἀπώλεσεν αὐτὴν καταστρέψας· παρ' αὐτῷ
καὶ ἰσχύς· διάγων βουλευτὰς αἰχμαλώτους· κριτὰς δὲ γῆς ἐ-
ξέστησε· καθιζάνων βασιλεῖς ἐπὶ θρόνων· καὶ περιέδησε
ζώνῃ ὀσφύας αὐτῶν· θ' καὶ σ' α'·
:: β' ς' ἐξισῶν· ::: ς' καὶ περιζωννύων αὐτοὺς
σχοινίῳ κατὰ λαγόνων: Πολυχρονίου:

συμβαίνει ταῦτα εἰκότως· ἐπειδὴ πάντων δεσπόζων,
ἄφατον ἔχει τὴν δύναμιν: τοῦ ἁγίου Ἰω(άννου):

τὸ εὔλογον τῆς ἀποδείξεως τοῦ ἅπαντα παρ' αὐτοῦ τοῦ θ(εο)ῦ γι-
νομένων, μὴ ἂν ἄλλον δύνασθαι ποιεῖν ἢ αὐτόν· διατοῦτο δι-
δάσκει φάσκων· παρ' αὐτῷ κράτος καὶ ἰσχύς: Πολυχρο(νίου):

τοῦτο οὐχ ὡς αὐτοῖς οἰηθείη περὶ τῶν ἐν πολέμῳ αἰχμαλώτων
γινομένων φησίν· ἀλλὰ περὶ τῶν ἐν ἀπονοίᾳ φρονούντων
μεγάλα· δείξας ἄμαχον τοῦ θ(εο)ῦ τὴν δύναμιν· ἁπάντων
αὐτὸν μείζονα κατὰ σοφίαν δείκνυσι· διαιρεῖ δὲ τὸν λόγον
εἴς τε τοὺς κατὰ τὸν βίον λαμπρούς, καὶ τοὺς ἐν εὐσεβείᾳ
νομιζομένους μεγάλους: τοῦ ἁγίου Ἰω(άννου):

γο Καὶ ταῦτα τῆς προνοίας ἔργα· καὶ γὰρ τῷ θελήματι καὶ
τῇ κρίσει· καὶ δουλεύουσι αἰχμάλωτοι διάγοντες, καὶ κρίνει με-
θιστάντες: Διάφορον δουλεύειν αἰχμαλώτους· ὁμοῦ α-
κύλας ἀφρόνων συμβούλους λάφυρα φησίν· ὁ δὲ σύμμαχος βου-
λε λευτικοὺς εἰς ἀβουλίαν: Ὀλυμπιοδώρου:
Κρίνας γὰρ τοὺς δικαστικοὺς λέγει: Καὶ τοὺς μέγα φρο-
νοῦντας ἐν κρίσει· καὶ δὲ τῷ θεῷ ἀνατιθέντας τῆς συνέσεως
τὴν αἰτίαν σφάλλει: Ἀλλὰ καὶ αὐτὴ τοῦ θεοῦ
ἐξουσία τὸ ἀνάθεμα χωρὶς αὐτοῦ βασιλεύουσιν:
λϛ Ὀλυμπιοδώρου: Ἀντὶ τοῦ καὶ μεταβάλλων αὐτὴν
εἰς οἰκέτας:
Ἐξαποστέλλων ἱερεῖς αἰχμαλώτους· διώξας δὲ γῆς κατέ-
στρεψεν· διαλλάσσων χείλη πιστῶν· σύνεσιν δὲ πρεσβυ-
τέρων ἔγνω· ἐκχέων ἀτιμίαν ἐπ' ἄρχοντας· ταπεινοὺς δὲ
ἰάσατο· ἀνακαλύπτων βαθέα ἐκ σκότους:
ἀ λήψεται: Ὀλυμπιοδώρου:
λξ Καὶ τούτοις ἄλλοις φησὶ τὰ παράδοξα εἰσηγουμένους πρὸς τὴν
ἑαυτοῦ ἀκρίβειαν, ἵνα μὴ οἱ ἀποφαίνωνται: Διδύμου:
Εἰ μὲν τοὺς ἐν κόσμῳ ἀρχομένους τῷ πράγματι λέγοι δηλοῖ ὅτι
οὐδὲ ἐκείνων φείδεται παρ' οὗ καλοῦνται· εἰ δὲ τοὺς εἰς δεσμὰ
ἀρχομένους σημαίνει, καὶ τούτους πολλάκις, ὡς τοὺς περὶ τοῦ
Δανιήλ, καὶ Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ εἰς τὴν αἰχμαλωσίαν
ἐξαποστέλλει θεός, διὰ τὸ χρήσιμον τοῦ λοιποῦ πλήθους· ὅθεν
γὰρ ἐφ' οἷς ἔπραττον· οὗτοι οὐκ ἦσαν ἄξιοι αἰχμαλωσίαν ὑ-

ποσῆναι : Ὀλυμπιοδώρου : Καὶ οἱ μέγιστοι παρὰ λη
αὐτοῖς εἰς οὐδὲν αὐτῷ εἰσίν : τοῦ αὐτοῦ :
Ὅμοιον τῷ πρὸ αὐτοῦ καὶ κρίνας δὲ γῆς ἐξέστησεν : ἄλλο : λη
Διαλλάσσων χείλη πιστῶν ὁ σύμμαχος φησί· παραλλάσσων
χείλη ἀσχημόνων· δηλοῖ δὲ ὅτι τοὺς πρὸς αὐτὸν τῇ πίστει
ἀπλανῶς προσέχοντας τῆς πλάνης παραλλάσσων προσάξει
τῇ ἀληθείᾳ : Μὴ πολλῷ χρόνῳ ἔγνωσαν πόθεν
καὶ ἐστὶ τὶς ὤν· καὶ ὅτι οὐδὲν αὐτὸν λανθάνει :
Ὀλυμπιοδώρου : Ταῦτα μάλιστα τοῦ θεοῦ δείκνυσιν μ
θαυμαστὸν τὰ παρὰ προσδοκίαν τοῖς αὐτοῖς ἀπαντῶντα :
Ὅμοιον τοῦτο καθεῖλε δυνάστας ἀπὸ θρόνου καὶ ὕψωσε τα- μ
πεινούς : Ὀλυμπιοδώρου : Πρὸς μὲν τὸ ῥητὸν μα
ὁ κατὰ πᾶσιν ἄδηλα φησὶ φανεροποιῶν, καὶ τοὺς ἐν κιν-
δύνοις καὶ πλησίον ὄντας θανάτου διασώζων· σκιὰν γὰρ
θανάτου τὸν κίνδυνον φησί· πρὸς δὲ διάνοιαν ἔοικε προ-
φητικῶς, τὴν τοῦ θεοῦ παρουσίαν καταγγέλλειν· ὃς ἤδη τοῖς ἐν
σκότοις ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύφθητε·
καὶ ἐπέφανε τοῖς ἐν σκότει, καὶ σκιᾷ θανάτου καθημένοις :
Ἐξήγαγε δὲ εἰς φῶς σκιὰν θανάτου· πλανῶν ἔθνη, καὶ
ἀπολλύων αὐτά· καταστρωννύων ἔθνη καὶ καθοδηγῶν αὐτά·
διαλλάσσων καρδίας ἀρχόντων γῆς· ἐπλάνησε δὲ αὐτοὺς
ὁδῷ ᾗ οὐκ ᾔδεισαν : ※ ἐν β οἱ
β ※ : τὰ σχήματα τῶν δαιμόνων λέγει :
: διανοίας : Ὀλυμπιοδώρου :

μα Τοῦτο ἐποίησε τοῖς ἰσραηλίταις· τοὺς μὲν ἐξελθόντας ἐξ αἰ-
γύπτου καὶ ἀπειθήσαντας πλανήσας· ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρή-
-μῳ· τοὺς δὲ τούτων υἱούς, καθοδηγήσας εἰς τὴν γῆν τῆς ἐπαγγελίας:

μβ Πολυχρονίου: Καὶ ἐν πολέμῳ δέ φησιν βοηθεῖς,
εἰς φυγὴν τρέπει τὸ πλῆθος, καὶ ὑπὸ δειλίας πλανᾶσθαι
παρασκευάζει· τὸ πρότερον μὲν ἐπὶ χαναναίων γεγένηται·
τελευταῖον δὲ ἐπὶ ἰουδαίων ἡμαρτηκότων εἰς θν̄: Τοῦ αὐτοῦ:

⊘ Καὶ κἂν καί φησι καὶ κολάζων καὶ τὴν δεξιὰν τῶν πολεμίων ἐμ-
πρόσθεν παρασκευάζων· τὸ γὰρ καθοδηγῶν· οἱονεὶ κατὰ γῆς ἐρ-
⊘ ρίφθαι ἐῶν κεῖσθαι εἰς: Κατασεισμοῦ αὐτοῦ τοῦ

μγ ἐξομαλίζων: Ὀλυμπιοδώρου: Τὸ διαρπάσων
φησὶν ἀντὶ τοῦ παραλγέσων· τὸ δὲ ψηλαφήσαι ἂν καὶ πλανη-
θῆναι· οὐ κυριολεκτικῶς λέγει· ἀλλὰ τὸ συμβαῖνον· ὅμοιον δὲ
καὶ ἐν ψαλμοῖς εἴρηται· ἀθετεῖ δὲ λογισμοὺς λαῶν· καὶ
ἀθετεῖ βουλὰς ἀρχόντων· ὁ μέντοι θεοδοτίων· τὸ διαρπά-
σων μεθιστῶν φησίν· ὁ δὲ ἀκύλας ἀφείσησιν· καὶ ὁ σύμμαχος
παραλγέσων· εἰς μίαν οἱ τρεῖς συνερχόμενοι ἔννοιαν:

ϛ Πολυχρονίου: Οὐ μόνον τοὺς πολλοὺς εἰς φυγὴν
τρέπει· ἀλλὰ καὶ τοὺς ἀνδρείους καὶ τῶν λοιπῶν ἀρχὴν ποιοῦν-
-τας· οἷον δὴ καὶ ἐπὶ τοῦ σεδεκίου γεγένηται· οὐδ᾽ ἀντιτάξασθαι
[illegible] τῷ βαρβάρῳ δυνηθέντος, ἀλλὰ διαδράντος, καὶ πρὸς
τὴν ἔφοδον μόνην· μέμνηται δὲ τούτων, οὐχ ὡς προφητευ-
θέντων· ἀλλ᾽ ὡς δυναμένων ἐπὶ πραγμάτων ἁρμοσθῆναι
τῶν εἰρημένων· καὶ τὰ τούτοις φθέγγεται ἐξ ἀνάγκης σύμ-

-βαίνοντα ὑποδηγούμενος φησίν:

Ψηλαφήσαισαν σκότος καὶ μὴ φῶς, πλανηθείησαν δὲ ὥσπερ
ὁ μεθύων. ἰδοὺ ταῦτα ἑώρακέ μου ὁ ὀφθαλμός, καὶ
ἀκήκοέ μου τὸ οὖς· καὶ οἶδα ὅτι καὶ ὑμεῖς ἐπίστασθε·
καὶ οὐκ ἀσυνετώτερός εἰμι ὑμῶν· οὐ μὴν δὲ ἀλλ᾿ ἐγὼ πρὸς
κύριον λαλήσω: Πολυχρονίου:

Καὶ οὐδέν φησιν οἱ τοιοῦτοι διαλλάττουσι τῶν ἐν ζοφερῷ σκό-
τει ἀφαιρουμένων πρὸς τὴν τῶν προκειμένων πρᾶξιν:
αἱ ὑπὸ τοῦ μεγέθους τῶν συμφορῶν· οὐδὲν τῶν ὑπὸ κραιπάλης
περιφερομένων διοίσουσιν: Ὀλυμπιοδώρου:

Ταῦτά φησι καὶ αὐτῇ πείρᾳ ἔγνων, καὶ λεγόντων ἑτέρων ἤ-
κουσα, καὶ οὐδὲν ὑμῶν εἰμὶ περὶ ἀλλὰ ἀσυνετώτερος:

Εὐαγρίου: Καὶ πεῖραν καὶ διδαχὴν παρείληφα ταῦτα:
ὀφθαλμὸς ὁ τῆς διανοίας δηλονότι: Πολυχρονίου:

Ταῦτά φησι περὶ θεοῦ ἐπαιδεύθην, καὶ ἐν τῶν πραγμάτων
κατέλαβον: Τοῦ αὐτοῦ: Καὶ εἰ τῇ ἡλικίᾳ
φησὶν ἐλάττων ὑμῶν εἶναι δοκῶ· ἀλλὰ καὶ οὐδὲν εἰς σύνε-
-σιν λείπομαι· καὶ οὐχ ἥκιστα εἰς τὴν τῶν θείων εἴδησιν:

Ὀλυμπιοδώρου: Ὁρᾷς ὡς ἐπὶ τοῦ δικαίου κρι-
-τοῦ, καὶ τοῦ τῶν ψυχῶν ἰατροῦ βούλεται τὰ κατ᾿ ἑαυτὸν ἐξετα-
σθῆναι· θαρρῶν τῇ τοῦ θεοῦ δικαιοκρισίᾳ, ὡς τῶν φίλων καὶ
σφαλλομένων· καὶ αὐτῇ τῇ ἐμπειρίᾳ φαρμάκων καὶ λόγων πα-
ρακλήσεως ἐπιλειπόντων αὐτῷ τὸ πρᾶγμα: Διδύμου:

Αἰτιασάμενος αὐτοὺς ὡς σφαλλομένους φησίν, ὅτι πρὸς κύριον

ταχ' ὅσω τὸ ἀπαρρησίαστον ἑαυτοῦ δεικνύς· τὸ δὲ ἐλέγξω ἐναντίον αὐτοῦ· ἀντὶ τοῦ ἀποδείκνυμι τὰ κατ' ἐμαυτὸν εἰ καὶ ὑπὸ θεοῦ ἤθελον· οἶδα γὰρ ὅτι αὐτὸς τὴν αἰτίαν τῆς κακώσεως ἐπίσταται· ὅμοιον τοῦτο, τὸ ἄρτι γὰρ ἀκούσω ἐπίθω· καὶ τὸ οὐδὲ ἀνακρίνων με ἐκ σοῦ:

Ἐλέγξω δὲ ἐναντίον αὐτοῦ ἐὰν βούληται· ὑμεῖς δέ ἐστε ἰατροὶ ἄδικοι, καὶ ἰαταὶ κακῶν πάντες· εἴη δὲ ὑμῖν κωφεῦσαι· καὶ ἀποβήσεται ὑμῖν εἰς σοφίαν:

:· ἐὰν θέλῃ ἐλέγχω ὑμᾶς· :: προστίθεσθαι ψεύσματι· ::: ※ σ καὶ ἰατροὶ ἐπίπλαστοι μου κατασκευάζοντες ἄλγη· ::: σ καὶ νομισθήσεσθε φρόνιμοι· συνετὸν γὰρ τὸν ἑαυτὸν ποιήσας δόξῃ φρόνιμος εἶναι:

μη Ὀλυμπιοδώρου: Ἀλλ' ἐὰν δὲ ἐπιτρέψῃς μοι, αὐτοῦ δικάζοντος ἐλέγξω ὑμᾶς ψευδομένους· οἱ τὰς νόσους τῶν καμνόντων ἐπιτρίβετε ψευδόμενοι καὶ τῆς παρουσίας τὴν ἐπαγγελίαν: Πολυχρονίου:

μη Ἀλλὰ καὶ τῆς πρὸς ὑμᾶς φησὶν ἀμίλλαν παρήσω· εἰ δὲ θεὸς βούλοιτο κρίνειν τὰς ἐμὰς πράξεις, ὑποστήσομαι τὴν

θθ δικαιολογίαν: Διδύμου: Ἄδικος ἰατρός ἐστι κατὰ τὸ πρόχειρον, ὁ ἅμα βοηθήματα πρὸς τὰ συμφέροντα προσάγων τοῖς κάμνουσι· δῆλος δὲ γίνεται τοῦτο ἢ ἐξ ἀπειρίας τοῦ ἰατροῦ, ἢ κακοηθείας· οὗτοι δὲ οἱ λυπούμενοι ἔλεγον ἐξ ἀμαθίας μᾶλλον, ἢ ἐκ κακουργίας τῷ Ἰώβ· ὅτι δι' ἁμαρτήματα πάσχεις· οἰόμενοι παρακλῆσε

προσάγειν λόγους· ἄδικοι οὖν κατὰ τὸ ἀγνοεῖν τὴν ἀλήθειαν. τὸ δὲ ἰαταὶ κακῶν πάντες· ἐπὶ τῶν λεγόντων κατὰ τῶν οἰομένων μεγάλα περὶ ἑαυτῶν, ὡς δυναμένων ἰᾶσθαι τὰ περιστατικῶς ἑτέροις συμβαίνοντα: Πολυχρονίου:

Τὸ γὰρ πρὸς ὑμᾶς φησὶ διαλέγεσθαι παρέλκον· οἱ γὰρ ἐπὶ θεραπείας ἀφικόμενοι, ἐπιπλοῦντες τὰ βέλη χείρω ποιοῦσι τοῦ πάθους, τὴν αὐτῶν πόνων ἐπίτασιν ἐργάζεται, τοὺς ἰδιώτας τῶν ἰατρῶν μιμούμενοι οἱ τὴν διὰ τῶν φαρμάκων θεραπείαν καταλιπόντες· ἐπιτείνουσιν ἀνοήτως τοῦ ἀρρώστου τὰ τραύματα: Τοῦ ἁγίου Ἰω(άννου): Ὅταν γάρ τις τὰ μὴ λόγον ἔχοντα φθέγγηται, βέλτιον σιγᾶν, καὶ σιωπῶν μᾶλλον ἔσται σοφὸς ἢ λέγων: Πολυχρονίου:

Ἄμεινον φησὶν ὑμῖν ἦν τὸ σιγᾶν, τοῦ οὕτω λαλεῖν· μᾶλλον γὰρ ἂν συνέσεως ἀπηνέγκασθε δόξαν· ἵνα εἴπῃ ὡς ἀνόητοι παραπλοῦντες τοῦ παρακλήσεως δεόμενον:

Ἀκούσατε ἔλεγχον στόματός μου· κρίσιν δὲ χειλέων μου προσέχετε· πότερον οὐ κατέναντι κυρίου λαλεῖτε· ἔναντι δὲ αὐτοῦ φθέγγεσθε δόλον· ἢ ὑποστελεῖσθε·
ἦ ἄρα ὑπεξελοῦ θεοῦ· ἐναντίον τῷ θεῷ·
ἄρα δύνασθε κρύψαι αὐτόν· ἢ πρόσωπον αὐτοῦ λαμβάνεται: Πολυχρονίου:

Προσέχετε φησὶ τοῦ νοῦ τοῖς κατὰ παρρησίαν λεχθησομένοις: Διδύμου: Στόμα καὶ χείλη, ἀντὶ τοῦ λόγου φησίν· ἐλύπει δὲ ὁ ἅγιος ὡς ἅγιος, ἐκρίνει ὡς πρέπει αὐτῷ, ἐπεί-

-ρμονικῶς καὶ νομίμως χρῆται τοῦ ἐλέγχου καὶ τῇ κρίσει· οὐ γὰρ
ἄπειρον ἔλεγχον ἔχει ὁ δίκαιος, οὐ ψευδῶς τοῦτο ποιεῖ, ἀλλὰ
κεκριμένως· στόμα γὰρ δικαίου μελετήσει σοφίαν, καὶ
ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν
καρδίᾳ αὐτοῦ· καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα
μζ αὐτοῦ: Περὶ τῶν αὐτοῦ δημολογιῶν:
δ Ὀλυμπιοδώρου: Ἐπιγνοῦτε φησὶν ὅτι θεὸς ἐπα-
κούει τῶν λόγων ὑμῶν· πῶς οὖν τολμᾶτε εἰς ὑπόκρισιν αὐτὸν
παρὰ τὸ ἀληθὲς φθέγγεσθαι· ἠλέγξατε αὐτὸν ἑαυτοὺς γνῶντες
φησίν· ἐπίστασθε δὲ ὡς πανταχοῦ μέμφεται τὸ ψεῦδος ὁ δί-
καιος· κἂν ὑπὲρ θεοῦ τις λέγειν δοκεῖ· διόπερ αὐτὸς ἀφρονεῖ
ζῶν ἀλήθειαν καὶ μετὰ παρρησίας διαλέγεται ἐφ' ᾧ καὶ
θεὸς ἀποδέχεται αὐτόν, αὐτὸς ὢν ἡ ἀλήθεια:
μζ Διδύμου: Ἀπαγγέλλεται τοῦ ἐλέγχου διδάσκων αὐ-
τούς· ὅτι ἐὰν ὃ προφέρουσιν· ὀρθῶς τοῦ θεοῦ φθέγγονται·
ἀλλὰ καὶ τοῦ δόλου ὡς κατέναντι αὐτοῦ προφερόμενον αὐ-
-τοῖς ἀπαγγέλλει διορθώσεως ἕνεκεν· ἵνα παύσωνται τῆς
τοιαύτης διαθέσεως, ὡς ἔχοντες τὸν ἐφορῶντα θεόν:
μζ Πολυχρονίου: Σκοπεῖτε φησὶ τὰ καθ' ἑαυτοὺς ὑμεῖς
οἱ δοκοῦντες θεῷ συνηγορεῖν· εἰ μὴ τὰ ἐναντία τοῖς λόγοις
τῇ γνώμῃ ψηφίζεσθε· ἀλλὰ μὲν περὶ ἐμοῦ εἴποντες· ἔλεγχα
δὲ καταψευδόμενοι· τὸ γὰρ ἐναντίον κυρίου λαλεῖτε· ὡς δὲ ὑ-
πὲρ θεοῦ λαλεῖτε ἀδίκως· τὸ δὲ ἐναντίον αὐτοῦ φθέγγεσθε
δόλον, ἀντὶ τοῦ σχηματιζόμενοι τὸ ἀληθές, διὰ τὸ ἀξιόπι-

ςον τῆς θείας φύσεως· δόλον γὰρ τὴν ὑπόκρισιν ἐκάλεσεν:

ὑμεῖς δὲ αὐτοὶ κριταὶ γένεσθε· καλόν γε ἐὰν ἐξιχνιάσῃ ὑμᾶς·
εἰ γὰρ τὰ πάντα ποιοῦντες προστεθήσεσθε αὐτῷ, οὐδὲν τι
ἧττον ἐλέγξει ὑμᾶς· εἰ δὲ καὶ κρυφῇ πρόσωπα θαυμάσετε:
:: μή τι ἀγαθόν· συμφέρει μοι γὰρ τὸ ἐξετασθῆναι ἐμέ:

Ὀλυμπιοδώρου: Ἀλλ' ὑμεῖς φησὶ κρίνατε εἰ μὴ ἀληθῆ λέγω· ὅτι ἐὰν τὰ καθ' ἡμᾶς ἀναζητήσῃ θεός· κἂν μυριάκις ὑπὲρ αὐτοῦ λαλεῖν δοκῆτε, ἐλέγξει ψευδομένους, οὐδὲν τῆς ἀληθείας ποιουμένους προτιμότερον: μη

Πολυχρονίου: Μὴ ἐπειδή φησιν ὡς κριταὶ καθέζεσθε τῷ θεῷ πρὸς χάριν λέγετε· τὸ δὲ ὑποστελεῖσθε ὁ ἑβραῖος συσωπᾶσθαι λέγει: μη

Τοῦ αὐτοῦ: Ἀλλ' εἰ καὶ ταύτην φησὶν ἔχετε τὴν γνώμην, ἀκριβῶς τὰ καθ' ὑμᾶς ἐξετάσας: σο

Διδύμου: Καὶ πάντα ποιήσαντες, ἃ δεῖ ποιεῖν προστεθήσεσθε αὐτῷ· ψ
ἀντὶ τοῦ οἰκεῖοι αὐτοῦ καταστῆτε ὑποκεῖσθαι πάλιν ἐλέγχῳ ἠγνοημένα· τοῦτο γοῦν ὁ μακάριος ἀπόστολος ἔλεγεν· οὐδὲν ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι:

Πολυχρονίου: Εἰ καὶ πολλὰ πλασσόμενα τῶν εἰρημένων δόξητε λέγειν περὶ θεοῦ, ἀδέκαστος ὢν τὴν κρίσιν· οἴσει τὴν καθ' ὑμῶν ψῆφον· ἐλέγχων τῆς γνώμης τὸ ὕπουλον· τὸ δὲ οὐδὲν ἧττον· ἀντὶ τοῦ οὐδὲν ἔλαττον ἢ εἰ καὶ ἄλλου ἐλέγετο. ψ

Καὶ περὶ τούτων πρὸς χάριν ἀφέξετε αὐτῷ: σο

Ὀλυμπιοδώρου: Ἀντὶ τοῦ εἰ δὲ μθ

καὶ κρυφῇ πρόσωπα θαυμάσετε, μὴ κρυφῇ προσωπάσθε αὐτῷ
συνσωπήσεσθε ὡς σύμμαχος ἐκδέδωκεν. ὁ δὲ νοῦς τοιοῦτός
ἐστιν. εἰ δὲ καὶ χαριζόμενοι φησὶ τῷ θεῷ, καὶ ὥσπερ αἰδούμενοι
αὐτοῦ τὸ πρόσωπον κρυφίως λαλεῖτε. ἄλλα μὲν ἔχοντες κατὰ
διάνοιαν. ἕτερα δὲ φθεγγόμενοι. ἆρα οὐχ ἡ σύνεσις καὶ
ἡ αἴσθησις. τοῦτο γάρ ἐστιν ἡ δεινὰ αὐτοῦ περιτρέψει ὑμᾶς καὶ
φοβήσει καὶ ἡ μεγαλαυχία ὑμῶν, ἀποδειχθήσεται οὐδὲν ἕ-
τερον, ἢ σποδός. καὶ ὅτι οὐδὲν ἄλλο ἢ πηλὸς τυγχάνετε. αὐτί
τοῦ τί ἀλαζονεύεσθε σποδὸς ὄντες καὶ πηλός, αὐτὸς ὑπάρχοντες
συμφορῶν. καὶ οὐδὲ τὸ σφαλερὸν τῶν ἐμῶν παθῶν ὑπομεῖ-
ναι δυνάμενοι: Εἰ δὲ καὶ κρυφῇ πρό-
σωπα θαυμάσετε. πότερον οὐχὶ ἡ δεινὰ αὐτοῦ στροβήσει ὑ-
μᾶς. φόβος δὲ παρ' αὐτοῦ ἐπιπεσεῖται ὑμῖν. ἀποβήσεται
δὲ ὑμῶν τὸ ἀγαυρίαμα ἴσον σποδῷ:

∴ ἢ μὴ οὐχὶ ἡ κίνησις αὐτοῦ πτοήσει ὑμᾶς.

:: οἱ δὲ μνημόσυνον : Διδύμου:

μθ Ὁ ἄριστος κριτής, πραγμάτων ἐστὶν ἐξεταστής, οὐ κατὰ πρόσωπον
βλέπει τῶν κρινομένων. ἐὰν γὰρ ὦσιν οἱ κρινόμενοι πλούσιοι
ἢ ἄρχοντες, ἢ ἄλλην ὑπερέχοντες ἀξίαν, οὐ κατὰ τὸ πρόσωπον
αὐτῶν σκοπεῖ, ἀλλ' εἰς τὰς πράξεις ἀποκρίνει: καὶ
μετ' ὀλίγα: Οὔτε γὰρ πλουσίω προσωπεῖσθαι δεῖ.
οὔτε πένητος τὴν ἔνδειαν ἐλεοῦντας παρορᾶν τὸ δίκαιον.
ἔργον δὲ ὀρθοῦ κριτοῦ τυγχάνει, καθάπερ καὶ τῇ πρεί-
τοῦ σάλ ἰσορροπία παραδέδοται. ἵνα μετὰ τὰς κρίσεις καὶ

ἐκβάσεις

ἐμβάσεις τῶν πραγμάτων, εἰ συμβαίη πένητα εἶναι ἢ τὸν ἀγνοήσαντα τὸ δίκαιον, ἢ ἀδικοῦντα παρακαλεῖν τὸν πλούσιον, ὥστε φιλανθρωπίαν ἐνδείξασθαι, ἑτοιμότερος δὲ ἔσται πρὸς τοῦτο, τὴν ὀξύτητα τοῦ κριτοῦ ἀποδεχόμενος:

Πολυζηνίου: Τὸ φοβερὸν ἐπιδείκνυσι τοῦ θεοῦ συντόμως κἀκείνους φοβήσας, καὶ ὑπὲρ ἑαυτοῦ ἀπολογησάμενος· εἰ γὰρ καὶ ὑμῶν φησὶν ἀγανακτήσας ἀποστρέψῃ τὸ πρόσωπον· εἴσεσθε ὑμῶν οὐδὲν οὖσαν τὴν μεγαλαυχίαν· οὕτω γὰρ ὁ ἑβραῖος φησίν, ἐὰν ἀποστρέψῃ τὸ πρόσωπον αὐτοῦ, ταραχθήσεσθε, καὶ ἔμφασιν διδάσκων ὡς τὸ συμφορῶν τὸ μέγεθος ἀρκοῦσα ἀπολογία τῆς τελευτῆτος τῶν ἐγκλημάτων γίνεται: Τοῦ αὐτοῦ:

Ἐὰν δὲ ὑμῖν καὶ ἀπειλήσῃ φησίν, εἴσεσθε ὡς οὐ μόνον τὴν παροῦσαν φιλοσοφίαν, καὶ τὴν ἐπὶ τῷ καρτερεῖν παραίνεσιν ἀποστρέψεται, ἀλλὰ καὶ ἐπιμέμψεσθε τῷ δέει· ἵνα εἴπῃ νῦν τέλος οὔτε συμφορῶν· ἀσύγγνωστοι πρὸς τὰ ἐπενεχθέντα μοι δεινὰ καθεστήκατε· οὐδὲ τὸ ποσὸν τῶν πληγῶν ὑπομεῖναι δυνάμενοι: Διδύμου:

Τὴν μετὰ τὴν ὀργὴν τῶν ἁμαρτανόντων κολάσεσιν, ἐμφαίνει ὁ λόγος, ἐντυλιξομένων αὐτῶν ἐν τῇ φανερώσει διὰ τῆς ὀργῆς γινομένη, καὶ ταπεινούσης τὸ οἴημα τῶν λαθραίως κρινόντων:

Τὸ δὲ σῶμα πήλινον, κουφιεῖτε ἵνα λαλήσω, καὶ ἀναπαύσομαι θυμοῦ· ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσι· ψυχὴν δὲ

μου θήσω ἐν χερσί: τοῦ ἁγίου Ἰω(άννου):

τουτέστι σιωπήσω, φησί, καὶ ἀναπαύσομαι θυμοῦ μου· ὁρᾷς
ὅτι οὐχὶ δικαιούμενος ταῦτα ἐφθέγγετο, ἀλλὰ παραμυθίαν τῆς
ὀδύνης: Πολυχρονίου: τοῖς χρόνοις φησὶν ἀ-
γαγεῖν ἡσυχίαν, ἵνα ἀποφθεγξάμενος λάβω τινὰ παραψυχὴν τῆς
ἐπικειμένης ὀδύνης: Διδύμου: τρόπον τινὰ ὑ-
περαναπαύει αὐτούς, ἐπειδήπερ αὐτὸς ᾐτήσατο αὐτοὺς πρότερον
ὡς παρακλήτορας κακῶν ὄντας. οὐ γὰρ παρεκάλουν ὡς ἔδει.
ἀλλὰ μᾶλλον τὴν λύπην ἤγειρον καὶ τὴν ὀδύνην τοῦ δῆθεν
παρακαλουμένου, λέγει ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀ-
δοῦσιν· οὐκέτι καθ' ὑμῶν ὀργίζομαι, ἀλλὰ καθ' ἐμαυτοῦ:

ν Ὀλυμπιοδώρου: διὰ τοῦ λόγου ἀναλωμένος τὸ σῶμα
καὶ ἀνακουφίζων τὴν ψυχήν μου: τοῦ ἁγίου Ἰω(άννου):

ν̄ ὥσπερ γὰρ οἱ τὰς σάρκας ἑαυτοὺς καταδάκνοντες, ἐν ταῖς ὀδύ-
ναις ἔχουσί τινα παραμυθίαν, οὕτω καὶ ἐγὼ ταῦτα φθεγγό-
ν̄ μενος: Εὐαγρίου: τουτέστι τὸ πάθημά μου ἐ-
ξαγορεύσω τῷ στόματί μου: Πολυχρονίου:

ν̄ στένων μὲν γὰρ καὶ ὀδυνώμενος διαλεχθήσομαι· λαλήσω δὲ
ὅμως μίαν παραμυθίαν τῶν πόνων ἡγούμενος τὸ ἐπει-
-τοῦ καθ' ἑαυτοῦ μετὰ παρρησίας διαλεχθῆναι:

να Ὀλυμπιοδώρου: τίθημι δὲ τὴν ἐμὴν ψυχὴν εἰς
ἐνέχυρον, ἕτοιμος ὢν ἡδέως τὴν ὑπὲρ τῶν λόγων ὑπομένειν
δίκην, καὶ ἀνελεῖν θέλει ὁ ἀρξάμενός με βασανίζειν θεός.
ὁ δὲ νοῦς οὗτος, εἰ μὴ τἀληθῆ φθέγγομαι, ἕτοιμός εἰμι ὑπομ(ένειν).

ὅτι ἀν τῶ θεῶ δοκῇ· πλὴν οἶδα φησὶν ὅτι καὶ διαλέξω ψευσομένους
ὑμᾶς, καὶ εἰς σωτηρίαν ἀποβήσεταί μοι τὸ πρᾶγμα : διδύμου:
Συμφώνως τὸ ἀναλαβοῦ τὰς σάρκας μου τοῖς ὀδοῦσιν ἐκληπτέον·
καὶ τὸ ψυχήν δέ μου θήσω ἐν χειρί, ἐν ᾧ λέγων, ὅτι καὶ τῆς ψυ-
-χῆς τῆς ἐμαυτοῦ τοῦτο παραινῶ, ὑπὲρ τοῦ τινὰ ὠφέλειαν ὠ-
φελῆσαι ὑποκείμενος τῶ χειρωθῆναι με· καὶ ἤδη τούτου ὑ-
περ ἐμαυτοῦ δηλονότι τὸν θεὸν, τὸν τὰ ἐξαιτήσαντι αὐτὸν συγκε-
χωρηκότα· ἕτοιμος εἰμὶ θανάτω παραδίδοσθαι :
πολυχρονίου : Μόνον γὰρ οὐχὶ τὴν ψυχήν μου ἐπὶ
τῆς χειρὸς φέρω προκειμένου τὸν θάνατον, τοῦ θεοῦ τῇ παρα-
τάσει τῆς τιμωρίας, προσωποῦ μοι τὴν ζωὴν κατασκευάζοντος:
Ἐάν με χειρώσηται ὁ δυνάστης ἐπεὶ καὶ ἦξει· εἰ μὴν λαλή-
σω καὶ ἐλέγξω ἐναντίον αὐτοῦ· καὶ τοῦτό μοι ἀποβήσεται
εἰς σωτηρίαν· οὐ γὰρ ἐναντίον αὐτοῦ δόλος ἐλεύσεται· ἀκού-
σατε ἀκούσατε ῥήματά μου : ἃ ἰδού δή.
:: ἀπὸ τῆς ἡμῶν. ::: αὐτή τοῦ οὐ προσκεῖται λόγοις:
διδύμου : Δι᾽ ὅλου σπουδὴ αὐτῷ ἐπὶ παιδεῦσαι
τοὺς φίλους τὴν αἰτίαν τῶν ἐπιπόνων ἵνα κερδήσῃ αὐτούς,
μὴ ἐναντία προσάξειν· σωτηρίαν γὰρ ταύτην ἐλογίζετο,
τὸ τούτους γνῶναι τὸν καὶ περὶ τούτου τῆς προνοίας λόγον. ὅν
τινα φανερῶσαι βουλόμενος, ἔλεγε τὸ ἐλέγξω· πολλάκις
γὰρ ὁ ἔλεγχος, τὴν ἀπόδειξιν σημαίνει:
πολυχρονίου : Ἀλλ᾽ ὅμως φησὶν ἀνενδοιάστως
πρὸς ὑμᾶς χρήσομαι ἐλέγχοις, αὐτοῦ τοῦ πλήξαντα ὡς

διαπόθην κριτὴν εἶναι βουλόμενος ἰσόρροπον· ἵνα κρίνω τῆς σωτηρίας τοῦ πρὸς ὑμᾶς δικασαμένου, τοῖς ὑπακούουσι χρήσασθαι δικαίοις· τοῦ ἁγίου ἰω(άννου)·

Τουτέστι τοῦτό μοι ἔσται παραμυθία· οὐ γὰρ ἐναντίον αὐτοῦ εἰσελεύσεται δόλος· ὁρᾶς ὅτι οὐχὶ καθάπερ ὑμεῖς, ἑτέρα διανοία φθέγγομαι· οἶδα ὅτι οὐδὲν ἐστὶν ὕπουλον παρ' αὐτῷ· διδύμου·

Τὸ ἀψευδὲς αὐτοῦ παραστῆσαι βουλόμενος καὶ τὸ εὐλαβές, λέγει ὅτι ἃ λέγω, τοῦ ὁρῶντος φθέγγομαι· οὐ γὰρ οἷόν τε ἀπάτην τινὰ γενέσθαι τοῦ, ὡς δόλον εἰσελθεῖν ἐνώπιον αὐτοῦ· πολυχρονίου·

Οἶδα γάρ φησιν ὡς οὐ χαρίζεται θεὸς τῷ ἐσχηματισμένῳ ὑμῶν τῶν λόγων· καὶ ὅτι δοκοῦντες λέγειν ὑπὲρ τοῦ ἐναντία οἷς περὶ ἐμοῦ προεξέτασις λαλοῦντες ἁπαλωτέροις ὀνείδεσιν· Ὀλυμπιοδώρου·

Ἐγγὺς καὶ λέγεται τοῖς ἐπικαλουμένοις αὐτόν· ἀντὶ τοῦ εὐμενὴς αὐτοῖς ἐστὶ καὶ τοῖς· ἀκούσατε οὖν φησὶν ἃ μέλλω λέγειν· εὐμενὲς γὰρ ἔχω τὸ κριτήριον ἐπὶ τοῦ δικαίου καὶ ἀληθοῦς φθεγγόμενος, οὐ τῇ ἀληθείᾳ θαρρῶν, εἰκότως δικαιότερα λέγων ὑμῶν ἀναφανήσεσθαι· τοῦ ἁγίου ἰω(άννου)·

Βούλομαι κριθῆναι φησίν, οὐ παραιτοῦμαι τὸ δικαστήριον·

πολυχρονίου· Ἐπαναδιπλασιάζει τὸ ῥῆμα ἵνα βεβαίως αὐτοὺς πρὸς τὸ ἀκοῦσαι καλέσῃ· ἐπειδὴ γὰρ πολὺ ἐναγωνίως τῆς ἀκοῆς τῇ φωνῇ· διὸ μὴ προσέχοντας εἰς τὸ γνήσιον ἀκούειν ἐλέγχει· ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω·

οἶμαι δὲ διπλασιασμὸς τὴν ἀθυμίαν παρίστησιν:

› Ἀναγγελῶ γὰρ ὑμῶν ἀκουόντων· ἰδοὺ ἐγὼ ἐγγύς εἰμι τοῦ κρί-

› ματός μου· οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι· τίς ἐστιν ὁ

› κριθησόμενός μοι· ὅτι νῦν κωφεύσω καὶ ἐκλείψω:

∴ ὡς ἠδικημένος τι πρὸς ἐμοῦ· ∴ ἀντὶ τοῦ σι-

ωπήσω· ∴ ἀντὶ τοῦ παύσομαι λέγων:

Ὀλυμπιοδώρου: Ὅμοιον τῷ πρὸ αὐτοῦ· ἕτοιμός φησιν νδ

εἰμι πάσχειν ὅταν κρίνῃ θεός· θαρρῶν δὲ τῇ αὐτοῦ ἀληθείᾳ

ἐλπίζω δίκαιος ὀφθήσεσθαι· τίνα γὰρ ὑμῶν κρινόμενος

εὐλαβηθήσομαι ἵνα σιωπήσω· τὸ δὲ ἐκλείψω· ἀντὶ τοῦ

σιωπῶν γὰρ ὑπόδικον ἐμαυτὸν ποιῶ καὶ ἀναπολόγητον,

ὡς ἐκλειπουσῶν μοι τῶν δικαιολογιῶν: Διδύμου:

Ἐν παροιμίαις ταῦτα λέγει. πρὸς παράκλησιν ἑαυτῷ τοῦ νδ

γενναίως ἐνστῆναι: Πολυχρονίου: Διδασκα- νδ

-λίας ἀρχὴν αὐτοῖς καὶ νῦν καταβάλλεται· παιδεύουσαν ὅτι

οὐ δι' ἁμαρτίας· ἀλλὰ διὰ τῶν ἀλλοπαθῶν κέκριται οὕτω, ὡς

καὶ τοῦ καιροῦ εἰδέναι καθ' ὃν λήξει τὸ κρίμα: τοῦ αὐτοῦ:

δεῦρο φησὶν εἰς τὴν κρίσιν καθίσταμαι θαρρῶν τοῖς ἐμαυτοῦ δι- νδ

καίοις, καὶ τῆς παρρησίας τὴν αἰτίαν διδάσκων ἐπάγει·

τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι: Τοῦ αὐτοῦ:

Οὐ κατ' ἀλαζονείαν τοῦτο φησίν, ἀλλὰ πρὸς τὸ παιδεῦσαι αὐτούς, σθο

μὴ τολμᾶν παρὰ τὴν ἀληθῆ διάληψιν ἔχειν περὶ αὐτοῦ· ἐ-

πειδὴ γὰρ τὶς περὶ αὐτοῦ λέγει ἄξια μὴ προστιθέμενος τοῦτο

ποιεῖν τὴν περὶ αὐτὸν φορὰν γάρ· εἴ τις ἐγκεχειρημένος

τινὰ διακονίαν εἰς τοὺς δεομένους ἀποπληρῶσαι. εἰ δ' ἀναβάλλοι
ὡς ὀφείλει ἑξόμενος τις οὐκ ἂν αἰτιασαίμεθα ἐν ἀπολογίας εἴ-
δει λέγοντα· ὅτι τὰ ἤμελλεν ἅπαντα παρέχειν δεομένοις· προ-
ῆκεν τοῦτο μὴ ἐπιεικότα· τοῦτο οὐδὲν αἰτιατέον τῷ Ἰὼβ·
οὐ φειδωλίας, ἀλλὰ τῆς ἐπιεικμένης αἰτίας ἕνεκα ταῦτα
λέγοντα· καὶ μετὰ παρρησίας καθαρᾶς λέγοντα· οἶδα ἐγὼ
ὅτι δίκαιος ἀναφανοῦμαι καὶ τὰ ἑξῆς: Τοῦ αὐτοῦ:
ιθ Νῦν γάρ, φησιν, ἐφ' ἁμαρτίαν ἐλέγξων· ἵνα δείσας ἡσυχίαν
ἀγάγω· τὸ γὰρ ἐκλείψω, αὐτὶ τοῦ ἀπολυθήσομαι λα-
λῶν· ὁ γοῦν ἔβελτιος μὴ λαλήσω ἔχει:
Δυεῖν δέ μοι χρήσῃ· τότε ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι·
τὴν χεῖρα ἀπ' ἐμοῦ ἀπέχου· καὶ ὁ φόβος σου μή με κατα-
πλησσέτω· εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι:
:: α θ πλὴν δύο μὴ ποιήσεις μετ' ἐμοῦ· ἀπ γ ἐγὼ
ὁ θς θ ※ :: α θ μακρυνον· δηλαδὴ τὰς βασάνους:
νγ Ὀλυμπιοδώρου: Πρὸς θεὸν ἔλεγε ψιλὸν τὸν λόγον· ἐὰν οὖν
φησὶ τὰ δύο ταῦτα παράσχῃς μοι, παρρησιάσομαι πρὸς σέ·
παύσῃς με τῶν δεινῶν, καὶ ἀπολογησαμένου τι μή με τι-
μωρήσῃς· νῦν δέ φησιν οὐκ ἔχω παρρησίαν ἐν τοῖς πληγ
αἰσχυνόμενος ἐνιστεῖν πρός σε· δυεῖν δέ μοι χρήσῃ· ἀκύλ
καὶ θεοδοτίων πλὴν δύο μὴ ποιήσῃς μετ' ἐμοῦ ἐξέδω-
νγ καν: Πολυχρονίου: Τὸ ἀσαφὲς τῶν προ-
κειμένων οὕτως ἂν ἐξομαλήσειεν λέγοντος αὐτοῦ· οἱ φίλοι
λέγουσιν οὕτω μοι χρήσῃ· ὡς φαῦλον δεικνύων, ἀπὸ τοῦ

προσώπου σου κρυβήσομαι· λέγει δὲ αὐτῷ τὴν χεῖρα—
ἀπ' ἐμοῦ ἀπέχου· καὶ ὁ φόβος σου μή με καταπλησσέτω·
κρύπτεται δὲ ἀπὸ προσώπου τοῦ θεοῦ: Πολυχρονίου:
Ἀνθρώπων μὲν οὖν οὐδείς φησιν ἐλέγξει παρὰ τὸν λόγον· νε
πρὸς δὲ τὸν θεὸν δίχα ὑποστολῆς, ἀφόβως διαλέξομαι· εἰ : ὑποστολῆς·
δέ μοι ταύτην παράσχοι· ὁ γὰρ ὑβριστὸς τοῦ οὐ κρυβήσομαι,
οὐκ ἐγκαλῶ ἔχει· τουτέστιν ἐξ ἐναντίας αὐτῷ εἰς κρίσιν
ἐλεύσομαι: Πληροφορήσῃς με φησὶν εἰ τὴν ρθ
τὴν πρὸς σὲ παρρησίαν, εἰς ἁμαρτίαν λογίζῃ:
Τοῦ αὐτοῦ τῶν: Παρὰ τὸ αὐτό φησι μή με φο-
βήσῃς· μή μοι τὸ ἀξίωμα τοῦ θεοῦ παραδείξῃς, καὶ κρίνομαι
ἥδιστον κἀγὼ λέγω· ἀλλὰ πολλῷ μείζονα ἀπολαμβάνω
φησίν: Πολυχρονίου: Τουτέστιν ἀπαλ- ος
λαξόν με τῆς παρούσης συμφορᾶς: Τοῦ αὐτοῦ:
Τουτέστι πληροφόρησόν με ὡς ἐπὶ τῆς δικαιολογίας νενική-
κότα οὐ τιμωρεῖ· αὐτὴν τὴν πρὸς σὲ παρρησίαν εἰς ἁμαρ-
-τίαν λογισάμενος: Ὀλυμπιοδώρου: Ἐάν φησιν νδ
γνῶ ὅτι εὐμενῶς διάκεισαι πρός με· καὶ ἐρωτώμενος εἰς ἀπολο-
γίαν ἔρχομαι: Πολυχρονίου: Εἰ ταῦτά μοι ὑπάρξει νδ
φησίν, ἀπαιτήσον τῶν βεβιωμένων εὐθύνας καὶ ὑπέχων τὸν
λόγον: Τοῦ αὐτοῦ: Διὰ πλειόνων ἑαυτοῦ τὴν πρὸς νδ
θεὸν παρρησίαν γνωρίζει, ἵν' ἐν τούτῳ ἀγάγῃ αὐτοὺς εἰς τὴν ἀληθῆ
τῶν περὶ ἑαυτοῦ συμβαινόντων γνῶσιν· καὶ γὰρ παρασταλτικὸν
ἐπὶ τοῦτο τὸ εἶναι αὐτὸν δίκαιον:

γξ

Ἢ λαλήσεις, ἐγὼ δέ σοι δώσω ἀνταπόκρισιν· πόσαι εἰσὶν αἱ ἁμαρτίαι καὶ
αἱ ἀνομίαι μου· δίδαξόν με τίνες εἰσίν. Πολυχρονίου:

γξ Κατὰ μὲν τὸ προκείμενον δευτέρωσις ἐστὶ τῶν προειρημένων·
ἡ δὲ ἔννοια κατὰ τὸ ἐναντίον κεῖται· ἀντὶ τοῦ αὐτὸς ἔρωμαι καὶ
ἀπόκριναι· ἡ δὲ ἀκολουθία ἐκ τῆς τῶν προσώπων ἐναλλαγῆς γέ-
γονεν· ἀντὶ γὰρ τοῦ λαλῶ λαλήσεις ἔχει· καὶ ἀντὶ τοῦ σύ μοι,
ἐγὼ δέ σοι· ἀπὸ δὲ τῶν ἑβραϊκῶν τὴν ἐν τῇ ἑλληνικῇ ἐναλλα-
γὴν φανῆναι τὶς φήσαι: Ὀλυμπιοδώρου:

νε Τὴν αἰτίαν φησὶν ἐπιθυμῶ μαθεῖν τῶν κολάσεων, καὶ ποίων
πλημμελημάτων τῶν ἐμῶν ἕνεκα ταῦτα ὑπομένω· διατί
δὲ τὸ πρόσωπον ἀποκρύπτεις με· διατί ὡς ἐχθρῷ κέχρησαι
τῷ καὶ φίλων ἀφανεστέρῳ: καὶ ἄλλως: Διατί
ἀπ' ἐμοῦ κρύπτῃ, διατί παραιτῇ εἰς μέσον ἀγαγεῖν μου τὸ
κρῖμα· ἢ εὐλαβῇ με φησὶν ἴσα καὶ φίλῳ διακείμενον, ἢ
ὡς ἐναντίον ἡγῇ τὸν χόρτον παραπλήσιον· τὸν τοιοῦτον οὖν δέ-
σποτα φησίν· εἰς ἀκριβείας ἄγεις ἐλέγχους· καὶ λεπτῶς τὰ κατ' αὐτὸν
ἐξετάζεις· τὸ τε κατέγραψας κατ' ἐμοῦ κακά, ἀντὶ τοῦ ἀπεση-
μήνω πάντα εἴτι καὶ ἥμαρτον ἐκ νεότητος· ὡς γὰρ ἀπορῶν καὶ
οὐκ ἔχων αἰτίαν εὑρεῖν τῶν γεγενημένων πανταχόσε περιάγει
τὸν λογισμόν· τὸ δὲ ἔθου δέ μου τὸν πόδα ἐν κωλύματι, ὁ
ἀκύλας οὕτως ἐκδέδωκε· καὶ ἔθηκας ἐν ξύλῳ πέδῃ τὸν πόδα
μου· τουτέστιν ὡς οἱ ἐν τῷ ξύλῳ πέδῃ δεσμοῦντες τοὺς καταδί-
κους· ἵνα εἴπῃ ὅτι ἀκριβῶς ἐφύλαξας τὰ κατ' ἐμέ· ὅμοιον δὲ
τούτῳ, καὶ τὸ εἰς ῥίζας τῶν ποδῶν μου ἀφίκου· τουτέστι καὶ τὰ

λεπτότατα τῆς πορείας μου ἐπετηρήσας· τὸ δὲ πλήρης ὀργῆς· ὁ
ἀπειλὰς πλήρεις κλονήσεως ἐμπέπτωκεν· ἵνα εἴπῃ ὅτι καὶ ὀλιγο-
χρόνιός ἐστιν ὁ ἄνθρωπος, καὶ ὁ βίος αὐτοῦ μεστὸς ταραχῆς· ταῦτα δὲ
εἶπε, καὶ συγγνώμην αὐτῷ ἔχειν εἴ τι καὶ ἥμαρτεν, καὶ ἔλεον ἐπιζητεῖ
ἐπὶ τῇ ἀνθρωπίνῃ ταπεινότητι: Πολυχρονίου:

Ἀντὶ τοῦ φησὶν ἡσυχίαν ἄγεις· ἀλλὰ μὴ ταχὺ τὸν ἔλεγχον ἐπάξῃ: νε
Τοῦ αὐτοῦ: Ποίων φησὶν ἁμαρτημάτων δίκην εἰ- νε
σπράξῃ· ποῦ, ἢ πότε, ἢ περὶ τίνων γινομένων:
Τοῦ αὐτοῦ: Πλὴν δι' ἐκείνους τὰ τοιαῦτα λέγει, ϙξ
ἵνα ἐκεῖνοι μάθωσιν ὅτι ὁ ἔχων ἀνομίας καὶ ἁμαρτίας οὐ
λέληθε θεόν· καὶ αὐτὸς εἰπὼν τὸ οἶδα ὅτι δίκαιος ἀναφα-
νοῦμαι πρὸς τοὺς φίλους, πρὸς τὸν θεὸν εὐλαβῶς λέγει· ὅτι
σύ με δίδαξον πόσαι εἰσὶν αἱ ἁμαρτίαι μου:

Διατί γὰρ ἀπ' ἐμοῦ κρύπτῃ· ἥγησαι δέ με ὑπεναντίον σοι·
ἢ ὥσπερ φύλλον κινούμενον ὑπὸ ἀνέμου εὐλαβηθήσῃ·
ἢ ὡς χόρτῳ φερομένῳ ὑπὸ πνεύματος ἀντίκεισαί μοι· ὅτι κα-
τέγραψας κατ' ἐμοῦ κακά:
:: ἢ ἄρα φύλλον ἐκπίπτον σὺ καταδιώκεις:
:: ἵνα σοι ἀεὶ μνησθῶ: Τοῦ ἁγίου Ἰω(άννου):

Διατί ἀποκρύπτεις με τὰς ἁμαρτίας μου, καὶ ἥγησαί με πο-
λέμιόν σοι· οὐ μικρὸν εἰς παραμυθίαν τοῖς τιμωρουμένοις
τὸ μαθεῖν τὴν αἰτίαν τῆς κολάσεως: Πολυχρονίου:
Καὶ τοῦτο πρὸς τὴν ἐκείνων διάληψιν· οὐ γὰρ ἐκ ὑπέθετο ἀ-
π' αὐτοῦ θεοῦ ἐνοικῶν ἐν αὐτῷ, ἀλλὰ διὰ τὸ ἐκείνους οἴεσθαι·

καὶ ταῦτα εἴρηται. τοῦτο γὰρ οὗτοι νομίζουσιν, ὅτι ὑπεναντίος
μου τυγχάνεις· νομίζοντές με δι' ἁμαρτίας πάσχειν:

τοῦ αὐτοῦ: ἀλλ' ὅτι μὲν φησὶν ἁμαρτήματα ἥπερ οὐ-
κ ἀνέχεις εὗρα· ὁρῶ δὲ ὅτι ὥσπερ ἐχθρὸν ἡγήσασθαι. καὶ πο-
λέμιον πολλαῖς ἔβαλες ταῖς πληγαῖς: τοῦ αὐτοῦ:

Καὶ πῶς φησὶν ἀνέμου ἐχθρὸν ἡγήσασθαι τὸν οὐδὲν φύλλου δια-
φέροντα, ὥσπερ εὐλαβούμενος τὸν ἀσθενῆ:

τοῦ ἁγίου ἰω: Θέλεις πῶς δείξῃ ἑαυτὸν ἁμαρτω-
λόν, καὶ ἀπὸ τῆς ἡλικίας βούλεται τυχεῖν συγγνώμης. ἢ καὶ ἀπὸ
τῆς ἡλικίας δείξει ἑαυτὸν ἁμαρτωλόν: πολυχρονίου:
τέρω παραδείγματι τῷ ἑαυτοῦ παρέστησεν ἀσθένειαν. ὡς
γὰρ χόρτος ἐπὶ ἀγροῦ φησὶν ξηροῦ τοῦ ἀνέμου πνεύσαντος.
καὶ ἄνικμος γενόμενος καὶ εἰς γῆν πεσὼν εὐκόλως ἀπόλλυται,
οὕτω κἀγὼ ἀσθενὴς καθέστηκα: τοῦ ἁγίου ἰω:

Κἀγὼ τάχα εὐλαβοῦμαι ἀγνοῶν τῆς φύσεώς μου τὸ εὐτελές,
ὅτι φύλλου ἢ χόρτου ὑπ' ἀνέμου φερομένου μηδὲν διαφέρω.
τίνος οὖν ἕνεκεν ὥσπερ πάντα ἀποφήνω καὶ ἐμοῦ τηλικαύτην
ἀπόφασιν: πολυχρονίου: Σαφὲς ὅτι πρὸς
τῶν ἐκείνων διάληψιν λέγει. κακὰ γὰρ νῦν τὰς κακώσεις
φησίν. τοῦτο γὰρ νομιζόντων τῶν φίλων ὅτι δι' ἁμαρτίας
πάσχει. αὐτός τῷ κατέγραψας κατ' ἐμοῦ κακά. σημαίνει γε
τὸ περιέθηκας δέ μοι νεότητος ἁμαρτίας. σημαίνων ὅτι
ἐξ ὧν οἱ φίλοι μου καταλέγοντές μου διακεῖνταί με δι' ἁ-
μαρτίας πάσχειν. ἑπόμενον ἔχουσι τὸ νομίζειν ὅτι αἱ τῆς

νεότητος ἁμαρτίαι νῦν μοι περιετέθησαν: τοῦ αὐτοῦ:

Ἔδειξεν ὡς ὑπὲρ ἀνάγκης τῷ λόγῳ δικαιολογίᾳ ἐχρήσατο. φήσας γὰρ οὐδὲν ἡμαρτηκέναι, οὐδὲ ἔχειν τοὺς ἐλέγχοντας, ἐφύλαξε τῷ δεσπότῃ τὸ πρέπον· τὸ γὰρ κατέγραψας, σὺ μετήνεγκας ἐκ τῶν βασιλέων τῶν γράμματι τὰς ἀποφάσεις ἐκφερόντων· τὸ δὲ ἀντίκειται, ἀντὶ τοῦ ἀντίκειμαί σοι. ἵνα εἴπῃ ὅτι ὡς δεσπότης καταγασιάζοντος οἰκέτου καὶ ἐξουσίαν τῶν κατ᾽ ἐμοῦ ὥρισας τιμωρίαν:

Περιέθηκάς μοι νεότητος ἁμαρτίας· ἔθου δέ μου τὸν πόδα ἐν κωλύματι· ἐφύλαξας δέ μου πάντα τὰ ἔργα· εἰς δὲ ῥίζας τῶν ποδῶν μου ἀφίκου· ὃ παλαιοῦται ἴσα ἀσκῷ ἢ ὥσπερ ἱμάτιον σητόβρωτον:

:: ὁ δὲ Ἀκύλας παλαιοποιεῖα· ὡς ὑπὸ ξύλον αὐτῆς· :: ἔτι ὁμοίως ὑπ᾽ ἐνδύματι παλαιουμένου. Πολυχρονίου:

Τάχα φησὶν ὅσα ἔπραξα μειράκιον, εἶτα τὰ ἴσα ἐκτίνω νῦν δίκην ὡς πρεσβύτης: Διδύμου:

Κατὰ βούλησιν τὴν ἑαυτοῦ ταῦτα λέγει· ἀλλὰ πρὸς τὸν ὑποτιθέμενον ὅτι ὁ θεὸς θλιβόμενος ἁμαρτιῶν τοῦτο ὑφίσταται: Πολυχρονίου: Ἐπέμεινεν τῇ μεταφορᾷ. ἐπέδησας γάρ με φησὶ τρόπον τινὰ τοῖς δεινοῖς, ὥστε μηδαμῶς δύνασθαι προβῆναι: Διδύμου: Οἶδεν ὁ μακάριος τὸ ὑπὸ τοῦ Παύλου εἰρημένον, ἀλλ᾽ ὡς ἐὰν ὅτι ὁ θεὸς οὐ παρατηρεῖται πάσας τὰς ἀνομίας τῶν πταιόντων, ἀλλὰ παιδεύων ἐπαινεῖ· πάλιν δὲ ἣν αἰτίαν πάσχει· ὅτι διέγνωκα τὸ προκείμενον

περιῆκεν· ὡς πάντα αὐτοῦ τὰ ἔργα φυλάξαντος καὶ οὕτως ἐπα-
γαγόντος αὐτῷ τὰ αἰτιατά· ἵνα ἐκ τούτου συννοήσωσιν, ὅτι τὸ
μέγεθος τῶν τοσούτων ἐπαγωγῶν, οὐ δι' ἁμαρτίαν ἐστίν, ἀλλὰ
δι' ἀγῶνα καὶ σκοπὸν ἀνδρείας: του αὐτοῦ:

ἄλ Ἀντὶ τοῦ ἠκρίβωσας πάντα τὰ κατ' ἐμὲ οὕτως, ὡς τὰς ῥίζας.
τουτέστι καὶ τὰς αἰτίας καὶ τὰς ἀρχὰς τῶν παραβάσεων τῶν
πεπλημμελημένων μου ἐπιτηρεῖς, ἵνα μὴ κόλασιν ἐπαγάγῃς· τοῦτο
ἄλ δὲ πάλιν κατὰ τὴν ἐκείνων ὑπόληψιν φησίν: καὶ τὰς
αἰτίας τῶν πράξεών μου περιέγραξη· πολυχρονίου:

ἄλ Ὁ ἑβραῖος τὰ ἴχνη τῶν ποδῶν μου περιχαράττεις, κατὰ μὲν
τὸν ἑλληνικόν φησιν ὅτι καὶ τὰ ἴχνια τῶν πράξεών μου
περιέγραξη· ὁ δὲ ἑβραῖος τῶ περιχαράττεις λέγει· ἀντὶ τοῦ
περιεσφίγξας με τοῖς δεινοῖς· ὥστε μηδεμίαν τῶν κακῶν εὑ-
ρέσθαι διέξοδον: τοῦ αὐτοῦ ἰω:

γρ Πάλιν τὸ μέγεθος λέγει τῆς συμφορᾶς, πάλιν τὸ εὐτελὲς
τῆς φύσεως κωμῳδεῖ· τίνος δὲ ἕνεκεν ἀσκοῦ παρήγαγεν,
ὅτι κενός ἐστιν ὁ ἀσκὸς πνεῦμα μόνον ἔχων· τοῦτο καὶ τοῖς
πολλοῖς ἔθος λέγειν· ὅτι ἀσκὸς ἐστὶν πεφυσημένος· μή μοι
τὸν ὄγκον ἴδῃς· μὴ δὲ τὸ δέρμα παλαιωθέν· ἀλλ' ἐννόησον τὰ
ἔνδον καὶ ὄψῃ πολλὴν τὴν κενότητα: πολυχρονίου:

γρ Καίτοι φησὶ καὶ πρὸ τῆς τιμωρίας αὕτη ἡ φύσις ἀσθενὴς καὶ πα-
λαιουμένη ἀσκοῦ δίκην:

› Βροτὸς γὰρ γεννητὸς γυναικὸς ὀλιγόβιος, καὶ πλήρης ὀρ-
› γῆς· ἢ ὥσπερ ἄνθος ἀνθῆσαν ἐξέπεσεν· ἀπέδρα δὲ ὡς

\+

ὥσπερ σκιά καὶ οὐ μὴ στῇ· οὐχὶ καὶ τούτου λόγον ἐποιήσω·

καὶ τοῦτον ἐποίησας εἰσελθεῖν ἐν κρίματι ἐνώπιόν σου

κλονήσεως: Ὀλυμπιοδώρου:

Ἀλλὰ καὶ τοῦ οὕτως εὐτελοῦς λόγον ἐποιήσω φησίν, ὡς καὶ εἰς κρίσιν αὐτὸν ἄγειν· τὴν μέλλουσαν δὲ δηλονότι: νς

τουτέστι κολάσεως καὶ ἀγανακτήσεως τῆς ἀπὸ σοῦ παντὸς ὑπεύθυνος: Ἰουλιανοῦ: νς

Οὐ μικρὰς ζήτησιν τῆς αἰτίας καὶ ἡ σὴ ἀγαθότης κινεῖ· οὐ γὰρ πρὸς τὸ εὐτελὲς τοῦ ζώου εἶδες· ἀλλὰ καὶ λόγου αὐτῷ μετέδωκας, καὶ ἐντολὴν αὐτῷ παρέσχου· καὶ κρίσιν αὐτῷ ποιεῖν ἐπηγγείλω· ταῦτα οὖν με κινεῖ πρὸς παρρησίαν: νς

Πολυχρονίου: Συντόμως δέ φησιν εἶπεν αὐτοὶ πάντες φθαρτοὶ ἐκ φθαρτῶν γινόμενοι, καὶ οὐ μακρῷ τῷ χρόνῳ τὴν ζωὴν [illegible] ἔχοντες· θορύβου καὶ ταραχῆς μεστὸν τὸν βίον κεκλήμεθα: νς

Τοῦ ἁγίου Ἰω(άννου): Ὁ ἐμὸς πῶς οὖν καθαρὸς τοῦ δίκαιος εἶναι, ἀλλ' ἀπὸ τῆς εὐτελείας τῆς φύσεως, βούλεται ἀπαλλαγῆναι, τοῦτον ἔστι ἐξετασθῆναι φησίν· τοῦτον ἔστι εὐθύνας ἀπαιτηθῆναι· τὸν σήμερον ὄντα καὶ αὔριον οὐκ ὄντα: ☩

Πολυχρονίου: Καὶ ἐπειδὰν φησὶ δόξῃ εἶναι περιφανὴς· μικρὸν ὕστερον ἀπόλλυται· διαφόροις γὰρ παραδείγμασι· τὸ ἐπίκαιρον τῶν ἀνθρώπων παρέστησεν: ☩

Πολυχρονίου: Καὶ σκιᾶς δίκην παρελθὼν τὸν βίον, οὐδὲ μνημόσυνόν τι τοῖς ζῶσιν ἀφίησιν: τοῦ αὐτοῦ:

Τουτέστι τοῦ οὕτως ἀσθενῆ εἰς λόγον ἄγεις· καὶ ὡς πολέμιον κρίνεις:

Διδύμου: Τὴν περὶ τὸν ἄνθρωπον πρόνοιαν ἐνταῦθα σαφηνίζει, οὕτως εἰ καὶ ὡς ἔτυχεν ἐν τῷ βίῳ παραμένοντος, ἀλλ' ἐπισκέψεως θεοῦ, οὐχ ὑπερβαίνοντος τοῦ παρ' αὐτοῦ τεταγμένον λόγον χρόνου. ταῦτα δὲ οὐχ ὡς εἱμαρμένης κρατούσης λεκτέον· ἀλλ' ὡς τοῦ θελήματος τοῦ θεοῦ ὅρους καὶ μέτροις ἅπασι διατεταγμένου:

Τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου· ἀλλ' οὐδεὶς ἐὰν καὶ μία ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς· ἀριθμητοὶ δὲ μῆνες αὐτοῦ παρ' αὐτῷ: ∴ ἢ τίς δώσει καθαρὸν ἀπὸ μεμιασμένου· ∴ καὶ ἡμέραν καὶ μῆνας καὶ χρόνον ἔθη- σι· ∴ ἐ παρὰ σοί: Ὀλυμπιοδώρου:

νξ Καὶ αὐτή φησιν ἡ ἀνθρωπίνη γέννησις οὐκ ἐκτὸς ῥύπου τυγχάνει. τοῦτο δὲ λέγει, διὰ τὸ καθυπηνέχθαι τὴν φύσιν ἐκ τῆς ἐκ τοῦ Ἀδὰμ παραβάσεως, καὶ εὐόλισθον γεγονέναι εἰς ἁμαρτίαν, καὶ μέντοι καὶ διὰ τὴν ἐκ φιληδονίας γέννησιν, οὐ μὴν ὡς συνουσιωμένης ἡμῖν τῆς ἁμαρτίας, μὴ γένοιτο. ἔστι δέ φησι καὶ ἄλλως, ὁ ἄνθρωπος ὀλιγοχρόνιος, μέτρον εἰς ζωὴν παρὰ σοῦ λαβών, ὅπερ ὑπερβῆναι ἀδύνατον. ἐλθὲ τοίνυν εἰς οἶκτον δέσποτα τοῦ οὕτως εὐτελοῦς καὶ ὀλιγοβίου· καὶ ἀπόστησον σου τὸ ἐλεγκτικὸν ἀπ' αὐτοῦ, ἵνα ἀναπνεύσῃ δίκην μισθωτοῦ, μετὰ τοὺς πολλοὺς καμάτους ὀλίγην εὑρίσκων ἀνάπαυσιν:

Ἄλλως: Ὁ βίος ἡ μὲν σημαίνει τὸ κοινὸν τοῦ ζῆν· ποτὲ δὲ τὴν πολιτείαν· ἐνταῦθα οὖν περὶ πολιτείας λέγει τῆς ἐν ἡλι-

-κία, καὶ εἰς κρίσιν λοιπὸν ἀγομένης· καὶ γὰρ τοῦτο ἐμφαίνων
προϊδὼν καὶ τοῦτον ἐποίησας ἐλθεῖν ἐν κρίματι ἐνώπιόν σου·
τῶν δὲ νηπίων ὁ βίος εἰς κρίσιν οὐκ ἔρχεται· φησὶ τοίνυν ὅτι
κἂν τὸν ἐνάρετον ἐπιτηδεύσῃ τις βίου αὐθημερόν, ἐνή-
-λιξ τε γεγονὼς καὶ τελευτῶν τοῦ βίου· οὐδὲ ὁ τοιοῦτος παν-
ἀλήπτος ἀπελθεῖν δύναται· ἢ γὰρ κατὰ πρᾶξιν ἢ γοῦν τὸ
κατὰ νοῦν ὑποληφθῆναι· καὶ οἱ προϋπεῖναι δὲ ἐντεῦθεν
τὰς ψυχὰς λέγοντες καὶ προημαρτηκέναι, ἐλέγχονται ἐν τοῦ
λέγεσθαι ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ πρὸ τῆς γῆς ῥυποῦσθαι:

Σευήρου ἐπισκόπου: Βίου δὲ νοείτω τις καὶ κατὰ
τὴν ἐν πράξει πολιτείαν, καθὸ τὸν μὲν τὰς ἀρετὰς μελλόντα
φαμὲν ἄριστον βίον βιοῦντα· Καὶ μεθ' ὀλίγα:

Τ Ὁ τοίνυν εἰρημένον τῷ ἰὼβ οὐ περὶ τοῦ κοινοῦ καὶ ἐπὶ πᾶ-
σιν αὐτοῖς ἴσου βίου λέλεκται, καθ' ὃν τις προελθὼν ἐκ γα-
-στρὸς πνεῖ τὸν ἀέρα, καὶ τρεφόμενος ζῇ καὶ βιοῖ· ἀλλὰ
περὶ τοῦ βίου τοῦ διὰ τῶν πράξεων τῶν κατ' ἀρετὴν καὶ κακί-
γνωριζομένου· τοῦ καὶ εἰς κρίσιν ἀγομένου παρὰ θεῷ, καὶ
ἢ κολάσεως ἢ ἐπαίνου ἀξιουμένου καὶ φησίν, ὡς εἰ καὶ
τις καθ' ὑπόθεσιν τὸν ἐν πολιτείᾳ βίον ἡμέραν μόνον μίαν
βιώσειεν, καὶ σφόδρα ἢ διὰ τῶν ἀρετῶν ὁδεύσας, οὐχ ὑ-
ξει τὸ ἄπταιστον· οὐδὲ φανήσεται καθαρὸς ῥύπου τοῦ ἐξ
ἁμαρτίας, παρὰ σοὶ κρινόμενος τῷ τῶν ὅλων θεῷ:

Πολυχρονίου: Καὶ ὁ μὲν φησί, μῆνας ἡμερῶν βιώσεται
ἀποθνήσκει· τὰ δὲ μῆνες εἰσὶν ἐνειρημένοι πρὸ ζωῆς· ἀλλ' ὡ

χρόνος· πάντως δὲ καὶ τοῦτον ἀποθανεῖν δεῖ καὶ τὸ χρεὼν πλη-
ρῶσαι· τοῦτο γάρ ἐστι, καὶ οὐ μὴ ὑπερβῇ· τουτέστιν ἀδύνατον
αὐτῷ ἐστὶ μὴ τελευτῆσαι:

Εἰς χρόνον ἔθου καὶ οὐ μὴ ὑπερβῇ· ἀπόστα ἀπ' αὐτοῦ ἵνα ἡσυχάσῃ.
καὶ εὐδοκήσῃ τὸν βίον ὥσπερ ὁ μισθωτός· ἔστι γὰρ δένδρῳ ἐλπίς:
:: ε' ὅρον αὐτοῦ ἔταξας. :: θ' ἄνες, ἀπόστα τὸ ἐλασινόν
δηλονότι: Τοῦ ἁγίου Ἰωάννου:

Ὁρᾷς πάλιν ἐπὶ τὴν φύσιν καταφεύγοντα, ὅπου δυνατὸν φη-
σὶν εἶναι καθαρόν, οὐ μόνον διὰ τὸ εὐτελές, οὐδὲ διὰ τὸ ὀλι-
γοχρόνιον· οὐδὲ διὰ τὸ ἀθυμίας γέμειν ἐν τῷ βίῳ· ἀλλ' ὅτι οὐ-
δὲ δυνατὸν καθαρὸν εἶναι, ἀπόστα φησὶν ἀπ' ἐμοῦ ἵνα ἡσυχά-
σω καὶ εὐδοκήσω τὸν βίον μου ὥσπερ μισθωτός· τὸ ὀλιγοχρό-
νιον πάλιν καὶ ἐπίπονον καὶ ταλαίπωρον καταπονούμενον καὶ
ταλαιπωρούμενον· κέλευσον ἐν ἡσυχίᾳ εἶναι: Πολυχρονίου:

Τουτέστι παῦσαι τῆς κατ' ἐμοῦ τιμωρίας, ἵνα εἰ καὶ μὴ τῆς προτέρας
εὐθηνίας τε καὶ δόξης ἀπολαύω· τῆς γοῦν μισθωτοῦ τύχοιμι ἂν
ἴσως· ἐκείνων μὲν γὰρ μέτρον ἐστὶ τῶν πόνων· καὶ τῆς ἡμέρας
παρελθούσης εἰς ἀνάπαυσιν χωρεῖ· ἐμοὶ δὲ συνεχὲς τὸ κακὸν
ὁ ἐν τοῖς ἔμπροσθεν ἔφη, ἐὰν κοιμηθῶ, λέγω πότε ἡμέρα,
ὡς δ' ἂν ἀναστῶ πάλιν πότε ἑσπέρα: Ὀλυμπιοδώρου.

νη Ἀλλὰ φυτῶν φησὶν εὐτελέστερον ἐστὶν ὁ ἄνθρωπος· ἐκεῖνα γὰρ καὶ
μετὰ τὸ μὴν σηπῶνται ἐπανθῆσαι καὶ κλῶνας ἀναβλαστῆσαι, ἀσ-
πίας ὑδάτων τυχόντα, καὶ ποιεῖν θερισμὸν αὐτὰ τοῦ καρπόν·
ἄνθρωπος δὲ ἅπαξ ἀποθανών, πάλιν ὁρμῆσαι εἰς τὸν βίον οὐ

σιώπαται· ἀντὶ δὲ τοῦ χρόνου σπανίζεται θάλασσα, ὁ σύμμα-
χος, ὡς ἐκλείπει ὕδατα ἐκ θαλάσσης ἐκδέδωκεν· ὁ δὲ νοῦς οὗτος·
ὥσπερ φησὶν ὕδωρ ἀπὸ θαλάσσης ἐκλεῖον, καὶ ὥσπερ ποταμὸς
ξηρανθείς· οὕτως ἄνθρωπος ἀποθανὼν ἀφανὴς γίνεται· ἕως ἂν
ὁ οὐρανὸς, οὐ μὴ συρραφῇ· τουτέστιν ἕως συντελείας· οὕτως
οὖν ἀναγνωστέον, ἕως ἂν ὁ οὐρανὸς, καὶ ὑποστίξον, ἵνα εἴπῃ,
ὅτι ἕως συνέστηκεν ὁ κόσμος, ὁ ἀποθανὼν ἄνθρωπος οὐ μὴ συρ-
ραφῇ· ἀντὶ τοῦ οὐ μὴ συναρμοσθῇ· τοῦτο δὲ εἶπεν ἵνα
μή τις ὑπολάβῃ κατὰ καιρὸν ἀνάστασιν γίνεσθαι, ἀνα-
στάσεως ἔδειξε μυστήριον· Καὶ ταῦτα μὲν
πρὸς τὸ ῥητόν· ἔστι δὲ κατὰ ἀλληγορίαν· δένδρῳ ἐλπίς, ἀν-
τὶ τοῦ ἀνθρώπῳ· κἂν γὰρ ἐν παραπτώματι γένηται, μετανοήσῃ
δὲ καὶ γένηται ἐν τῇ γῇ τῆς εὐσεβείας, καὶ ἐν τῇ πέτρᾳ ἤγουν
τῇ εὐσεβεῖ πίστει· ἐκ τοῦ ὕδατος τῆς παλιγγενεσίας, ἢ καὶ
ἐκ τοῦ δακρύου τῆς μετανοίας ἀναβλαστήσει· ὁ δὲ τῇ πα-
ρελεσθῇ καὶ τῇ ἁμαρτίᾳ ἀποθανών· οὐδεμίαν ἔχει χρη-
στὴν ἐλπίδα· καὶ χρόνῳ μὲν τῷ μέλλοντι δῆλον ὅτι ἀφανίζεται
ἡ ἁμαρτία θάλασσα τροπικῶς ὀνομαζομένη· ὁ δὲ διάβολος
καὶ οἱ αὐτοῦ δαίμονες ξηραίνονται· οἱ δὲ τελευτήσαντες,
οὐκ ἐξαφανίζονται περιμένοντες τὴν ἀνάστασιν:

νη Ἔστι γὰρ δένδρῳ ἐλπίς· ἐὰν γὰρ ἐκκοπῇ ἔτι ἐπανθήσει· καὶ ὁ
ῥάδαμνος αὐτοῦ οὐ μὴ ἐκλείπῃ· ἐὰν γὰρ γηράσῃ ἐν γῇ ἡ ῥί-
ζα αὐτοῦ· ἐὰν δὲ πέτρᾳ τελευτήσῃ τὸ στέλεχος αὐτοῦ, ἀπὸ ὀσ-
μῆς ὕδατος ἀνθήσει· ποιήσει δὲ θερισμόν, ὥσπερ νεόφυτον.

ἀνὴρ δὲ τελευτήσας ᾤχετο·

:: ἀκύλ(ας) ὁ κορμός· :: θ ἐν χοΐ ἐν τῷ χώματι. ὁ ἑβραῖος ἐν πεδίῳ ἔχει. Πολυχρονίου·

νη Τουτέστιν εἰκότως ἐγὼ ἀνέσεως ζητῶ· ἐπεὶ μηδὲ κατὰ θάλλον ἐστί τινα προνοίαν τῶν ἀνθρώπων λαβεῖν· ἀλλὰ τὰ μὲν δένδρα εἰ καὶ ἐκπέσοι, αὖθις βλαστάνει· ἔκτεμνον γὰρ τοῦ κλάδου λέγει, τὸ κατὰ τὴν ἐκλογὴν φυόμενόν τε καὶ αὐξόμενον· ἀνθρώπου δὲ οὐδεμία τῶν ὁμοίων ἐλπὶς λέλειπται· τῷ παραδείγματι τὸ ἐντελὲς παριστῶν τῆς φύσεως· Τουτέστιν ἐὰν καὶ ὑπὸ τοῦ χρόνου παλαιωθῇ· Πολυχρονίου·

Ἀντὶ τοῦ καὶ τέλειαν ἐκπυρωθῆναι ὥστε καὶ ξηρανθῆναι· ἰστέον δὲ ὅτι ἐν πέτραις ὁ ἑβραῖος ἐν πεδίῳ ἔχει, ἀκολούθως τῷ πρὸ αὐτοῦ στίχῳ καὶ τῇ φύσει τοῦ πράγματος· Τοῦ αὐτοῦ·

Τουτέστιν ἀπὸ ἀρδείας εἰς τὴν προτέραν ἀρχὴν καταστήσεται· Τοῦ αὐτοῦ· Ἀλλ' ὁ μὲν ἑλληνικὸς ἀπὸ τοῦ τέλους εἴρηκεν· ὁ δὲ ἑβραῖος ἀπὸ τοῦ πράγματος· σώζεται δὲ ἐν ἑκατέρῳ ἡ αὐτὴ ἔννοια· Καθ' ὑπόκρισιν ἀναγνωστέον, ἢ τελευτήσας τὸν ψυχικὸν θάνατον· Ἰουλιανοῦ·

Οἱ μὲν γὰρ ἐνταῦθα πολιτευσάμενοι ἀπελεύσονται ἐκεῖσε· οἱ δὲ ἐν ἐκείνῃ τῇ λήξει γενόμενοι οὐκέτι ἐνταῦθα πολιτεύσονται· Πολυχρονίου· Ἀντὶ τοῦ οὐχ ὡς τὸ δένδρον ἐν ἐλπίδι καθέστηκεν, ἀλλὰ τέλειον ἀπόλλυται·

Πεσὼν δὲ βροτὸς οὐκέτι ἐστί· χρόνῳ γὰρ σπανίζεται θάλασσα· ποταμὸς δὲ ἐρημωθεὶς ἐξηράνθη· ἄνθρωπος δὲ κοιμηθεὶς

οὐ μὴ ἀναστῇ, ἕως ἂν ὁ οὐρανὸς οὐ μὴ συρραφῇ, καὶ οὐκ ἐξυπνισθήσονται ἐξ ὕπνου αὐτῶν:

:: ἀντὶ τοῦ χειμάρρους :: οὐκ ἐξυπνισθήσεται·

:: α' θ'· ἕως παλαιωθῇ ὁ οὐρανός οὐκ ἐξεγερθήσονται.

:: θ' χ' : Πολυχρονίου:

Τουτέστιν ἀτέχνως ἀποθανὼν οὐκ ἀναγεννηθήσεται: δ

Τοῦ αὐτοῦ: Ὁ ἑβραῖος ὡς ἐκρεῖ ὕδατα ἐκ θαλάσσης, ϛθ
οὕτως ἀφανίζεται ὁ βίος· ἵνα εἴπῃ ὅτι ὥσπερ κῦμα ὑψωθὲν οὐχ ἵσταται, ἀλλ᾽ ἀπόλλυται, οὕτω καὶ τῶν ἀνθρώπων ὁ βίος:

Τοῦ ἁγίου Ἰω(άννου): Ἡ θάλασσα ὁ ποταμὸς διακόπτεται· ὁ δὲ ἄνθρωπος ὑπομένει τοῦτο· εἰ δὲ γὰρ τοῦτο ἦν, ὥστε ἀποθανεῖν ἡμᾶς καὶ πάλιν ἀναστῆναι, ἀλλ᾽ οὐκ ἔστι τοῦτο: ϛο

Τὰ ὕψη τῶν κυμάτων ταπεινοῦται: Πολυχρονίου: ϛο

Τουτέστιν ὡς ποταμοί· ὁ δὲ ἑβραῖος ὡς χειμάρρους λέγει, ἵνα εἴπῃ ὅτι χειμάρρου δίκην τὰ ἀνθρώπεια ὑπὸ τοῦ χρόνου διαφθείρεται πράγματα: ρο

Τοῦ αὐτοῦ: Ὥσπερ οὐκ ἔνεστι φησὶ τὸν οὐρανὸν ἀλλαγῆναι, ἢ παλαιωσίν τινα ὑπομεῖναι, ἀδιάλυτον αὐτὸν τοῦ θεοῦ κατασκευάσαντος, οὕτως οὐδὲ τοὺς ἀνθρώπους ἔστιν ἀναστῆναι:

νθ

Εἰ γὰρ ὄφελον ἐν ᾅδῃ με ἐφύλαξας· ἔκρυψας δέ με ἕως ἂν παύσηταί σου ἡ ὀργή· καὶ τάξῃ μοι χρόνον ἐν ᾧ μνείαν μου ποιήσῃ· ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος ζήσεται, συντελέσας τὰς ἡμέρας τοῦ βίου αὐτοῦ: :: χ' α' θ' μηκέτι.

Ὀλυμπιοδώρου: Εἴθε φησὶ τὸν χρόνον τοῦτόν σου ιξ

ὀργίζει μοι, εἰ τῷ ᾅδῃ με ἐφύλαξας ταξάμενός μοι χρόνον τῆς
ἐκεῖ φυλακῆς· αἰτίαν δὲ ἀποδίδωσι τοῦ ποθεῖν τὸν θάνατον.
ἅμα γὰρ βασάνων φησὶν ἐκεῖ φυλαττόμενος, προσδοκῶ τὴν
ἀνάστασιν· ἐὰν φησὶν ἀποθάνῃ ὁ ἄνθρωπος συντελέσας τὰς ἡμέρας
τοῦ δε τοῦ βίου, οὐκ εἰς ἀνυπαρξίαν χωρεῖ, ἀλλὰ ζῇ τῇ ψυχῇ
περιμένων τὴν ἀνάστασιν· κατὰ δὲ τοὺς χρηστοὺς ἐκδεδωκότας·
ἐὰν φησὶν ἀποθάνῃ ὁ ἄνθρωπος, οὐ ζήσεται· ἵνα εἴπωσιν
νθ ὅτι τῶν βασάνων ἀπαλλάττεται: Ἢ ἀδήλου ἔτι
ὡς μήπω τοῦ παραδείσου ἀνεῳγμένου θεία χάριτι διὰ τῆς
νθ τοῦ χριστοῦ πίστεως: Εἴθε μὴ ζῶντα με τηρήσας· ἀλλὰ
ἀποθανόντα ἀνώδυνόν με ἐτήρεις: Πολυχρονίου:
Εἴθε φησὶν ἐφύλαττές με ἀποθνήσκοντα· καὶ ἐδίδου μοι πα-
ρέσχες ἀναστάσεως· ὥστε με καὶ μετὰ τὴν ὀργὴν ταύτην προσδοκᾶν,
αὖθις τῶν ὑπὸ σοῦ ἀπολαύειν καλῶν: Ἰουλιανοῦ:
Ἐκρύψας δέ με· τούτῳ δέδοικα γὰρ καὶ ἄνω πάσχω, προοί-
μια τῶν ἐκεῖσε γίνονται: Διδύμου:
Ἀπεγνωκότως αἱρετωτέραν τὴν ἐντεῦθεν ἀπαλλαγὴν τῆς ἐπιπόνου
ζωῆς τίθεται πεπεισμένος περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως.
καὶ εἰδὼς ὅτι κρεῖττον ἐστὶν ἀναλῦσαι καὶ σὺν χριστῷ εἶναι λέγων.
ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος, ζήσεται συντελέσας τὰς ἡμέρας τοῦ
βίου αὐτοῦ· ἐξ οὗ παρίσταται καὶ δόγμα περὶ ἀναστάσεως.
κρεῖττον τῆς ἐπ' ἀσφαλοῦς ζωῆς ἐκλιπεῖν τῷ βίῳ, οὐχὶ καὶ ὡς ἔ-
τυχεν συμβαίνοντος τοῦ θανάτου:
Ὑπομενῶ ἕως ἂν πάλιν γένωμαι· εἶτα καλέσεις, ἐγὼ δέ σοι
ὑπακούσομαι

ξδ
ὑπακούσομαι· τὰ δὲ ἔργα τῶν χειρῶν σου μὴ ἀποποιοῦ.
ξβ
ἠρίθμησας δέ μου τὰ ἐπιτηδεύματα· καὶ οὐ μὴ παρέλθῃ
σε οὐδὲν τῶν ἁμαρτιῶν μου:
:: σ' ἕως ἔλθῃ ἡ ἀλλαγὴ φύσεώς μου· ἐλπίζω ἕως ἂν ἔλθῃ τὸ
ἄλλαγμά μου· :: θ' ἐπιποθήσεις· :: οἱ λ' τὰ
ἐπιτηδεύματα: Ὀλυμπιοδώρου:
Ἐὰν γάρ φησιν ἐν ᾅδου φυλαχθῶ, προσδοκῶ τὴν παλιγγενεσίαν. ξ̄
ὅτε σὺ μὲν ἐντέλλῃ τοῖς νεκροῖς ἀνάστασιν· ἐγὼ δὲ ὑπακούσο-
-μαι· σημαίνει δὲ διὰ τούτου· τὸ ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ γίνεσθαι
τὴν ἀνάστασιν: Πολυχρονίου: Τουτέστι τῇ ξ̄
ἐλπίδι τῶν μελλόντων ἀναμένω σου τὰ ἀγαθά, καὶ φέρω τὰς
νῦν πληγάς: Ὀλυμπιοδώρου: Πάλιν ὡς ποιητὴν ξᾱ
ἱκετεύει τὸν θεὸν καί φησι, μὴ ἀπόβλητον ἐάσῃς τὸ σὸν ποι-
-ήσῃ δημιούργημα: τοῦ ἁγίου Ἰω(άννου):
Ἀπὸ τούτου βούλομαι σωθῆναι φησίν, ἀπὸ τοῦ ἔργον εἶναι
χειρῶν σου· ἀπὸ δὲ δικαιοσύνης οὐδαμῶς, οὐδὲ ἀπὸ τοῦ δύ-
νασθαί σε ἀπατῆσαι: Διδύμου:
Διδάξας περὶ ἀναστάσεως τοῦ ὅλου ἀνθρώπου, καὶ τῆς ἀθανα-
σίας τῆς ψυχῆς, παιδεύει τοὺς φίλους πρὸς τὸ μὴ νομίζειν
αὐτὸν εὐτελῆ παρὰ θεῷ κεκρῖσθαι: τοῦ αὐτοῦ:
Δεῖξαι βουλόμενος, ὅτι οὐ μόνον τὸ σῶμα, ἀλλὰ καὶ ἡ ψυχὴ ἀ-
νίσταται· πρὸς δὲ διάνοιαν ὅτι περὶ θεοῦ ἔχουσα φησὶ τὸ εἶτα
καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι· ἀλλὰ γὰρ ὑπακοῦσαι
τοῦ καλοῦντος, λογικῆς οὐσίας οἰκεῖον:

ξβ Ὀλυμπιοδώρου. Ταῦτά φησιν, οὐ μὲν ἱκετεύ-
ων, μὴ ἀκριβῶς ἐξετάζειν τὰ καθ' ἡμᾶς, ὥσπερ ἐν βαλαντίῳ
σφραγίζοντα· ἡμᾶς δὲ διδάσκων, ὡς οὐδὲν λανθάνει τὴν
ἀσφαλῆ τοῦ θεοῦ κατανόησιν τῶν ἡμετέρων· εἴτε προαιρέσει
εἴτε ἀκουσίως τι πράξωμεν. Διδύμου.

ξβ Ἀναπόδεκτον αὐτοῦ τὴν πρᾶξιν διδάσκων διὰ τούτων· ἔτι καὶ
λεῖπον τινὰ παιδεύει τοὺς φίλους διακειμένους ἐπὶ δ' ἁμαρ-
τίαις ἐποχῇ· πῶς χρὴ μετανοεῖν, καὶ μὴ ἀλαζονεύεσθαι τῇ
ἐνυπαρχούσῃ καθαρότητι, μετριότητος ἕνεκα τῆς ἑαυτοῦ. καὶ
τοὺς ἐκείνους διεγείρειν εἰς μετάνοιαν ταῦτα λέγειν.

ξϛ Πολυχρονίου. Καὶ δέον φησὶ διὰ τὴν τῆς φύσεως
ἀσθένειαν παριδεῖν τὰ ἐπταισμένα· τοῦτο μὲν οὐ πεποί-
ηκας, πάντα δὲ ἀκριβῶς ἐξήτασας.

Ἐσφράγισας δέ μου τὰς ἀνομίας ἐν βαλαντίῳ, ἐπεσημήνω δὲ
εἴ τι ἄκων παρέβην· καὶ πλὴν ὄρος πίπτον διαπεσεῖται· καὶ
πέτρα παλαιωθήσεται ἐκ τοῦ τόπου αὐτῆς· λίθους ἐλέαναν
ὕδατα. :: ἐπισωρεύσεις γὰρ
τὴν ἀνομίαν μου. :: ※ ἐκ θ' οἱ γ' ::: ※

Διδύμου. Τουτέστιν ἐμπεριείληφας αὐτῶν καὶ τὴν
ποιότητα καὶ τὸν ἀριθμόν. Πολυχρονίου.

ξγ Ἵνα εἴδῃ καὶ τῶν ἀκουσίων ἀπήτησας δίκην. Ὀλυμπιοδώρου.

ξγ Ὁ σοφὸς Ἰὼβ αἰνίγματα λαλεῖ· ἐπειδὴ καὶ πολλὰ τῶν φίλων δι' αἰ-
νιγμάτων ἐφθέγγοντο συνῆκεν αὐτὸς ὡς σοφός, οὐδαμοῦ τοῦ νοῦ
ἐκ τῶν ἀλγηδόνων παρεισπεσθείς, ἀλλ' ἐν μέσοις αὐτοῖς τοῖς πά-

φησὶ φιλοσοφῶν· ἔοικεν οὖν ἐν τούτοις τοῦ θεοῦ ἱκετεύων
μὴ ἐπὶ πολὺ παραμένειν αὐτῷ τὰς βασάνους μήπως τις αὐτῶ
καὶ ὁ πειρασμὸς γένηται καὶ ἐξαλείψοι· εἰ γὰρ καὶ ὄρος φη-
σὶ καὶ πέτρα τῷ χρόνῳ παλαιοῦται καὶ πίπτει, καὶ τοὺς στερεωτάτους
λίθους λεαίνειν ἡ συνεχὴς τῶν ὑδάτων ἐπιρροή, καὶ τὰ ἀνεστη-
κότα τῆς γῆς χώματα, ἡ τῶν ὑδάτων φορὰ κατακλύζει
καὶ ὕπτια ἀπεργάζεται· πῶς μὴ τῇ συνεχείᾳ τῶν
πειρασμῶν, καὶ τῷ μήκει τοῦ χρόνου πάθοι τι κἀγὼ τῶν ἀβου-
-λήτων, καὶ ἀπείπω πρὸς τὰς συμφοράς. τὸ δὲ ὑπομονὴν
αὐτοῦ ἀπολέσαι, τοῦτο σημαίνει· ὅτι ἐκτὸς τῆς ἄνωθεν βο-
ηθείας, αὐτὸς οὐδέν ἐστιν· οὐδὲ τὰς τῶν πειρασμῶν νιφάδας
ὑπομεῖναι δύναται: Πολυχρονίου: Καὶ κατὰ ζτ
ὄρη φησὶ πεσοῦντα μένει, καὶ πέτρα παλαιουμένη οὐκ εἰς τέλος
ἀφανίζεται· αὐτὸς δὲ εἰς τέλος διαφθείρεται: Καὶ με-
τ' ὀλίγα: Κἂν ὑψωθῶσί τινες ὡς τὰ ὄρη, ἢ ἰσχυροὶ
γένωνται ὡς πέτραι, διὰ τὸ συμφοραῖς περιπεσεῖν τῆς φύσεως
πρὸς τὸ πάσχειν ἐπιτηδείως: Διδύμου:
Κἂν πέτρα οἴηται εἶναι ὁ ἀντικείμενος, ἀλλὰ παλαιωθήσεται. ϙ
αὐτὴ τοῦ ἕωλος ἐμφανήσεται, τῆς κατορθώσεως φανείσης·
πέτρα δὲ εἴρηται, διὰ τὸ φαντασίαν ἐξαποστέλλειν ὡς ἀκα-
ταμάχητος, καὶ διὰ τὸ σχηματίζεσθαι εἶναι Χριστός, μιμητὴς
τῆς ἀληθοῦς πέτρας: Τοῦ αὐτοῦ: Βέβαιοι διὰ φ
τὰ προειρημένα δεικνὺς ὅτι μετάνοια ἰσχύει σφόδρα.
τὸ γὰρ τοὺς λίθους ἐλέαναν ὕδατα παρίστησιν, ὅτι ὁ μετανοῶν

ἀρχόμενος, ἐμμένων καὶ τὸ ὕδωρ τὸ περὶ αὐτῶν τοῦ λόγου τὰ πετῶδη καθαίρει· καὶ καθάπερ ἐν ὑπτίῳ χώματι κειμένων τὸν κατακλυσμὸν τῆς ἁμαρτίας ἐξελέγξεται:

Καὶ κατέκλυσεν ὕδατα ὕπτια τοῦ χώματος τῆς γῆς· καὶ ὑπομονὴν ἀνθρώπου ἀπώλεσας· ὤσας αὐτὸν εἰς τέλος καὶ ᾤχετο· ἐπέστησας αὐτῷ τὸ πρόσωπον καὶ ἐξαπέστειλας:

∴ τὰ παραλελειμμένα· ∴ οὕτω προσδοκίαν ἀνδρὸς ἀπολέσεις: Πολυχρονίου:

Τὸ ὕδωρ φησὶ σμικρύνει τὰς πέτρας. καὶ τοὺς λίθους λεαίνει· καὶ οὐ χοῦς εἰσάμενα ἀφανίζεται, ἵνα εἴπῃ ὡς οὐ λείπεται ἐν τούτοις χνοῦς· οὕτως οὐδὲ τῶν ἀνθρώπων λείψανον:

Ὀλυμπιοδώρου: Πάλιν περὶ τῆς οὐδενείας τῶν ἀνθρώπων πρὸς θεὸν ἀποδύρεται· ὡς γὰρ ὑπὸ ἀνέμου καὶ χνοῦς, ἤγουν τῶν κουφοτάτων μόνον ἐπιθήσεις αὐτόν, ἢ ἐπιστήσεις αὐτῷ τὸ πρόσωπον ἀπειλητικῶς εὐθέως ἀποστέλλεται καὶ οἴχεται, ἀντὶ τοῦ ἀποθνήσκει: Πολυχρονίου:

Τουτέστιν οὕτως ὥρισας τὰ κατ᾽ αὐτὸν καὶ μεταβολὴν οὐ δέχεται. οὕτω διόλου σώζεται ἡ πρὸς ἡμῶν ἐπιθεῖσα ἔννοια

Διδύμου: Ἀντὶ τοῦ ἀνόητον ἑαυτοῦ αὐτὸν ἀποδείκνυσιν: Πολυχρονίου: Ἡμῶν οὖν φύσις φησὶ τοιαύτη, καὶ πρὸς τὸ πάσχειν ἐρριμμένη· καὶ ὅντινοῦν καιρόν· εἰ καὶ ἡμαρτηκότι ἐμβριθῶς προσχοίης τοῖς πᾶσιν ἀφανῆ ἐξελέγξῃ:

Πολλῶν δὲ γινομένων τῶν υἱῶν αὐτοῦ οὐκ οἶδεν· ἐὰν δὲ ὀλίγοι γίνωνται οὐκ ἐπίσταται.

ἀλλ' αἱ σάρκες αὐτοῦ ἤλγησαν· ἡ δὲ ψυχὴ αὐτοῦ ἐπένθησε:

※ περὶ αὐτῶν : Ὀλυμπιοδώρου:

Ἰδοὺ φησὶν οὐδὲν ὄφελος ἄνω ἐν δόξαις ἑστάναι, καὶ ἐν πένθει ψυχῆς εἶναι τῶν μετ' αὐτὸν ἐσομένων· κἄν τε γὰρ εἰς πλῆθος ἐκταθείη αὐτοῦ ἡ γονή· κἄν τε εἰς ὀλίγους περιστῇ· αὐτὸς ἅπαξ ἀποθανὼν ἀγνοεῖ· ἠρέμα δὲ πάλιν ἡμᾶς διδάσκει· μὴ μέγα οἴεσθαι τὴν πολυπαιδίαν· τῷ γὰρ ἅπαξ ἀποθνήσκειν μέλλοντι, τούτων οὐδὲν ὄφελος· δύναται δὲ ταῦτα καὶ εἰς τὸν διάβολον ἀναφέρεσθαι· ὄρος μὲν καὶ πέτρα κληθέντα, διὰ τὸ ἰσχύειν αὐτὸν ἐν τοῖς ἐξηπατημένοις ὑπ' αὐτοῦ· ἀλλὰ ἀπολεῖται φησὶ τελέως, καὶ πάλιν ἐν πένθει ἔσται ἐν τῷ μέλλοντι αἰῶνι, ἀπαιτούμενος εὐθύνας ὑπὲρ ὧν ἠπάτησε· κατ' ἐκεῖνο οὖν καιροῦ φησί, καθ' ὃν ἡ κόλασις, οὐ φροντίσει περὶ τῶν υἱῶν αὐτοῦ τῶν ἀσεβῶν πλείους ἢ ὀλίγοι εἰσίν· ἀλλ' ἐν κολάσει τῷ τιμωρεῖσθαι ἰδίως : ξε

Ἰουλιανοῦ: Ἕκαστος γὰρ τῶν ἑαυτοῦ, ἀλλ' οὐ κήδω ξέν: ξε

Πολυχρονίου: Τουτέστιν ὑπόδειγμα ἐκ τῶν ξένων:

Τοῦ αὐτοῦ: Καὶ ἑκάστοτε φησὶ περιμένων τὸν θάνατον, ἐν ἀθυμίᾳ :

+

## + προθεωρία κεφαλαίου ι΄.

+

Τοῦ Ἰὼβ προοιμιασαμένου καὶ εἰρηκότος, ὅτι ἄρα ὑμεῖς ἐστὲ ἄνθρωποι, ἢ μεθ' ὑμῶν τελευτήσει σοφία· κἀμοὶ μὲν καρδία καθ' ὑμᾶς ἐστίν· εὐθὺς ὁ Ἐλιφὰζ πρὸς τοῦτο ἱστάμενος φησὶ πρὸς τὸν Ἰώβ· ὅτι οὐ δεῖ ποτε ὁ σοφὸς ἐπιδεικνύναι τὴν αὐτοῦ περιττὴν σοφίαν, ὅπερ σὺ πεποίηκας· καίτοιγε οὐδὲν ἀναγκαῖον εἰρηκώς, ὥστε ἐκ τῶν σῶν ῥημάτων καὶ ἄσοφος καὶ ἄφοβος ὢν δείκνυσαι. μὴ γὰρ ὡς οὗτος πρὸ τῶν ἄλλων γέγονας· ἢ καὶ πρὸ αὐτῆς τῆς κτίσεως· ἢ μύστης τῆς τοῦ θεοῦ σοφίας καθέστηκας, ὅτι ἑαυτῷ ἀποδίδως· πῶς δὲ καὶ ἐτόλμησας εἰπεῖν ὅτι ἀναμάρτητός εἰμι καὶ δίκαιος ὢν [illegible]νοῦμαι. ὅπου γε οὔτε ἄγγελοι, οὔτε οὐρανός· μήτι γε καὶ ἄνθρωπος ἀκάθαρτος δύναται εἶναι καθαρὸς πρὸς τὴν τοῦ θεοῦ καθαρότητα. νόμος τοίνυν σαφὴς καὶ ἀληθὴς τυγχάνει, ὅτι δι' ἁμαρτίας αἱ κολάσεις τοῖς ἀνθρώποις ἐπηνέχθησαν. εἶτα λέγει καὶ τὰ τοῖς ἀσεβέσιν ἴσως συμβαίνοντα· καὶ ἀληθὴς μὲν ὁ λόγος, ὅτι δι' ἁμαρτίας αἱ κακώσεις. πλὴν οὐχὶ πάντοτε ἀνταποδοτικῶς αἱ κολάσεις φέρονται· ἀλλ' ἔσθ' ὅτε καὶ δοκιμαστικῶς ἵνα δοκιμασθῶσιν οἱ δίκαιοι· ὥστε

μετὰ τῆς προσηκούσης διαιρέσεως ταῦτα εἰρηκὼς ὁ ἐλί-
φαζ· πάλιν ἐξέπληξε τὸν ἰὼβ· συντάξας αὐτὸν τοῖς δι' ἁμαρ-
-τίας κολαζομένοις· γνωριεῖ δὲ ὡς ἐν κόσμοις ὄντας τοὺς διαλό-
γους αὐτοῦ, καὶ οἱ ἕτεροι σιωπῶσιν· ἀντιπαραχωροῦντες
ἀλλήλους τὰς διαλέκτους· καὶ οὐκ ἐπιδεικτικῶς τοὺς ἑαυτῶν
διαμέσου παρεμβάλλοντες λόγους, ἀλλ' ἕκαστος ἀναμένει·
ἕως ἂν ὁ λέγων πληρώσῃ· χρὴ οὖν καὶ ἡμᾶς ἐκ ταύτης
τῆς εἰκόνος, ὅταν τις λαλῇ περιμένειν τοῦ λόγου τὸ πέρας
καὶ μὴ φανητιῶντας διακόπτειν τὰ λεγόμενα, μήτε μετ' ἐ-
πιδείξεως τοὺς οἰκείους προφέρειν λόγους, ἀλλ' ἐν κόσμῳ
καὶ μετὰ τάξεως, ὥσπερ οὖν καὶ ὁ μακάριος ἰὼβ καὶ
οἱ αὐτοῦ φίλοι ἀσυγχύτους τὰς διαλέξεις ἐποιήσαντο· τοῦτο
καὶ ὁ σοφώτατος παῦλος τοῖς ἐν ἐκκλησίᾳ προφητεύουσιν
ἐπέταττε ποιεῖν· ἐὰν δὲ ἄλλῳ φησὶν ἀποκαλυφθῇ καθη-
μένῳ, ὁ πρῶτος σιγάτω· δύνασθε καθ' ἕνα γὰρ πάν-
τες προφητεύειν· ἵνα πάντες μανθάνωσιν ὁμοῦ καὶ
τάξιν ἐπιτιθεὶς τοῖς προφητεύουσι, καὶ τὸ ἀσύγχυτον τοῖς
λεγομένοις φυλάττων· καὶ πνεύματα γάρ φησι προφητῶν
προφήταις ὑποτάσσεται· ὥστε δεῖ καὶ ἀκενοδόξως
τῶν λόγων ποιεῖσθαι τὴν προφοράν· διὰ τοῦτο τοι-
γαροῦν πάλιν ὁ ἐλίφαζ πρὸς τὸν ἰὼβ ἀποκρίνεται·
ἐπειδὴ γὰρ αὐτὸς πρῶτος ἀντικατέστη τῷ ἰὼβ· εἶτα
ὁ βαλδὰδ, καὶ μετ' ἐκεῖνον ὁ σωφάρ, κατὰ τὴν προ-
σήκουσαν τοίνυν τῶν λόγων διαδοχήν, πάλιν αὐτὸς

ἵσταται πρὸς τὰ εἰρημένα καὶ φησίν·

+

+ δευτέρα τοῦ Ἐλιφὰζ πρὸς τὸν Ἰὼβ ἀντίρρησις. κεφάλαιον ι':

+

Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει· πότερον σο-
φὸς ἀπόκρισιν δώσει συνέσεως πνεῦμα· καὶ ἐνέπλησε
πόνον γαστρός· ἐλέγχων ἐν ῥήμασιν οἷς οὐ δεῖ καὶ ἐν λόγοις
οἷς οὐδὲν ὄφελος: ἐπεὶ γνώσεως
ξς πνς: Ὀλυμπιοδώρου: Συνέσεως πνα
φησὶ τὴν γνῶσιν τοῦ πνς. τοῦτο οὖν εἰρωνικῶς λέγει πρὸς
τὸν Ἰώβ, ὡς κατηγορῶν αὐτοῦ· ὅτι μάλιστα μὲν ὁ σοφός,
οὐκ ἐπιδεικτικῶς προφέρει τὴν σοφίαν· ἔπειτα καὶ ἀεὶ ἐ-
λάλησας ὡς ἐλέγχων ἡμᾶς· καὶ ὡς δῆθεν ὑπάρχων ὑπὲρ τῆς
ἀληθείας· τοῦτο γὰρ δηλοῖ τὸ ἐνέπλησε πόνον γαστρός, μα-
ταίως ἐφθέγξω καὶ ἀνωφελῶς· ἔστι δὲ καὶ οὕτω νοῆσαι,
πόθεν ὁ φύσει σοφὸς ὁ Ἰὼβ οὕτως ἀποκρίνεται· ὡς ἀνέμων
τὰς ψυχὰς πληρῶσαι πόνου. γαστέρα γὰρ τὴν ψυχὴν λέγει· ὡς
ἀναχωτικὴν τῶν ἐν τῶν λόγων τροφῶν· καίτοι διὰ ῥημάτων

μηδεμίαν ἐχόντων ὄνησιν, ἵνα εἴπῃ ὅτι ἐπλήξας ἡμᾶς
οὕτω διαλεχθείς, καὶ ματαίους προκομίσας λόγους. ὅπερ
σοφὸς οὐ ποιεῖ: ἄλλως: ἄρα σοφὸς οὐκ ὀφείλει
διδόναι ἀπόκρισιν· ἥτις ἔσται πνεύματος συνέσεως, καὶ μὴ
ἐμπλῆσαι τῶν ἀκουόντων τὸν νοῦν ἀνωφελέσι λόγοις:
τοῦ ἁγίου ἰω: ἐπειδὴ εἶπεν ὅτι κἀμοὶ καρ- ξς
δία καθ᾽ ὑμᾶς ἐστὶ καὶ οὐ μεθ᾽ ὑμῶν τελευτήσει σοφία ἡ
οὐκ εἰμὶ ἀσυνετώτερος ὑμῶν· ἀπὸ τούτου εὐθέως αὐτὸν
βάλλει. ἰδοὺ γάρ φησιν ὁ σοφὸς καὶ λέγων πάντα εἰδέναι,
οἷα ἀποκρίνεται. ἐνέπλησε δὲ πόνον γαστρός· τουτέστι
πρὸς παραμυθίαν αὐτῷ τὰ ῥήματα εἰρηκέναι·
καὶ πάθους γέμειν: διδύμου:
ἀντὶ τοῦ ἐκ τῶν πόνων ὧν ἐν καρδίᾳ ἔσχε. καὶ κελαδεῖν
οὐ δεδοίκηται προφέρειν ῥήματα ἃ μὴ δεῖ· καὶ τοὺς λό(γους)
οἷς οὐδὲν ὄφελος, διαχλευάζων αὐτοῦ τοὺς λόγους ὡς
ἀνηνύτους, καὶ μάτην ἐκπεμφθέντας:
πολυχρονίου: οὕτω δέ φησι πικρῶς
διαλέγει, καὶ ταῦτα μάταια φθεγγόμενος εἰς οὐδὲν δέον:
ξξ οὐ καὶ σὺ ἀπεποιήσω φόβον· συνετελέσω δὲ ῥήματα τοι-
αῦτα ἐναντίον τοῦ κυρίου· ἔνοχος εἶ ῥήμασι στόματός σου· οὐ(δὲ)
διέκρινας ῥήματα δυναστῶν· ἐλέγξαι σε τὸ σὸν στόμα καὶ
μὴ ἐγώ: :: θ οὐ γὰρ σὺ παρῄτήσω. :: ε
καὶ αὐθάδην ὡμίλησας ἐναντία τῷ θεῷ. ::: θ καὶ ἐξε-
λέξω γλῶτταν πανοῦργον. ::: οὐκ ἐξελέξω τὴν

παραίνεσιν ἡμῶν : Ὀλυμπιοδώρου :

ξζ Ἐπιτόλμησας φησὶ καὶ ἀτόλμως ἐλάλησας πρὸς τὸν θεόν σου
ἐκινήθη· τοσοῦτον δὲ ἀσεβείας, ὡς ὑπὲρ σοῦ ταῦτα λέγου-
σιν οἱ περὶ τὸν Ἐλιφάζ : Πολυχρονίου :

ξζ Τολμηρῶς γάρ φησι κατὰ τοῦ ἐφθέγξω, οὐδὲν δείσας οὐδὲ
συνειδὼς τὸ πρὸς τὸν διάφορον τῆς σῆς φύσεως :

Διδύμου : Ἴσως διὰ τὸ εὐπαρρησίαστον αὐτοῦ τῶν λόγων,
οὓς προέφερεν ἀπὸ καθαροῦ τοῦ συνειδότος ταῦτα λέγει αὐ-
τὰς οὗτος νομίζει ὡς βλάσφημα : Δικαστῶν λέγει
τῶν σοφῶν ἢ τῶν παλαιοτέρων, ἢ καὶ τῶν προειρηκότων
φίλων, μὴ καταγνοηκώς σου φησί, μὴ δὲ διακρίνας τὰ
τῶν ἐν σοφίᾳ διδασκάλων ῥήματα. οὕτως ἐλάλησας, ὡς
μὴ ἀγαθόθεν, ἀλλ' ἐκ τῶν σῶν λόγων καταδικάζεσθαί σε :

ξη Τοῦ αὐτοῦ : Θεοσεβῶς αὐτῷ διαλέγεται ὡς πρὸς
μὴ δίκαιον προφέροντα τοὺς λόγους. οἴεται δὲ καὶ ἐκ
τῶν αὐτοῦ λόγων ἐλέγχειν ἑαυτῷ φάσκων ὅτι ἐκ τῶν σεαυ-
τοῦ ἐλεγχθήσῃ λόγων : Πολυχρονίου :

ξη Τοιγαροῦν φησὶν ἐκ τῶν οἰκείων ῥημάτων κατακρίνῃ :
Τοῦ αὐτοῦ : Καὶ οὐκ ἐδέξω τὴν ἡμετέραν
παραίνεσιν οὕτως οὖσαν πολυτελῆ : Διδύμου :

Ἀπὸ θρασύτητος καὶ ταῦτα προφέρονται· οὐ γὰρ εἶχον πρό-
φασιν ἐλέγξαι· πρὸς γὰρ τὴν ἐξ ἀρχῆς διάληψιν καὶ ταῦτα
προσέφερον : Πολυχρονίου : Ὀκνῶν φησὶ
τοῖς παρὰ σοὶ λυπηθεὶς ἀντιπαρεξέτασον τὰ πράγματα.

οὕτω γὰρ ἴσως καταγνώσῃ αὐτοῦ περὶ μιᾶς φύσεως θρα-
συνόμενος, καὶ διχόθεν τὸν λόγον ἐλέγχει, ἀπό τε τοῦ
λόγου χρόνου καὶ τῆς συνέσεως.

Τὰ δὲ χείλη σου καταμαρτυρήσουσί σου· τί γὰρ μὴ πρῶτος
ἀνθρώπων ἐγεννήθης; ἢ πρὸ θινῶν ἐπάγης; ἢ σύνταγμα κυ-
ρίου ἀκήκοας; εἰς δὲ σὲ ἀφίκετο σοφία:

ἢ σύμβουλόν σοι ἐχρήσατο ὁ θεός· ᾱ ἀπόρρητον, θ̄
μυστήριον, σ̄ ὁμιλίαν: Ὀλυμπιοδώρου:

Μὴ πρὸ πάντων φησὶ ἐγένου καὶ πρὸ αὐτῆς τῆς κτίσεως, ξθ
ὥστε σε διὰ τῶν χρόνων ἁπάντων εἶναι σοφώτερον· ἀλλά
γε καὶ σὺ ἡμῖν αὐτοῖς ὑπάρχεις, οὔτε καὶ τοῦ σοῦ πατρὸς
παλαιότερος. ἴσθι τοίνυν ὡς πρὸς σύγκρισιν τῶν σῶν ἁ-
μαρτημάτων ἐλαφρῶς ἐτιμωρήθης· ὡς γέ τοι αὐτὰ ἐτόλ-
μησας διανοηθῆναι. θυμοὺς γὰρ τὸ διοργιλικὸν τῆς ψυχῆς
λέγει· ὥστε κατὰ θυμοῦ πρὸς θεὸν ὡς ἄδικα πάσχων
διαλεχθῆναι: Τοῦ ἁγίου Ἰω:

Μονονουχὶ λέγων· μὴ γὰρ δὴ πρὸ πάντων αὐτὸς εἶναι, ἵνα ξθ
ἀπὸ τοῦ χρόνου τοῦ μακροῦ μάθῃς, ἢ παρὰ τοῦ θεοῦ τι
ἀκήκοας, οὐδὲ ἡμῶν πλεονάζεις κατὰ τὸ εἰδέναι·
ἐπειδὴ εἰπὼν ὅτι ἐν μακρῷ χρόνῳ σοφία εὑρίσκεται,
δεικνὺς εὐλόγως: Διδύμου: Παριστάναι ξθ
αὐτῷ βούλονται, ὅτι οὐ διαφέρεις τῶν ἄλλων ἀνθρώπων, εἰ
δὲ ἔξω τῆς φύσεως αὐτῶν ὑπάρχεις, ὥστε πλέον τι
τῶν ἄλλων κατειληφέναι, ἵν' ἑαυτοὺς ὡς ἐλαττουμένους

ξθ τῆς ἀκριβείας παρασκευάσωσιν: Πολυχρονίου:

Ἀντὶ τοῦ καὶ πρὸ πάντων αὐτῶν ὑπάρξεις, καὶ ἀχρειοῦν καὶ διαλύειν τὸν βίον πλειόνων πραγμάτων πεῖραν ἔσχηκας παρὰ τοὺς ὁμοφυεῖς. Ὀλυμπιοδώρου:

ο Θίνα ἐστὶν ὁ ὑψηλὸς τόπος καὶ δύσβατος ἤτοι ψαμμώδης:

ο Πολυχρονίου: Ὁ βέβαιος συνεκλήφθης. θῖνας δὲ λέγει τοὺς βουνούς, ἵνα εἴπῃ, καὶ τὰ πρὸ τῆς κτίσεως ἐπίστασαι: Διδύμου: Προβαλλόμενος τῶν τῶν κριμάτων ἀνεξερεύνητον. ἐν τούτου δεῖται αὐτὸν πείθεσθαι. εἰς τὸ μὴ δίκασθαι, ὅτι δι' ἔλεον ἢ δι' ἁμαρτίας πάσχει τούτῳ αὐτὸς εὐχόμενος. οὐδὲ γὰρ αὐτὸς συνοίσει τοῦ τοῦ ἀκηκοώς. ἢ ἀφικομένῳ πρὸς αὐτὸν ἔλεγε τὴν σοφίαν, ἵνα διάληψιν ἔχῃ περὶ τοῦ ἄλλου ὡς δι' ἁμαρτίας πάσχοντος: Πολυχρονίου: Σύμβουλῳ δὲ

ο+ σοὶ πρὸς τὴν δημιουργίαν ἐχρήσατο ὁ θεός, ἵνα ἐξ ἰσοτιμίας πρὸς αὐτὸν ἔλθῃς τὴν διάνοιαν:

ηα Ὀλυμπιοδώρου: Ἐπειδὴ μέγα σὺ σοφίαν φρονεῖς. προβάλλου τι τῶν ἡμῖν οὐκ ἐγνωσμένων καὶ δεῖξον ὡς ἡμᾶς ὑπερβέβηκας:

Τί γὰρ οἶδας ὃ οὐκ οἴδαμεν. ἢ τί συνιεῖς σὺ ὃ οὐχὶ καὶ ἡμεῖς.
καί γε πρεσβύτης καί γε παλαιὸς ἐν ἡμῖν. βαρύτερος τοῦ πατρός σου ἡμέραις. ὀλίγα ὧν ἡμάρτηκας μεμαστίγωσαι:

:: ※ ἐν θ οἱ β :: ἐ πολυχρονίου:

+c Διδύμου: Κοινοποιεῖ αὐτὸν τοῖς πᾶσιν αὐτοῖς ἐπιεικῶς.

ἅτε ἀγνοῶν αὐτοῦ τὸ μέγεθος τῆς ἀρχῆς· ἐν τούτου ὡς προ-
είρηται· ἀναλεξέσθων δὲ ὑμῖν τὸ οἰκεῖον αὐτοῦ δίκαιον, ὅπερ ἔ-
πει καὶ αὐτὸν νοοῦντα, μὴ προκαταλαμβάνειν τὰ κρίματα,
καὶ πεπείσθαι ὅτι ἐξ ἁμαρτημάτων ἀντιάται:

Πολυξενίου: Καίτοι τί ξένον γινώσκεις ὃ ἡμεῖς
οὐκ ἐπιστάμεθα· πλέον γὰρ τῶν ἀνθρωπίνων καὶ τῶν ἐν
μέσῳ στρεφομένων οὐκ ἂν ἔχοις εἰπεῖν: Διδύμου:

Εἰ καὶ πρεσβύτης φησὶν ὑπάρχεις καὶ παλαιὸς ἐν ἡμῖν, προ-
γενέστερος τῶν πάντων, ὡς καὶ τοῦ πατρός σου βασιλέως,
ἀντὶ τοῦ παλαιότερος γεγονέναι· οὐ πλεῖον τι ἡμῶν ἐπί-
στασαι· καὶ ταῦτα δὲ ἀπὸ αὐθεντίας ἀλαζονικῶς λέγει:

Τοῦ αὐτοῦ: Τουτέστιν εἰ καὶ ἐπὶ χρόνῳ αὐχεῖς,
εἰσὶ παρ' ἡμῖν παλαιοί: Τοῦ ἁγίου Ἰω(άννου):

Ἐπειδὴ ἐκεῖνος εἶπε τίνες εἰσὶν αἱ ἁμαρτίαι μου δίδαξόν με:
τοῦτο λέγει ὅτι ἥμαρτες καὶ διὰ τοῦτο μάστιγας ὑπομένεις·
ἐπειδὴ δὲ τοῦτο ὑφιστάμενος ἀδικίαν προσέπτεις τῷ θεῷ,
βασιλικὸν γέγονέ σοι τὸ ἁμάρτημα· καὶ ταῦτα δὲ λέγει,
οὐ σιωπηλῶς· οὐδὲ γὰρ ἤπει τὰ κατ' αὐτὸν ὡς τελείως ἐ-
λέγχει: Πολυξενίου: Τουτέστιν οὐ κατ' ἀ-
ξίαν τῶν πλημμελημάτων δέδωκας τὴν δίκην:

Μεγάλως ὑπερβαλλόντως λελάληκας· τί ἐτόλμησεν ἡ καρδία
σου· ἢ τί ἐπήνεγκαν οἱ ὀφθαλμοί σου· ὅτι θυμὸν ἔρρηξας
ἐναντίον κυρίου· ἐξήγαγες δὲ ἐκ στόματος ῥήματα τοιαῦτα:

:: θ͞ς τί ὅτι ἐπῆρέ σε. :: ὅτι ἀντέβλεψας θεῷ:

Διδύμου· Τοσοῦτον διακείμενοι περὶ αὐτοῦ, ὡς
ἁμαρτόντος ἀκούοντές τε, καὶ τὸν ἐν προστελίας λόγον αὐ-
-τοῦ προήνεγκαν· ἐπεὶ γὰρ ἐν καθαρότητι προέφερε λόγους
ὁ μακάριος, τολμηρὰν ἡγοῦντο, τοῦτο καὶ ὑπερβολὴν ἀλαζο-
νίας ματαίως καὶ ἀνοήτως· Πολυχρονίου·
Δέον γάρ σε φησὶ καὶ νῦν πληγέντα ὑπὲρ τῆς κατὰ τοῦ θερα-
-πόντος, πεπονθὼς οὐδὲν τοῦ θεοῦ ἀνεξικακίαν ἐνικηκότος,
τὴν κατ' αὐτοῦ βλασφημίαν· ἵνα εἴπῃ ὅτι δέον σε μετα-
μελείας σωφρονέστερον γενέσθαι, τολμηρῶς εἰς διαδίκα-
σιν τὸν θεὸν ἐλθεῖν ἐπεχείρησας· Πολυχρονίου·
Τουτέστι πῶς οὐκ ἔφριξας, καὶ μόνον ἐννοήσας τὴν πρὸς
θεὸν κρίσιν· Τοῦ αὐτοῦ· Ἀλλ' οὐ μόνον
φησὶν ἐτόλμησας ἐννοῆσαι· ἀλλὰ καὶ φθέγξασθαι οὐ πα-
ραιτήσω τολμηρῶς τὴν ψυχὴν αὐτὸ φθεγξάμενος θεῷ·
Διδύμου· Θυμὸν ἡγοῦντο τὴν ἐν καθαρότητι
ὑπερβαλλούσης παρρησίαν, ὅπερ αὐτοῖς συνέβαινεν ἐν
τῆς σαθρᾶς αὐτῶν ἀρχῆς, ἧς αὐτοὶ ἑαυτοῖς ὑπέθεντο· βλασ-
φημίαν ἡγούμενοι τὴν εὔλογον· καὶ ὡς προσαποδέδοται τῶν
λόγων αὐτοῦ ἐλευθερίαν· Ἄλλως· Ὅλον σου τὸν θυ-
μὸν ἐκένωσας εἰς τὸν κατὰ σαυτοῦ τε ὀφείλων·
Πολυχρονίου· Καὶ διαλεγόμενος φησὶν οὐ πράως,
ἀλλὰ μετὰ θυμοῦ προήνεγκας τὴν φωνήν, καὶ πλεῖστον τῇ
τῶν ῥημάτων ἐχρήσω βαρύτητι· καὶ καθαρότητα ἔργων
σαυτῷ μαρτύρων·

Τίς γὰρ ὢν βροτὸς ὅτι ἔσται ἄμεμπτος· ἢ ὡς ἐσόμενος δίκαιος γεννητὸς γυναικός· εἰ κατὰ ἁγίων οὐ πιστεύει· οὐρανὸς δὲ οὐ καθαρὸς ἐναντίον αὐτοῦ:

:: β΄ τί ἐστιν ἄνθρωπος· ὡς σὺ αὐτὸν νομίζεις· :: ἀπὸ β΄ καὶ ὅτι δικαιωθήσεται· ::: ε΄ ἰδοὺ ἐν ἁγίοις αὐτοῦ οὐδεὶς ἀλέγκτος, οὐδὲ οὐρανὸς ἄσπιλος:

Διδύμου:

Ἴδιον τῶν μὴ ἐχόντων τὴν ἀρετὴν, τὸ συνεχῶς λογίζεσθαι τὴν ταύτης ἀνάληψιν, καὶ διακεῖσθαι ὡς μηδενὸς αὐτὴν ἔχοντος, καθάπερ καὶ ὁ προκείμενος λέγει σφαλλόμενος διὰ τὴν τοῦ σώματος ὡς εἰκὸς ἀσθένειαν· ἡ δὲ κατὰ τὴν ψυχὴν καὶ κατὰ τὴν διάνοιαν οὗτος τῷ σκοπῆσαι, ἐνθεώρει τῆς φύσεως τοῦ ἀνθρώπου τὸ μέγεθος:

Πολυχρονίου:

Σκόπησον φησί· τίς ποτε ἀνθρώπων ἀκηλίδωτον ἔσχε τὸν βίον:

Τοῦ αὐτοῦ:

Ὁ βέβηλος καὶ πῶς δικαιωθήσεται γέννημα γυναικός, ἵνα εἴπῃ αὕτη ἡ φύσις παθεῖν ὑποκειμένη, εὔκολον ἐστὶ περὶ τὴν ἁμαρτίαν:

Ὀλυμπιοδώρου:

Εἰ καὶ ἐν τοῖς ἁγίοις πολλάκις, ηὕρηταί τις πολλάκις μέμψις, οἷα εἰκὸς, καὶ κατὰ ἄγνοιαν συμβαίνειν διὰ τὸ τῆς φύσεως ἀσθενές. πῶς αὐτός φησιν ἀλαζονεύει δικαιοσύνην ἐς ἀκρίβειαν:

Διδύμου:

Ἁγίους ἐνταῦθα τοὺς ἀγγέλους λέγει· παριστῶν ὅτι εἰ καὶ ἄγγελοι τρεπτοί εἰσιν, πῶς οἷόν τε ἄνθρωπον εἶναι ἄμεμπτον:

Πολυχρονίου:

Ἴσως φησὶ τοὺς πάλαι ἁγίους, οἷον τὸν ἀβραάμ, τὸν μωϋσέα, οὐκ ἐκτὸς κατέλιπε μέμψεως· καὶ γὰρ καὶ τῷ ἀβραὰμ ὀργισθεὶς

φαίνεται ὑμῖν καὶ τῷ μωϋσεῖ· πῶς οὗτος ἀλαζονεύει δικαιο-
σύνης ἀκρίβειαν :                Ὀλυμπιοδώρου :
οα  Περὶ ἁμαρτωλῶν λέγει ἐπιμόνως· ἀλλὰ βούλεται δεῖξαι ὅτι
μόνη τοῦ θεοῦ ἡ φύσις ἐστὶν ἀναλλοίωτος· ὁ γοῦν οὐρανός φησιν,
εἰ καὶ λαμπρὸς τῇ φύσει καθέστηκεν· ἀλλ' ὅμως νέφους ὑποδρα-
μόντος, κρύπτεται τῆς οἰκείου λαμπηδόνος· εἰ τοίνυν φησὶν,
οὔτε τοὺς ἁγίους ἔστιν εὑρεῖν τοσαύτης παντελῶς ἐλευθέ-
ρους, οὔτε οὐρανὸν ἔστι τῆς οἰκείας ἀεὶ καθαρότητος, πῶς
οὐ τολμηρὸν ἄγαν ἐπὶ ἁγνείᾳ πράξεως αὐχεῖν· τὸ δὲ
πίνων, ἀδικία ἴσα ποτῷ· τοῦτό φησιν δηλοῖ οὐ κατὰ περίστασιν,
ἢ ἐξ ἀνάγκης ἁμαρτάνειν, ἀλλὰ καθ' ἡδονὴν ὥσπερ ἀμελεῖ
οα  καὶ ὁ διψῶν πίνει :          Διδύμου :          Ὡς οὐδὲ τὰ ἄστρα
συγκρίσει τοῦ φωτὸς οὕτως καὶ σκοτίαν οὐκ ἔχοντος οὐδεμίαν·
καὶ αὐτὸς ὁ οὐρανὸς οὐ καθαρός ἐστιν, οὐ καθάπαξ ἀλλ' ἐπί-
οα  προσθεν :          Πολυχρονίου :          Πάντα δὲ τὰ λοιπὰ
καὶ τὰ ἄλλα δοκοῦντα εἶναι ἀπαθῆ, δέχεται τινὰ τῆς προ-
ούσης καταστάσεως ἀλλοίωσιν :
> Ἐὰν δὲ ἐβδελυγμένος καὶ ἀκάθαρτος ἀνήρ· πίνων ἀδικί-
> ας ἴσα ποτῷ· ἀναγγελῶ δέ σοι ἄκουέ μου, ἃ δὴ ἑώρακα ἀναγ-
> γελῶ σοι, ἃ σοφοὶ ἐροῦσιν, καὶ οὐκ ἔκρυψαν πατέρες αὐτῶν :
:: τ πόσῳ μᾶλλον·    :: τ καὶ οὐκ ἔκρυψαν τὸ ἀπὸ τῶν
πατέρων αὐτῶν :          Διδύμου :          Κἂν τις ἄνθρωπος τύχοι
ἐκ παραβάσεως πίνος γένηται, ὁμοιοῦται ἀνδρί· οὐκ ἔτι
ἄξιος εἶναι ἀξιούμενος διὰ τὸ πολὺ ἡμαρτηκέναι τὴν ἀδικίαν.

ἀπελέγχως γὰρ ἐμφορεῖται τὴν ἀδικίαν ὁ ἄδικος. δεικνὺς
δὲ τοῦτο μὴ κατὰ φύσιν εἶναι τὸ κακόν. φησὶ γοῦν ὅτι ὁ γε-
ννητὸς οὐ καθαρὸς ὡς πρὸς τὸν θεόν, εἰ δὲ τοῦτο ὁ ἄνθρωπος συ-
νίησιν ἀδικίαν ταχέως: πολυχρονίου:

τουτέστι μετ' ἐπιθυμίας τὴν κακίαν μετιόντες, καὶ πλεῖον
ἔχοντες ἔρωτα περὶ ταύτην ἢ περὶ τὴν τοῦ καλοῦ πρᾶξιν:

ὀλυμπιοδώρου: καταφρὺς τῆς ὀφρύος δέξαι μου οβ
φησὶ τὴν διδασκαλίαν, καὶ σοφὸν ἄκουε λόγον οὔτι νε-
-ώτερον: ἀλλ' ὃν οἱ παλαιότεροι παῖδες παρὰ πρὸς διεδέξαντο:
ἀληθῆ δὲ εἶναι τοῦτον καὶ ἡ πεῖρα μοι παραδέδωκεν.
οἱ γὰρ τὸν σοφὸν τοῦτον παραδόντες λόγον, οὕτω καὶ θεο-
σεβεῖς διέμειναν, ὡς ἀλλοτρίως τὴν ἑαυτῶν οἰκῆσαι γῆν.
οὐ ξένος αὐτοῖς πολεμίου ἐπήλυθος. καὶ γὰρ καὶ τοῦτο
τὸ γέρας τοῖς τότε εὐσεβοῦσιν. τίς οὖν ὁ λόγος ὁ παλαιὸς ἔ-
ξης: διδύμου: δοκεῖ πως ἀλαζονικῶς οβ
ταῦτα τῷ ἰὼβ λέγειν, ἢ τάχα οὐ προθέσει ἀλαζονικῇ, ἀλλὰ
τὸ νομίζειν αὐτὸν ἐν ἁμαρτίᾳ εἶναι, καὶ διαλύειν δεῖσθαι
τῆς παρὰ πρὸς αὐτοῦ παραινέσεως: ἄλλο:

ἐπειδὴ οὔτι νεώτερον αὐτὸς εὕρηκως. ἀλλὰ παρὰ τῶν ἀρ- οβ
χαίων μεμάθηκα καὶ ἀκριβῶς ἔγνων: πολυχρο:

τουτέστι καταβαλὼν τῆς ὀφρύος δέξαι μου τὴν διδασκαλίαν. οβ

αὐτοῖς δὲ μόνοις ἐδόθη ἡ γῆ. καὶ οὐκ ἐπῆλθεν ἀλλογενὴς
ἐπ' αὐτούς. πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι. ἔτη δὲ ἀριθμητὰ
δεδομένα δυνάστῃ: : λ ἐν ὀδύνῃ. θ

ματαιοῦται· ὃ ἀλαζονεύεται· :: ἐν ὀλίγῳ δυναστεύουσιν·
ὃ καὶ ἀξιωθεὶς ἐτῶν κεκαρυμμένος ἰσχυροῦ : Διδύμου:
γ Ἐοίκεν οὗτος, εἰ καὶ μὴ κατὰ τὴν ἐπίγνωσιν θείαν, ἀλλὰ τῷ θαυ-
μάζειν τοὺς ζωέσει ὑπερβαίνοντας, ὅμοιον λέγει τῷ ζηλωτῇ ἐρα-
σινεῖ, τοῦ πιστοῦ ὅλως ὁ κόσμος τῶν χρημάτων· τοῦ δὲ ἀπίστου
οὐδὲ ὀβολός· κἂν γὰρ πολυκτήμων ὑπάρχῃ ὁ ἄπιστος, οὐ
δεσπότης αὐτῶν, ἀλλὰ δοῦλός ἐστι· τῷ γὰρ μαμωνᾷ δουλεύει:
Πολυχρονίου: Τοιοῦτον φησὶ τὸν τρόπον ἐπεδείξαντο, ὡς
τοὺς παρὰ τοῦ τυχόντος προνοίας μόνους ἐν ἀνέσει γενέσθαι.
καὶ μετ' ἀδείας οἰκῆσαι τὴν γῆν: Ὀλυμπιοδώρου:
ογ Οἱ ἀσεβεῖς φησὶ κἂν ἐν ἀφθόνοις ὑπάρχειν δοκῇ, οὐ κατα-
φαιδρῶς βιοῖ, ἀλλ' ἀεὶ τεταραγμένος ἐστί. πρόσκαιρος αὐτοῦ ἡ
δυναστεία. περίφοβός ἐστιν. ἔνοικον ἀεὶ τὸ δέος ἔχων·
ὥσπερ ἐνηχοῦν αὐτῷ τὴν μέλλουσαν ἀπωλείαν. ἥξει δὲ αὐτῷ
καὶ ἀπόκληρος ἡ καταστροφὴ τῆς δοκούσης εὐημερίας:
ου Πολυχρονίου: Καὶ οὐδὲ πώποτέ τι ὑπὸ πολεμίων πεπόν-
θασιν· τοιοῦτοι γεγόνατες οἱ περὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ
οε Ἰακώβ, Μωϋσῆν, Ἰησοῦν: Τοῦ αὐτοῦ: Οἱ μὲν οὖν
ἄγριοι φησὶ τοῦτον τὸν τρόπον διήνυσαν τὴν ζωήν· ὁ δὲ ἀ-
σεβής, κἂν ἐν ἀφθονίᾳ διάγειν δοκῇ, οὐ καταφαιδρῶς
βιοῖ: Διδύμου: Τοῦτο λέγει ὅτι κἂν δυναστεύῃ
τις θρασύνεται, ἴστω ὅτι ἀξιόμεμπτα ἔτη ἔχει. οὐχ ἡ δυνα-
στεία πολυχρόνιον αὐτὸν ποιεῖ· ἐπιμετροῦνται γὰρ τοῖς ἀνοσίοις
χρόνοις παρὰ τοῦ θεοῦ πρὸς τὸ αὐτοῦ κρίμα. κἂν ἀλαζονεύηται

οὕτω ὁ δυνάστης· ἐπεὶ ὁ βίος αὐτοῦ καὶ τὰ ἔτη αὐτοῦ ὀλίγα τυγχά-
νει καὶ ἀπόφοβα, ἀεὶ ἐν τοῖς ὠσὶ τὸν φόβον ἔχοντα διὰ τὸ ἀβέ-
βαιον τοῦ τρόπου: Τοῦ ἁγίου Ἰω(άννου):

Τοῖς ἀδίκοις φησίν· οἱ γὰρ τύραννοι ὀλιγοχρόνιοι, ὅταν δοκῇ
εἰρηνεύειν, τότε ἥξει ἡ καταστροφὴ αὐτοῦ· ὥστε μαθεῖν ὅτι
ἄνωθεν ὁ πόλεμος: Πολυχρονίου:

Ἐπ' ὀλίγῳ φησὶ τῷ χρόνῳ οἱ τοιοῦτοι δυναστεύσαντες, τέλος
τιμωρίᾳ περιπίπτουσιν, αἰνίττεται δὲ αὐτὸν ἐπὶ ταῖς
συμφοραῖς: Ὁ δὲ φόβος αὐτοῦ ἐν ὠσὶν αὐτοῦ, ὅ-
ταν δοκῇ ἤδη εἰρηνεύειν, ἥξει αὐτοῦ ἡ καταστροφή, μὴ
πιστευέτω ἀποστραφῆναι ἀπὸ σκότους· ἐντέταλται γὰρ ἤδη
εἰς χεῖρας σιδήρου: ∴ Ε΄ προεσκοπεύθη
γὰρ εἰς μάχαιραν: Πολυχρονίου:

Ἁμαρτάνων φησὶν ἀεὶ δέδοικε, αὐτὸς ἑαυτοῦ τῷ συνει-
δότι κατήγορος γινόμενος, καὶ ἀεὶ πρὸ ὀφθαλμῶν ἔχει τὸν
φόβον, ὥσπερ ἐνηχοῦντα αὐτῷ τὴν μέλλουσαν ἀπώλειαν.
οὕτω ἐστὶν ἐν ὑπονοίᾳ ἔξω: Πολυχρονίου:

Καὶ ἡνίκα φησὶν ἐν ἀσφαλείᾳ εἶναι δοκεῖ, τὸ τηνικαῦτα
τὴν ἐσχάτην ὑποστήσεται τιμωρίαν· ὁ δὲ ἑβραῖος ἐν
ἡσυχίᾳ? ὤσπερ ἔχεται· ἐμφαντικώτερον σαφηνίζων τὴν ἔννοιαν:

Ὀλυμπιοδώρου: Σκότος λέγει τὴν τιμωρίαν·
μὴ πιστευέτω οὖν φησὶν ἀτιμώρητος μένειν ὁ ἀσεβής.
ἤδη γὰρ τῇ ἀποφάσει ὑπὸ τιμωρίαν κεῖται· εἰ καὶ τὴν ἀ-
νεξικακίαν θεοῦ τὴν μεταβολὴν ἀπαιτεῖ τοῦ τρόπου· μὴ

καταγνοὺς γὰρ ἑαυτοῦ, τὴν ἐσχάτην δίδωσι δίκην, ὡς
μηδὲ ταφῆς τὸν τοιοῦτον ἀξιωθῆναι· ἀλλ᾽ ἄταφον κείμενον
τοῦ ὑπὸ γυπῶν σπαραχθῆναι· εἴρηται δὲ τί ὡς ἦθος συμβησόμενον·
δηλῶσαι βουλόμενος ὅτι πάντως οἱ ἀσεβεῖς ὑπὸ τιμωρίαν
ο͞ζ ἔσονται: **Πολυχρονίου:** Εἰ δὲ πρὸς τὴν εὐη-
μερίαν φησὶν ἀφορῶν, οὐδεμίαν μεταβολὴν προσδέξηται:
ο͞ο **Διδύμου:** Ἀποκεῖσθαι γὰρ ὁ ἁμαρτάνων ἐπιστά-
σεται ἑαυτῷ κόλασιν, ἅπερ διὰ τοῦ σίτου καὶ τῶν γυπῶν
σημαίνεται· οὐδεὶς δὲ ξενιζέσθω ὅτι οὗτος τοιαῦτα λέγει·
ἤδη γὰρ εἴρηται ὅτι ἴσως ἐκ παρακουσμάτων ἀρχαίων
αὐτὰ προφέρει:
Κατατέτακται δὲ εἰς σῖτα γυψί· οἶδε δὲ ἐν ἑαυτῷ ὅτι μένει
εἰς πτῶμα· ἡμέρα δὲ σκοτεινὴ αὐτὸν στροβήσει· ἀνάγκη
δὲ καὶ θλῖψις αὐτὸν καθέξει: ∴ θορυβήσει:
ο͞ο **Διδύμου:** Ὅρα καὶ ὁ θάνατος ἐλεεινός, οὐ
κατὰ τὸν κοινὸν νόμον τῆς φύσεως, ἀλλὰ βίᾳ καὶ πολέμῳ
καὶ μάχῃ, καὶ μετὰ θάνατον οὐδὲ ταφὴ οὐδὲ κηδεία.
καὶ οὐ μόνον τὸ ἄταφον εἶναι, ἀλλὰ καὶ σῖτα γυψὶ φησίν:
ο͞ο **Πολυχρονίου:** Οὐδὲ ταφῆς φησὶν ὁ τοιοῦτος ἀξιοῦ-
ται, ἀλλ᾽ ἄταφος ῥιφεὶς φορὰ τοῖς οἰωνοῖς γίνεται· ὃ χαλεπώτατον
εἰς τιμωρίαν τοῖς τὰ τηνικαῦτα μάλιστα νενόμισται:
ο͞ε **Ὀλυμπιοδώρου:** Ἀλλὰ καὶ ὁ τοιοῦτος φη-
σὶν συνεπίσταται ἑαυτῷ τὴν μέλλουσαν πτῶσιν· ἀφ᾽ ὧν
δὲ ἀδεῶς ἁμαρτάνει ὑπερορῶν τῆς τοῦ θεοῦ κρίσεως:

αὕτη γάρ

αὕτη γὰρ ἡ σκοτεινὴ ἡμέρα τοῖς ἀσεβέσι δὲ δηλονότι·
καθ᾽ ἣν φησὶν οὐδεμίαν διάλυσιν εὑρήσει τῶν κακῶν:
Διδύμου: Λέγει ὅτι τὸ συνειδὸς τῶν ἁμαρτανόν- οε
-των οἶδεν τὴν τῶν ἐπιτηδευμάτων τῶν φαύλων προσδοκίαν.
ὅτι αὐτὴ δίωκει ἄγει: Πολυχρονίου:
Τοῦτο χαλεπώτερον τὸ συνειδός, ὅταν αὐτὸς τοιαῦτα μαν- οε
τεύηται καὶ προλέγει· Τοῦ αὐτοῦ:
Ἐπειδή φησιν εἰδὼς τὰ ἐγκλήματα ὁ ἁμαρτάνων, καὶ ἀπὸ τῆς οε
καθ᾽ ἑτέρων τιμωρίας τῷ συνειδότι βαλλόμενος. ὅτι ἀ-
πεπτῶς ἁμαρτάνει ὑπερορῶν τῆς θείας ψήφου· ἡμέρα σκο-
-τεινὴ στροβήσει αὐτόν: Διδύμου: Ἀντὶ τοῦ
διαλαθὰς ἄπεισιν ἐκ τῶν κολάσεων· ἔχεις ἐν Ἀμὼς περὶ τῆς ☽
ἡμέρας· οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν κυρίου· καὶ ἵνα
τί ὑμῖν αὕτη ἡ ἡμέρα κυρίου· καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς
καὶ γνόφος οὗ οὐκ ἔστι φέγγος: Πολυχρονίου:
Ἀλλ᾽ εἰ καὶ διαιων φησὶν οὐκ ἐπιστρέφεται· μεταμελήσει γὰρ ☽
αὐτῷ συμφορᾶς καταλαβούσης, ἡνίκα ἐν ἀμηχανίᾳ κα-
-ταστὰς εἴσεται τὸ διάφορον εὐσεβῶν πρὸς τοὺς παρανόμους:
Διδύμου: Φησὶν οὖν ὅτι οἱ φαῦλοι τούτοις περιπε- ☾
σοῦνται· διὰ πάντων κατασκευάζων· ὅτι δι᾽ ἁμαρτίας
ταῦτα πάσχει: Πολυχρονίου:
Τὸ τοιαῦτα φησὶν οὐδεμίαν διάλυσιν εὑρήσει τῶν κακῶν: ☾
Ὥσπερ στρατηγὸς πρωτοστάτης πίπτων· ὅτι ἦρκε χεῖρας ἐναν-
τίον τοῦ κυρίου· ἔναντι δὲ κυρίου παντοκράτορος ἐτραχηλίασεν·

ἔδραμε δὲ ἐναντίον αὐτοῦ ὕβρει· ἐν πάχει νώτου ἀσπί-
δος αὐτοῦ: :: ε' κατισχύετο

:: ※ ἐν θ' οἱ γ' · θαρσῶν τοῖς ἀμυντηρίοις αὐτοῦ:

οε Ὀλυμπιοδώρου: Πρωτοστάτην λέγει, τὸν ἐν τοῖς
πολεμίοις τοῦ στρατηγοῦ ἡγούμενον· ὥσπερ τοίνυν φησὶ τῇ
ἑαυτοῦ δυνάμει θαρρῶν ὁ τοιοῦτος καὶ προπηδῶν τῶν πολε-
μίων, καιρίαν λαβὼν τὴν πληγήν, οὐδεμίαν ἔχει σωτηρίας
ἐλπίδα· οὕτω καὶ ὁ ἀσεβής, ὡς χεῖρας ἀνταίρων θεῷ, καὶ τὸν
τράχηλον ἀποσειόμενος ζυγόν, καὶ ὥσπερ τρέχων, εἰς τὸ συμ-
βαλεῖν αὐτῷ πρὸς παράταξιν, διὰ τὴν παχεῖαν ἀσπίδα τὴν ὑ-
περηφανίαν ἐπιφερόμενος καταβάλλεται καὶ πίπτει:

οϛ Διδύμου: Εἰ καὶ μὴ ὁ Ἰώβ ἐστιν ὁ ταῦτα λέγων· ἀλλ' εἰχέτω
τινὰ ὁ διάβολος γνῶσιν, ἥντινα αὐτὸς εἰκὸς ἐκ λόγων ἢ τοῦ Ἰ-
ὼβ ἢ ἄλλων παλαιῶν ἔσχεν· πρωτοστάτην οὖν αὐτὸν στρατιωτῶν,
διὰ τὸ ἀρχέκακον λέγει· φησὶν οὖν ὅτι οὕτως αὐτὸν κα-
θέξει ἀνάγκη καὶ τοῖς προκειμένοις ἔσται· ὡς ὁ πρω-
τοστάτης στρατηγός, οὕτω καὶ αὐτὸς πεσεῖται ἀρχέκακος ὤν:

Πολυχρονίου: Ταῦτα φησὶ πείσεται· ἐπειδὴ κατὰ
θεοῦ ἠλαζονεύετο: Ὀλυμπιοδώρου:

Ἀντὶ τοῦ ἐγαυρίασεν ἀπὸ τῶν βοῶν τῶν ἀποβαλλόντων τοῦ
τραχήλου τὸν ζυγόν: Πολυχρονίου:

Καὶ οὐ μέχρι βουλῆς, ἀλλ' ἐπὶ τῶν ἔργων τὴν κατὰ θεοῦ ἐπε-
δείξατο θρασύτητα· ἔφη δὲ αὐτῷ ἐκ μεταφορᾶς τῶν
βοῶν τῶν ἀποσκιρτούντων πρὸς τὴν ζεύγλην· ἵνα ἤδη ἀπο-

-σείσαντο τοῦ θεοῦ τὴν κηδεμονίαν: τοῦ αὐτοῦ:

Καὶ ὡς πρὸς ὁμοφυῆ φησί, κατασυστάδην τρόπον τινὰ θεῷ ξ
πολεμήσας ἐπεχείρησεν· τὸ δὲ ἐν πάχει νώτου, ἵνα εἴπῃ ὅτι
δοκῶν τοῖς ἔξωθεν ἠσφαλίσθαι, κρείττων ἔσεσθαι τῆς τοῦ θεοῦ πληγῆς
ἐνόμισεν: Ὅτι ἐκάλυψεν πρόσωπον αὐτοῦ
ἐν στέατι αὐτοῦ· καὶ ἐποίησε περιστόμιον ἐπὶ τῶν μηρίων·
αἶνος δι' αὐτοῦ ὕβρεις· αὐλισθείη δὲ πόλεις ἐρήμους:
∴ σ̅ ἐπεκαλύφθη γάρ· ∴ σ̅ καὶ ἐπάχυνε πιμελὴν κατὰ
τῆς ψόας: Ὀλυμπιοδώρου: Καθάπερ ὁ εὐτρα- οξ
φὴς ὑπὸ τῆς ἄγαν τρυφῆς πιμελῇ παχύνεται τὸ πρόσωπον, καὶ
διπλώματα καὶ περιθλάσεις ποιεῖ ἐπὶ τῶν μηρῶν, ἃ δὴ
περιστόμιον καλεῖ, ὡς ζωννύοντα τοὺς μηρούς· οὕτω φησὶ καὶ
ὁ ἀσεβὴς ὑπὸ τῆς εὐημερίας πανταχόθεν περιχεόμενος, καὶ
τὸ βλεπτικὸν τῆς ψυχῆς ἐντεῦθεν πηρωθεὶς καὶ σαρκικῇ
δυνάμει πεποιθώς, εἰς ἀντίστασιν ἐπαίρεται τῷ κατὰ
θεοῦ, πολεμῶν τοῖς αὐτοῦ δικαιώμασι· διὸ καὶ ὡς ἀντιμα-
χόμενος τῷ θεῷ ὑπ' αὐτοῦ καταβάλλεται:

Πολυχρονίου: Διὰ τὸν πλοῦτον φησὶ καὶ τὴν τρυφὴν οξ
ἐθρασύνετο κατὰ θεοῦ, οὐδεμίαν τῆς παρούσης εὐημερί-
ας μεταβολὴν προσδοκῶν· ἀντὶ δὲ τοῦτο πρόσωπον, ὁ ἑβραῖος
τὴν καρδίαν ἔχει· ὡσανεὶ ἔφη, τὸ βλεπτικὸν τῆς ψυχῆς
ὑπὸ τῆς τρυφῆς ἐπηρώθη: τοῦ αὐτοῦ:

Ὁ ἑβραῖος ἀντὶ τοῦ περιστόμιον· πιμελὴν καὶ δίπλοϊδα λέγει,
τουτέστι πολυσαρκίαν καὶ τρυφὴν ἑαυτοῦ ἐξέστησεν· ὥστε

καὶ τὸ πολοῖδας ἔχειν ἐπὶ τῶν μηρῶν ἐκ τῆς πολυσαρκίας· ὁ δὲ σύμμαχος κατὰ ψύας ἡρμήνευσεν· εἰς δὲ τὴν αὐτῆς ἔννοιαν ἅπαντα τείνει: τοῦ αὐτοῦ:

Δ Καὶ ἐπὶ σκηνῇ φησὶν εἰς τὸ τίμιον παραιτεῖσθαι· καὶ τοῦτο τιμωρίας ἄξιον· ὁ γὰρ ἐν ἀδικίαις ζῶν, καὶ τὴν εὐσέβειαν ὑποκρινόμενος ὑβρίζει τὸ αὐτοῦ τίμιον, οἰόμενος λανθάνειν αὐτοῦ τοῖς ὀφθαλμοῖς ἀλόγως παραιτεῖται: Ὀλυμπιοδώρου:

ση Τὴν παντελῆ ἐρημίαν τῶν ἀσεβῶν λέγει· ὡς ἀντὶ πόλεων εὐθηνουμένων καὶ οἴκων, ἐρημίαν αὐτοὺς οἰκεῖν, καὶ σκηνία πήξασθαι· σημειωτέον τὸ ταῦτα λαλοῦν πρόσωπον ὅτι οὐ κατασφαλίζεται τὸν λόγον:

ση Ὁ τοιοῦτος φησὶ τῶν οἰκείων ἐκπεσὼν τὰς ἐρήμους καταδιώξει, πάσης ἐκπεσὼν τῆς προσδ... ...ασίας:

> Εἰσέλθοι δὲ εἰς οἴκους ἀοικήτους· ἃ δὲ ἐκεῖνοι ἡτοίμασαν
> ἄλλοι ἀποίσονται· οὔτε μὴ πλουτισθῇ, οὔτε μὴ μείνῃ αὐτοῦ τὰ ὑπάρχοντα: Διδύμου:

Ἔοικε ταῦτα περὶ τοῦ διαβόλου λέγεσθαι, ἢ καὶ περὶ πάσης πονηρᾶς καὶ ἀντικειμένης δυνάμεως καὶ ψυχῆς μετεχούσης τῆς αὐτῆς κακίας· τὰ γὰρ τῶν αὐτῶν δεκτικά, ὁμοούσιά ἐστι· καὶ ἐὰν τι περὶ τοῦ διαβόλου λέγηται ὡς πονηροῦ, ὡς κακοῦ ἔργου, δυνατὸν ταύτην τὴν κακίαν καὶ περὶ ἄλλην δύναμιν πονηρὰν λεχθῆναι· καθόλου οὖν περὶ παντὸς κακοῦ φαμέν, ὅτι εἰσέρχεται εἰς οἴκους ἀοικήτους· ἔνθα γὰρ οἴκησις ἐστὶ σπουδαία, οὐκ ἔχει χώραν ὁ κακός· καὶ ἔχομεν

ἐξ εὐαγγελικοῦ παραστῆσαι τοῦτο· ὅταν τὸ ἀκάθαρτον πνεῦμα φησὶν
ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου· διέρχεται δι' ἀνύδρων τόπων ζητοῦν
ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει· ἄνυδροι δὲ τόποι ἐν τούτοις
αἱ ψυχαί εἰσιν αἱ ἐξηρημέναι κακίας: Πολυχρονίου:
Ἔθος γὰρ τοὺς φεύγοντας τοὺς τυχόντας τῶν τόπων πρὸς σωτη-
ρίαν καταλαμβάνειν ἑνὸς γινόμενοι, τοῦτον ἐν πᾶσι παρα-
φημῶν κινδύνων: Διδύμου: Εἰπὼν ἐπὶ
ἀντικειμένων ἑνικῶς διὰ τοῦ εἰσέλθοι δὲ εἰς οἴκους ἀοι-
κήτους, ἔφη πληθυντικῶς· ἃ δὲ ἐκεῖνοι ἠτοίμασαν, ἄλλοι
ἀποίσονται· ὅσα γὰρ παρασκευάζουσιν οἱ φαῦλοι εἰς κακίαν
ἄλλοι αὐτῶν ὄντες οἱ ἅγιοι λαμβάνουσιν ἀπὸ θείου κηρύ-
γματος. ὥσπερ οἱ μακάριοι ἀπόστολοι πεποιήκασιν· ἀπο-
σταλέντες μαθητεῦσαι πάντα τὰ ἔθνη: Πολυχρονίου:
Τέλος μὲν οὖν φησὶν ἔσται ἐν τούτοις· τῆς ἐκ τοῦ πλούτου ἀ-
λαζονίας ἀξίαν τὴν δίκην διδοὺς τῆς προσούσης εὐπορίας
τὴν μεταβολήν· καὶ τὰ σὺν πολλῷ δὲ τῷ πόνῳ συλλεγέντα
εἰς ἄλλους μεταστήσεται: Τοῦ αὐτοῦ:
Οὐ μόνον φησὶ τὴν προσοῦσαν οὐσίαν οὐκ αὐξήσει, ἀλλὰ καὶ
τὴν προσοῦσαν ἀπολέσει:
Οὐ μὴ βάλῃ ἐπὶ γῆς σκιάν· οὐδὲ μὴ ἐκφύγῃ τὸ σκότος· τὸν βλα-
στὸν αὐτοῦ μαράναι ἄνεμος: Ὀλυμπιοδώρου:
Μεταφορικῶς ὡς ἐπὶ δένδρου εὐθαλοῦς καὶ πρὶν γηράσαι
ἐκτεμνομένου, καὶ ἔτι ὄντως ἐν τῇ αὔξῃ μαραινομένου
οὕτω διέξεισι τοῦ ἀσεβοῦς μέχρι τέλους εὐημεροῦντα.

τὸ οὖν οὐ μὴ βάλῃ ἐπὶ γῆς σκιάν, ἀντὶ τοῦ ἐκκοπῇ· τὰ γὰρ δένδρα ἐν ὅσῳ μὲν ἵσταται, καὶ σκιὰν ποιεῖ, ἀποτμηθέντα δὲ οὐκέτι· ἀλλὰ καὶ μαρανθήσεται φησὶν ὁ ἀσεβὴς ὡς φύλλου βλαστοῦ ὑπὸ ἀνέμου· ἡ δὲ εὐημερία αὐτοῦ, ὡς ἄνθος ἐκπεσεῖται· τὸ δὲ ἡ τομὴ αὐτοῦ πρὸ ὥρας φθαρήσεται ἐν ἀώρῳ ἡ ἡλικία τελευτήσει φησί· τὸ δὲ ὁ ῥάδαμνος αὐτοῦ, οὐ μὴ πυκάσῃ, ἀντὶ τοῦ οὐ μενεῖ κομῶν, τοῖς ἀγαθοῖς ἐπικάθηται γὰρ ἐπί, τὸ τοῖς κλάδοις ἐπισκιάζεται· εἶτα ἐπιμείνας τῇ μεταφορᾷ, πάλιν διὰ τοῦ ὄμφακος τὴν ἄωρον διέγραψε τελευτήν· τῶν δὲ ἀγαθῶν τὴν ἔκπτωσιν διὰ τῆς ἀπορροῆς τοῦ ἄνθους τῆς ἐλαίας: ἄλλως: ῥάδαμνος δέ ἐστιν ὁ τοῖς φύλλοις κομῶν ἀκρεμὼν τοῦ δένδρου καὶ σκιὰν ἐπιτελῶν· εἴρηται δὲ παρὰ τὸ ῥᾳδίως δαμάζεσθαι ὑπὸ καύσωνος, ἢ τινὸς ἄλλου αἰτίου ὡς ἁπαλὸς καὶ προεξέχων:

οθ Διδύμου: Τὰ σώματα ποιητικὰ τῶν σκιῶν ἐστί, καὶ ἀδύνατον σώματος μὴ ὄντος σκιὰν εἶναι· καὶ ὥσπερ οὖν ἐπὶ τόπον ἵνα ὁ ὑπερφανῶς οὐ μένει· οὐ λέγω ὅτι ἡ οὐσία αὐτοῦ οὐ μένει· ἀλλ' οὕτως ὡς ἡ θέλησις, διὸ οὐ βάλλει σκιάν· οὔτε γὰρ ἐν φησὶν ἡ κακία οὔτε εἰς τὸν αἰῶνα μένειν ἔσται: ἄλλο: Καὶ εἰκότως, ὁ γὰρ τῶν ἄλλων παραίτιος εἰς κακίαν ἀναπόδραστον ἔχει τὴν κόλασιν:

οθ Πολυχρονίου: Οὐκέτι τὴν προτέραν ἀφίξεται εὐημερίαν· τὸ γὰρ οὐ μὴ βάλῃ σκιάς, ἐκ μεταφορᾶς ἔλαβε τῶν φυτῶν τῶν ξηραινομένων

πρὸ τῆς αὐξήσεως ἦγε ἤδη, οὐδὲ μνημόσυνον ὑπολειφθή-
σεται: τοῦ αὐτοῦ: παντελῶς αὐτὸν ἀπώλεια δέ- δ
χεται: διδύμου: εἰ καὶ ἔδοξε βλαστάνειν ἐν οἷς ἠπά- ϙ
τησε· καὶ ἐν οἷς ἐπλήρου τὴν κακίαν· ἀλλ' ὁ βλαστὸς
αὐτοῦ οὗτος ὑπὸ ἀνέμου μαραίνεται· οὐ γὰρ ἐπὶ ῥίζαις
ἔχων· οὐ γὰρ ὑποστάσης ἡ κακία, ἀλλ' ἔξωθεν ἐπεισελθοῦ-
σα, τῆς προσβολῆς τοῦ πειρασμοῦ, τῆς ἀνέμοις ἐοικυίας, ἐ-
λέγχεται καὶ πίπτει καὶ μαραίνεται: πολυχρονίου
Βλαστὸν μὲν λέγει τοὺς ἐκγόνους ἐκ μεταφορᾶς τῶν δένδρων. ϙ
λέγει δὲ ὅτι ἡ τοῦ θεοῦ τιμωρία δίκην καύσωνος φλογώδους
ἀναλώσει αὐτὸν σὺν τοῖς παισίν· ὥστε μηδὲ τοῖς ὕστερον
λείψανον καταλιπεῖν τῆς μνήμης:
Ἐκπέσοι δὲ αὐτοῦ τὸ ἄνθος, μὴ πιστευέτω ὅτι ὑπομενεῖ·
κενὰ γὰρ ἀποβήσεται αὐτῷ· ἡ τομὴ αὐτοῦ πρὸ ὥρας φθα-
ρήσεται· καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ πυκάσῃ· τρυγη-
θείη δὲ ὡς ὄμφαξ πρὸ ὥρας:
∴ ἢ οὐκ εὐθαλήσει: διδύμου: ℓ
Πᾶσα φησὶν ἡ ὑποκριτοῦ εὐπραγία διαρρυήσεται· ἄνθος
γὰρ πολλαχοῦ ἡ γραφὴ τὴν δόξαν λέγει· οὕτω γὰρ καὶ ὁ προ-
φήτης· καὶ πᾶσα δόξα αὐτοῦ ὡς ἄνθος χόρτου: ἄλλως:
τὸ ἄνθος ἀρχὴ καὶ προοίμιόν ἐστι καρποῦ, καὶ τοῦτο οὖν ἐκ-
πίπτει· κἂν γὰρ ἀλαζονεύηται ὁ μετέχων κακίας, ἀλλὰ
μικρὸν ὕστερον ταπεινοῦται· τοῦτο δὲ πολλάκις καὶ ἐν ἡμῖν
ἐστί· καθὰ καὶ ὁ τελεὸς τῶν ἐπιφυομένων χλόην τῷ

σώματι πολλάκις διὰ σιδήρου ἐκτέμνῃ· καὶ οὐδὲ παύ-
-εται προστιθέντα ἀντιαρὰ ἕως οὗ τὸν σκοπὸν τοῦ ὑγιαίνοντ(ος)
αὐτῷ πληρώσῃ : Τοῦ αὐτοῦ : Μὴ ἀσφαλῆ ὑπο-
στατὰ καθ' ἑαυτὸν νομιζέτω ὁ ἀσεβὴς ἐπαίρων εἰς θεόν :
Τοῦ αὐτοῦ : Ματαιότης γὰρ αὐτοῦ ἐστὶ πᾶσα πρᾶξις,
διὰ τὸ μηδὲν ὑφεστηκὸς ἔχειν : Πολυχρονίου :
Ἅπας γὰρ αὐτῷ φησὶν ὁ πόνος εἰς ἀνόνητον χωρήσει, μὴ
τοῖς θείοις νόμοις ἀκόλουθα πράττοντι : Διδύμου :
Διὰ τοῦτο τὸ ἄνθος αὐτοῦ ἐκπέσῃ· καὶ ὁ βλαστὸς αὐτοῦ μα-
ραίνεται· ὅτι οὐ μένει καιρὸν τελείου καρποῦ : Καὶ
μετ' ὀλίγα : Τὸ δὲ πρὸ ὥρας ἐνταῦθα τὸ τῆς τελεσ-
φορήσεως λέγει, καθὸ λέγομεν ὥραν εἶναι τρυγητοῦ· ἐν
τοσούτῳ γὰρ ὁ Ἰὼβ ἐλήλυθεν, ὡς ἤδη ὥριμος καλὰ καὶ
ὢν θεριζόμενος· εὐεργεσία δὲ θεοῦ ἐστί, τῆς κακίας τὸν
βλαστὸν πρὸ ὥρας φθονούσης : Πολυχρονίου :
Τουτέστι πρὸ ὥρας ὑπομενεῖ τὸν θάνατον· ἔλαβε δὲ αὐτῷ
τὴν μεταφορὰν τῶν ἀμπέλων, αἳ τῷ μὲν καθήκοντι και-
ρῷ τεμνόμεναι καρποφοροῦσιν· πρὸ δὲ ὥρας τοῦτο ὑπο-
μείνασαι διαφθείρονται : Τοῦ αὐτοῦ :
Ἵνα εἴπῃ οἱ ἔκγονοι αὐτοῦ ἀφανίζονται : Τοῦ αὐτοῦ :
Πεινῇ ἐκ τῶν οἰκείων ἀπολαύσει· τέλειον κατὰ
γνώμην ἀπόλλυται :
Ἐκπέσοι δὲ ὡς ἄνθος ἐλαίας· μαρτύριον γὰρ ἀσεβοῦς
θάνατος· πῦρ δὲ κατακαύσει οἴκους δωροδεκτῶν·

ἐν γαστρὶ δὲ λήψεται ὀδύνας· :: ἀθ̅ ὅτι συνα-
γωγὴ ὑποκρίτου ἄκαρπος· :: ἃ συνέλαβε καὶ ἔτεκεν
ἀνωφελῆ : Διδύμου : Ταῖς συμφοραῖς δι-
-ελθὼν τὸ πέρας τοῦ ἀσεβοῦς θάνατον ἀποφαίνεται· ἡ
γὰρ τῆς κακίας τελεσιουργία θάνατον ἀπεργάζεται·
οὐ τὸν κοινόν, ἀλλὰ τὸν τῆς κολάσεως : Ὀλυμπιοδώρου:
Δεῖγμα φησὶν ἐστὶν ἀσεβείας τὸ αἰσχρὸν τέλος· ὡς γὰρ τὴν π
εὐημερίαν σημεῖον δικαιοσύνης ἐτίθεντο· οὕτω καὶ τὴν
δυσπραγίαν φαυλότητος γνώρισμα : Τοῦ ἁγίου Ἰω(άννου):
Τουτέστιν ἔλεγχος καὶ κατηγορία μαρτύριον τοῖς ἄλλοις αὐτοῖς, ὅτι π
οὕτως δεῖ παθεῖν πάντας· καὶ πάλιν μαρτύριον ἀσεβοῦς·
τουτέστι δῆλος καταφανής, οὐδενὶ ἄγνωστος·
Πολυχρονίου: Καὶ θαυμαστὸν φησὶν οὐδέν· οἰκεῖον π̄
γὰρ ἁπάντων τῶν ἀσεβῶν τὸ τέλος: Ὀλυμπιοδώρου:
Πῦρ λέγει τὴν θείαν ὀργήν, καταφλέγουσαν αὐτοὺς τοὺς πᾱ
ἀπλήστους καὶ πλεονέκτας, καὶ δώρων τὸ δίκαιον κατα-
προδιδόντας· δίκην γάρ φησι τῶν τικτουσῶν ὠδινό-
-μενοι ἐπὶ τοῖς κληθεῖσι γεννήσονται, καὶ ἡ ἔκβασις αὐτῶν
καὶ τὸ τέλος, κενὸν ἔσται καὶ μάταιον. τὸν δὲ δόλον ὃν καθ' ἑ-
τέρων ἐβουλεύσαντο, δηλαδὴ αὐτοὶ ὑποστήσονται· αὐτὴ τοῦ
τῶν ἐπ' αὐτῷ τιμωρείαν· κοιλίαν δὲ τὴν διάνοιαν ἤτοι
τὴν ψυχὴν λέγει: Διδύμου : Καὶ κατὰ τὸ πα
πρόχειρον ὠφέλειαν ἔχει· ὅτι οἱ δωροδοκοῦντες πάντως
ἐπὶ ἀδικήμασι καὶ ἀσεβήμασι τοῦτο ὑπομένουσι·

Ὀλυμπιοδώρου: Κυήσει καὶ ἄλλων ὀδύνας· καὶ εἰς
οὐδὲν ἀποβήσεται αὐτῷ: Διδύμου
Τοῦτο λέγει ὅτι τῆς ἐπὶ κακῶν γεννημάτων, αἴτιος γέγονεν
κολάσεων· τὰς δὲ ἀμοιβὰς τὰς θείας οὐ κακὸς γεννᾷ· ἀλλὰ
θεὸς χαρίζεται. οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ
πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς:
Πολυχρονίου: Καὶ δίκην φησὶ τῶν τικτουσῶν
πείσονται ἐπὶ τοῖς κυηθεῖσι γεννήσονται· χαλεπωτέρα γὰρ
τοῖς ἐν πειρόμενα ἡ συμφορὰ καθέστηκεν:
ἀποβήσεται αὐτῷ κενά· ἡ δὲ κοιλία αὐτοῦ ὑποίσει δόλον:
Διδύμου: Πάντα γὰρ αὐτοῦ πρακτέα ὡς προείρηται,
ματαιότητος πεπλήρωται. ἐν γαστρὶ λαμβάνοντος ὀδύνας·
συνέλαβε γὰρ πόνον καὶ ἔτεκεν ἀνομίαν· δόλον ὡς ὅτι
τῆς κοιλίας αὐτοῦ δόλον φερούσης· δόλον δὲ ἐνταῦθα τὴν
πάθων κατάφθαν φησίν: Πολυχρονίου:
Πλεῖστα γοῦν συναγαγὼν οὐδὲν ἀποίσεται κέρδος τοῦ θεοῦ δι-
κάζοντος αὐτὸν τῆς ἀρχῆς εἰς ἐρωτημένου: Τοῦ αὐτοῦ:
Ὁ δὲ τοιοῦτος φησὶν οὐδὲν πλέον ἕξει τὴν ματαιοπονίας ἣν ὑφί-
σταται τῶν ἀλλοτρίων ἔργων· ἵνα εἴπῃ ὅτι οὐ πολλὰ καμών, καὶ
ἐκ τῆς κατὰ ἑτέρων ἀδικίας συναγαγών· οὐδένα πόνου ἀξίαν
τῆς πονηρίας δεδωκὼς τὴν δίκην: +

+

+

+ προθεωρία κεφαλαίου ια:

+

Τοῦ Ἐλιφὰζ εἰρηκότος τὰς κολάσεις τοῖς ἀσεβέσιν ἐπι-
φέρεσθαι· πρὸς τοῦτο εὐθὺς ὁ Ἰὼβ ἀπαντᾷ καί φησιν·
ἀκήκοα τοιαῦτα πολλά· μέμφεται δὲ τοῖς φίλοις ὡς
οὐκ εἰποῦσι παρακλητικοὺς πρὸς αὐτὸν λόγους· καὶ αἰσθάνεται
μὲν τῷ διαβόλῳ παραδεδομένος ὑπὸ θεοῦ· τὴν δὲ αἰτίαν
ἀγνοεῖ· εἶτα καὶ λέγει τὰ συνέχοντα δεινά, καὶ αἰτεῖ μὴ
παρασιωπηθῆναι τὰ κατ᾽ αὐτόν· καὶ θεὸν ποιεῖται μάρτυ-
ρα τῆς ἑαυτοῦ συνειδήσεως, καὶ ποθεῖ τὸν θάνατον,
καὶ πάλιν ἐκδιηγεῖται τὰς συμφοράς, εἰς ὀδυρμοὺς κα-
ταλήγων τὸν λόγον:

+

+

+ πέμπτη τοῦ Ἰὼβ πρὸς τοὺς φίλους διάλεξις·

κεφάλαιον ια´:

+

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει· ἀκήκοα τοιαῦτα πολλά· πα-
ρακλήτορες κακῶν πάντες· τί γάρ μὴ τάξις ἐστὶ ῥήμασι πνεύ-
ματος· ἢ τί παρενοχλήσει σοι ὅτι ἀποκρίνῃ:

:: α´ παράκλητοι πόνου· θ´ παράκλητοι κόπων· σ´ πα-
ρηγοροῦντες πάντες ἐπαρτήσατε· :: ἄλλ(ο) καὶ τάξεις
οἱ τῶν πέρας θ´· :: ε´ ἵνα· Ὀλυμπιοδώρου:

πβ Τοιαῦτα μὲν οἷα λέγετε πολλάκις ἤκουσα, ὡς τοὺς ἀσεβεῖς
τὰς κολάσεις ἐκδέχονται· ὑμεῖς δὲ ἐστὲ κακοὶ παρακλήτορες,
διὰ τῶν λόγων ἐπιτρίβοντες τὰ πάθη: ἄλλο:

Τὰ καλὴ καλευμένα μοι εἴληφας· καὶ προφάσει παραινέ-
σεως ἐνήδησας: Πολυχρονίου:

Ταῦτα μὲν κοινὰ πάντων ἐστὶ τὰ ῥήματα· ῥᾷον γὰρ τοῖς
ἐν συμφορᾷ τοὺς μὴ ταῦτα πάσχοντας, μακρὰς παρατείνειν
τὰς παραινέσεις· ὑμεῖς δὲ ἔοικεν ἐναντίον τοῦ σκο-
-ποῦ διαπράττεσθαι· ἐλθόντες γὰρ παρακαλέσαι πλή-
ττοντες διατελεῖτε, πολλαῖς βάλλοντες ταῖς λοιδορίαις,
τὸν μὴ ταῦτα ἠδικηκότα: Ὀλυμπιοδώρου:

ππ Εἰσὶ γὰρ νόμος ἐστὶ τίς πρὸς πάντα τὰ λεγόμενα ἀπομερί-
ζεσθαι, ἢ ὑπό τινος συνωθεῖσθαι· εἰς τὸ πάντως ἀντι-

-λεγμένοις παρ' ἐμοῦ· πλὴν ἐπειδὴ οὕτως ἐκρίνατε· ἐγὼ δὲ
ὀρθῷ τῷ συνειδότι αὐτὴν φθέγξομαι πρὸς ὑμᾶς: ἢ καὶ οὕτω·
Μὴ τάξις ἐστὶ ῥήμασι πνεύματος· αὐτὴ τοῦ τάξιν οὐκ ἔχων οὐδὲ κα-
θήκοντα λαλεῖτε: Πολυχρονίου: Τίς [illegible] φησὶν
ὅλως παρώξυνεν οὕτως ὀργίλως διαλέγεσθαι πρός με:
Κἀγὼ καθ' ὑμᾶς λαλήσω· εἰ ὑπέκειτό γε ἡ ψυχὴ ὑμῶν· εἶτ' ἐ-
ναλοῦμαι ὑμῖν ῥήμασιν· κινήσω δὲ καθ' ὑμῶν κεφαλήν·
εἴη δὲ ἰσχὺς ἐν τῷ στόματί μου. :: α ὄφελον.
β εἴθε. :: β ἑτέροις προσηλλόμην ἂν ὑμῖν λόγοις.
::: β ἐπέρρωσα ἂν ὑμᾶς ἐν τῷ στόματί μου:
Σευήρου ἐπισκόπου. Ὁ γενναῖος Ἰὼβ τῶν ὑπαρ-
χόντων γυμνωθείς, καὶ τὸν χορὸν τῶν παίδων ἀποβαλών,
καὶ τῇ πικροτάτῃ πληγῇ τοῦ ἕλκους ἐγκαρτερῶν, τῶν φίλων
αὐτοῦ καταφιλοσοφούντων τοῦ πάθους, καὶ προσταζόντων
ἐν ταῖς πρὸς αὐτὸν διαλέξεσι δίκαιον ἀποφαίνειν ὑπὸ τὸν
τούτοις αὐτὸν τοῖς δεινοῖς ἐξετάζεσθαι συγχωρήσαντα,
πρὸς αὐτοὺς εἶπεν ἐπὶ καιροῦ· μὴ αἰσθανομένους ἐξ ὧν
ἐκεῖνος διὰ τῆς πείρας ἠσθάνετο, κἀγὼ καθ' ὑμᾶς
λαλήσω, εἰ ὑπέκειτό γε ἡ ψυχὴ ὑμῶν αὐτῆς ἐμῆς καὶ
τὰ ἑξῆς: Τοῦ ἁγίου Ἰω: Ἐβουλόμην
φησὶν ἐν τοῖς ἐμοῖς εἶναι τὰ ὑμέτερα, καὶ ὑμᾶς αὐτὲ-
μοῦ εἶναι, καὶ εἶπον ἂν καὶ κινεῖν κεφαλήν, καὶ ταῦτα
ποιεῖν ἅπερ ὑμεῖς· καὶ τότε ἔγνωτε μὴ φιλοσοφεῖν ἐν
ἀλλοτρίοις κακοῖς, ὅπερ καὶ νῦν ἐρῶ· καὶ γὰρ φέρει μοι

τὸ πρᾶγμα παραμυθίαν: ἄλλως: τοῦτο φησίν,
ὅτι εἰ ἤμην ἐν τοῖς ὑμετέροις καὶ τῶν δεινῶν ἐκτός, τότε ἂν εἶπον.
οὔτε γὰρ ἤλγουν λαλῶν: Τοιγαροῦν φησὶν ὀρθῶς τῷ
συνειδότι αὐτῷ φθέγξομαι τοῖς παρ' ὑμῶν ἐπιθεῖσι:
πδ Ὀλυμπιοδώρου: Εἰ ὑπέκειτο φησὶν ἡ ψυχὴ ὑμῶν ἐν
τοῖς ἐμοῖς πάθεσιν, καὶ ἐνηλλάγημεν ὑμῖν καὶ ἐκίνουν κα-
θ' ὑμῶν τὴν κεφαλὴν ὥσπερ ἐφηδόμενος τοῖς ὑμετέροις
κακοῖς, τότε ἂν ἔγνων ὑμῶν τὴν καρδίαν· καὶ τότε ἂν ἐ-
μανθάνετε, μὴ ἐν ἀλλοτρίοις φιλοσοφεῖν συμφοραῖς· ταῦτα
γὰρ καὶ ἔλλειψιν νοούμενα προσυπακουστέον, εἰ καὶ μετ'
ἤθους ἀναγνωσθῇ, εἴτε ἐν τοῖς ἐμοῖς κακοῖς· ἄρα ἐνηλλά-
-μην καὶ ὑμῶν τοῖς ῥήμασιν· ἢ ἐκίνουν καὶ ὑμῶν τὴν κε-
φαλήν, οὐδαμῶς: Ὀλυμπιοδώρου: Γένοιτο
πε δέ με φησὶν ἰσχυρῷ λόγῳ καὶ ἀνακεκαλυμμένῃ γλώττῃ κε-
χρῆσθαι πρὸς ὑμᾶς· εἶτα ἐρωτηματικῶς ἀναγνωστέον· ἐάν τε
γὰρ λαλήσω, οὐκ ἀλγήσω τὸ τραῦμα· ἐὰν δὲ καὶ σιωπήσω,
τί ἔλαττον τρωθήσομαι· ὃ δὲ λέγει τοῦτό ἐστιν· εἰ καὶ λαλῶν
καὶ σιωπῶν πάντως ἀλγεῖν μέλλω· ἄμεινον τὸ λαλεῖν· ἵνα
μὴ δόξω τῇ σιωπῇ συγκατατίθεσθαι τῇ ὑμετέρᾳ κα-
πς τηγορίᾳ: Πολυχρονίου: Εἴθε οἷόν τε
ἦν μοι τῷ λόγῳ παραστῆσαι τὰ πάθη:

Κίνησιν δὲ χειλέων μου οὐ φείσομαι· ἐὰν γὰρ λαλήσω
οὐκ ἀλγήσω τὸ τραῦμα· ἐὰν δὲ καὶ σιωπήσω τί ἔλαττον
τρωθήσομαι· νῦν δὲ κατάκοπόν με πεποίηκε μωρόν

ἐντροπή : :: ὃ οὐκ ἐπιδώσει ὁ πόνος μου.

:: ὃ τῆμου ἀπογνώσει. ::: ὃ ἐκδύρωσθαι.

Καὶ οὐκ ἄν φησι παρῆκα ἀλλ' εἰ οὐ πρόσοψιν ἤγαγον ταῖς συμφο-
ραῖς· οὕτω γὰρ ἂν ἴσως μόνος συγγνώμονας γεγόνατε: ϑ

Διδύμου: Θέλει τὴν διάθεσιν αὐτοῦ τὴν γνησίαν κ
ἐπιδείξασθαι, ὅτι ἐμοὶ μέλει τῆς ὑμετέρας σωτηρίας,
ὥστε εἰ καὶ ἐγὼ χρῶμαι τῇ παραινέσει. εἰ γὰρ καὶ ἄλλοι
ἀλγοῦντες καὶ ἀπιόμενοι, ἀξιοῦντες ταῖς καθ' ἑαυτοὺς ἀ-
νίαις· ἀλλὰ τούτων ἡ σωτηρία τῶν φίλων προκείσθω:

Πολυχρονίου: Μὴ δέ φησιν εἰ καὶ τοσούτων ἀλ- κ
γηδόνων προσαχθῶ φθέγξασθαι, οὐ μόνον παραμυθίας
οὐκ ἀξιοῦμαι, ἀλλὰ καὶ χεῖρας ἐπεισπέπλωκας, ὡς
βλάσφημον κρίνοντος : Τοῦ αὐτοῦ

Εἰ δὲ καὶ σιωπῇ φησιν ἀνέγκαι τὰ ὀνείδη βουληθείην, κα
οὐ μόνον φιλοσοφίας δόξαν οὐ καρπώσομαι, ἀλλὰ τοὐ-
ναντίον μειζόνως ὡς παράνομος κριθήσομαι. τῆς σιωπῆς
ἀπὸ τοῦ ἐπεὶ τὰ λεγόμενα συνειδότος γίνεσθαι νομι-
ζομένης: Ὀλυμπιοδώρου: Ἐγὼ μὲν οὖν πς
φησιν, εὔχομαι λόγων ἰσχὺν λαβεῖν· ἡ δὲ τιμωρία καθεσ-
τηκέ με καὶ κατέκοψε καὶ κατέστρεψε, ὡς μικροῦ δοκεῖν
καὶ τῶν κατὰ φύσιν ἐκστῆναι φρενῶν:

Τοῦ αὐτοῦ ἰῶ : Θηράσει φησιν ὅτι κολάζομαι. πς
ἀλλὰ καὶ ἀνοήτως εἶναι δοκῶ : Διδύμου:

Καὶ ἄλλους καὶ τοῦτο λέγει. φρόνιμον ἐκ θεοῦ τοῦτο αὐτῷ

127

συμβεβηκέναι· οὐχ οὕτω δὲ εἶχε τὸ πρᾶγμα. εἰ γὰρ καὶ ὁ
θεὸς συνεχώρησεν· ἀλλ' ἀγαθὸς προνοούμενος τοῦτο πεποί-
ηκεν· ἀλλ' ἐξαιτησαμένου τοῦ ἀντικειμένου· μωροὶ δὲ ἐπίσταν-
-ται τὸ ἀναίτιον· σημεῖον γὰρ τοῦτο τὸ στοιχεῖον:

Καὶ ἐπελάβου μου εἰς μαρτύριον ἐγενήθη· καὶ ἀνέστη ἐν ἐ-
μοὶ τὸ ψεῦδός μου· κατὰ πρόσωπόν μου ἀνταπεκρίθη· ὀρ-
-γῇ χρησάμενος κατέβαλέ με: Ὀλυμπιοδώρου:

πζ Ἕτερα ἀντίγραφα οὕτως ἔχει, καὶ ἐπελάβετό μου εἰς μαρτύ-
ριον ἐγενήθη. κατὰ μὲν οὖν τὸ ἐπελάβου μου, ὡς πρὸς
τὸν θεὸν λέγει, ὅτι οἷα τις ἀνδρείως ἐπελάβου μου τοῦ μι-
κροῦ καὶ ἀσθενοῦς, καὶ ἀμέλει ἡ ψώρα μου, εἰς παράδειγμα
γέγονα πᾶσιν, ὅτι ὡς δι' ἁμαρτίας κολάζομαι. κατὰ δὲ τὸ
ἐπελάβετό μου ὡς πρὸς τοὺς φίλους λέγει περὶ τοῦ θεοῦ.
εἰς μαρτύριον δὲ ἐγενήθη εἰς ἔλεγχόν μου, τουτέστιν αὐτὸ-
πζ κατέστη ὁ θεός: Διδύμου: Τὸ ἐπελάβε-
-τό μου, ἀντὶ τοῦ καθήψατο. τοῦτο δὲ εἰς μαρτύριόν μοι
ἐγενήθη· καὶ γὰρ τῷ ὄντι ἐν ἀνδρείᾳ τοῦ μακαρίου Ἰώβ,
πᾶσιν ἐξάκουστος ἐξετάσθη: Πολυχρονίου:

πζ Καὶ ἐπειδή φησιν ἐτιμωρήσατό με ὁ θεός, ἅπαντες ταύτην
τὴν ἀφορμὴν τῆς κατ' ἐμοῦ κατηγορίας ποιοῦνται· οὐ-
δεμίαν τῆς ἐμῆς εὐσεβείας ἐξέτασιν ποιούμενοι. τὸ οὖν
εἰς μαρτύριον, ἀντὶ τοῦ εἰς κατηγορίαν: Ὀλυμπιοδώρου:

πη Ταῦτα δέ μου φησὶ πάσχοντος εὗρον πρόφασιν οἱ κατα-
ψευδόμενοί μου, ὡς καὶ κατὰ πρόσωπόν μου ἀνερυθρι-

-ίστως αὐτὰ ὑποκρίνασθαι καὶ λέγειν, ὅτι δὴ ἁμαρτίας πά-
-σχω· ἔστι δὲ καὶ οὕτω νοῆσαι· ψεῦδος ἐστὶν ἡ ἁμαρτία· ἔοικε
νῦν φανεροῦσθαι καὶ κατὰ πρόσωπόν με ἐλέγχειν· τὰ
δὲ ἐφεξῆς δυνατὸν ἑκατέρως νοεῖν, εἴτε ὡς ὑπὸ τοῦ
πάσχοντος, εἴτε ὡς ὑπὸ τοῦ διαβόλου κατὰ συγχώρησιν:

Πολυχρονίου: Τουτέστι καὶ ὅμως ἐχώρησεν
ἡ κατ' ἐμοῦ κατηγορία, ἔχουσα μὲν οὐδὲν λέγειν ἀληθές,
κρατοῦσα δὲ τοῖς πάθεσιν ἑκάστου, οὐκ ἐκ τῶν πράξεων χ
κρίνοντες, ἀπὸ δὲ τῶν συμβαινόντων φέροντες τὴν ψῆφον:

Πολυχρονίου: Εἰ μὲν περὶ τοῦ θεοῦ λέγει, τὸ σφο- πθ
δρὸν σημαίνει τῆς ὀργῆς· περὶ δὲ τοῦ διαβόλου καὶ τῶν αὐτοῦ
δαιμόνων, αὐτολεξεὶ καὶ πάλαι ἔλεγεν· ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀ-
δόντας αὐτῶν: Λέγει μὲν αὐτὸ ἐπὶ τῆς κατ' αὐτοῦ ψευ- ϙρ
-δηγορίας, προσωποποιῶν τῆς κατηγορίας τὸ εἶδος· βούλε-
ται εἰπεῖν ὅτι ὑμεῖς ἀντέστητε ψευδόμενοι κατ' ἐμοῦ, οἵτινες
μὲν τὴν ἀλήθειαν αἰδούμενοι· σὺν πολλῷ δὲ τῷ θράσει,
τὴν πρὸς ἐμὲ ἀντιλογίαν ποιούμενοι:

Ἔβρυξεν ἐπ' ἐμὲ τοὺς ὀδόντας· βέλη πειρατῶν αὐτοῦ ἐπ' ἐ-
μοὶ ἐπέπεσαν· ἀκίσιν ὀφθαλμῶν ἐνήλατο· ὀξεῖ ἔπαι-
σέ με εἰς τὰ γόνατα· ὁμοθυμαδὸν δὲ κατέδραμον
ἐπ' ἐμοί· παρέδωκε γάρ με ὁ κύριος εἰς χεῖρας ἀδίκων:

Ὀλυμπιοδώρου: Εἰ μὲν περὶ τοῦ θεοῦ τὸ λεγόμενον ϛ
τι ἀθρόον δηλοῖ τῶν ἐπελθόντων αὐτῷ κακῶν, ἵνα εἴπῃ
ὅτι αἱ τιμωρίαι, ὥσπερ τινὲς πειραταὶ ἀδοκήτως

ἐπιπεπώκασί μοι· εἰ δὲ περὶ τοῦ διαβόλου, πειρατὰς αὐτοὺς λέγει τοὺς ὑπουργοῦντας αὐτῷ δαίμονας: τοῦ αὐτοῦ:

ια Ἀκίδες εἰσὶ, τὰ τῶν βελῶν σιδήρια. ὡς βέλεσιν οὖν φησι κατὰ τῶν ἐμῶν ὀφθαλμῶν ἔτρωσέ με θεὸς, ἀντὶ τοῦ καιρίως ἐπλήξεν. εἰ δὲ περὶ τοῦ διαβόλου ὁ λόγος, ταῖς βολαῖς φησὶ ταῖς φοβεραῖς τῶν ἑαυτοῦ ὀφθαλμῶν ὥσπερ ἀκίσι κατηκόντισέ με ἐπὶ τὰ γόνατα, σφοδρῶς φησὶν, ὡς καὶ καταπεσεῖν ἐπλήξέ με ἢ ὁ θεὸς ἢ ὁ διάβολος: Πολυχρονίου

ια Καιρίας φησὶν ἤνεγκε τὰς κατ' ἐμοῦ πληγάς. τὸ δὲ ἀκίσιν, ἀντὶ τοῦ ἀκοντίοις. ἐκ μεταφορᾶς δὲ αὐτὸ εἶπε τῶν πολεμίων. ὁ ὀφθαλμός δέ μου ἔφη τὸ βαρὺ τῆς πληγῆς ση-

ιβ μαίνων: Ὀλυμπιοδώρου: Τουτέστιν αἰτιμωρεῖται· λέγει δὲ ταῦτα τὰ συμβεβηκότα αὐτῷ:

ιβ Πολυχρονίου: Οὐχὶ μόνον τῶν κτημάτων φησὶ ἔσχον τὴν παραμυθίαν οὕτω κακῶς διακείμενος· ἀλλ' ὁμοῦ τό τε σῶμα διακείμενον ἐκακώθη, καὶ τῶν ὑπαρχόντων ὑπέστην τὴν ἀπώλειαν: τοῦ αὐτοῦ: Ταῦτα δέ μοι φησὶ συνέβη τοῦ θεοῦ με τοῖς ἐχθροῖς ἐκδεδωκότος:

Ἐπὶ δὲ ἀσεβέσιν ἔρριψέ με. εἰρηνεύοντα διεσκέδασέ με. λαβών με τῆς κόμης διέτιλεν. κατέστησέ με ὥσπερ σκοπὸν, ἐκύκλωσάν με λόγχαις. βάλλοντες εἰς νεφρούς μου οὐ φειδόμενοι: ∴ Ἐν καὶ εἰς χεῖρας ἀσεβῶν ἐνέβαλέ με: Οὕτους φίλους φησὶν, ἤγουν τοὺς πειρατάς: Ὀλυμπιοδώρου:

κόσμον τοῦ κόσμου καὶ τὴν εὐπρέπειαν φησίν, ἵνα εἴπῃ ὅτι τὴν ς̄τ
σὺ αἰτία μου παραγωγὴν καὶ τὴν εὐθηνίαν ὑφείλετο:
πολυχρονίου: καὶ τὸ δὲ φησὶ χαριέστατον, ὅτι σὺ ς̄τ
αἰτία μου μέση καὶ ἐξώλης, τῆς ἐκ πάντων μου προ-
σούσης εὐτελείας ἀθρόον ἀφείλετο τὴν κτῆσιν:
τοῦ αὐτοῦ: καὶ τοῖς παρανόμοις προὐτέθη ω
εἰς ἁρπαγήν: τοῦ αὐτοῦ: οὐδὲ τοὺς πόδας ω
φησί, καθαροὺς τοῦ πάθους εἴασεν: τοῦ αὐτοῦ:
ὁ ἑβραῖος λαβών με τοῦ γένοντος διεκίναξε: ω
τὴν εὐπρέπειάν μου διεσκέδασεν: Ὀλυμπιοδώρου: ω
τοῦ θεοῦ φησὶ ἀπέστειλέ με ὥσπερ τινὰ σκοπὸν ἐπὶ τὰς ςπ̄
ἀπ' αὐτῶν δέχεσθαι βολάς, ὥσπερ λόγχαις, κατὰ τῶν
νεφρῶν με κατηκόντισαν· ἵνα εἴπῃ ὅτι κατὰ τῶν ἀποκρύ-
φων καὶ καιριωτάτων. ἐπεμβαίνων δὲ τῇ μεταφορᾷ ὡς
οἱ κατὰ τῶν σπλάγχνων πλήξαντες, τὸ ἐξέχεαν εἰς γῆν, τὴν
χολήν μου ἔθηκε· πτῶμα δὲ ἐπὶ πτώματι· τὰς ἐπαχθείσας
φησὶ τιμωρίας· τὸ δὲ καὶ ἔδραμον πρός με πειραταί, διὰ
τὸ κατὰ θεοῦ συγχωρήσειν ἐκείνους ἰσχύειν ταῦτα κατ' αὐτοῦ
δρᾶσαι· δῆλον δὲ ὅτι τοὺς ἀληθεῖς δαίμονας:
τῷ παραδείγματι τὸ καίριον παρέστησε τῆς πληγῆς· τὸ γὰρ ὥσ- ςπ̄
περ σκοπόν, ἀντὶ τοῦ ὥσπερ κατασκόπους βάλλειν· ἵνα εἴπῃ
ἐπιτυχῶς τοῖς κατ' ἐμοῦ ἐχρήσατο πληγαῖς: τοῦ αὐτοῦ:
τουτέστι τῶν κακῶν τὸ πλῆθος· λέγει δὲ πειρατῶν πολεμικῶς. ψ
ἀπὸ γὰρ τοῦ παραδείγματος ἐπὶ τὴν τοῦ πράγματος ἀλήθειαν

θ μελέτη: Τοῦ αὐτοῦ: Τουτέστιν ἀνηλεῶς ἅ-
παντα διαπειρώμενοι· λέγει δὲ ταῦτα, ἐπειδὴ καὶ δὲ λεί-
ψανον τῶν προόντων περιέχει φησί:

Ἐξέχεαν εἰς γῆν τὴν χολήν μου· κατέβαλόν με πτῶμα ἐπὶ
πτώματι· ἔδραμον πρὸς ἐμὲ δυνάμενοι· σάκκον δὲ ἔρρα-
ψαν ἐπὶ βύρσης μου· τὸ δὲ σθένος μου ἐν γῇ ἐσβέσθη· ἡ γα-
στήρ μου: Πολυχρονίου:

Ἔρημόν με φησὶ πάντων κατέστησε· λέγει δὲ διὰ τὸ μετὰ
τῶν κτημάτων καὶ τοὺς παῖδας ἀπολέσαι· ἐπειδὴ ἐν τῇ εὐπαι-
δίᾳ, τήν τε εὐδοξίαν καὶ τὸ μνημόσυνον ἔχειν ἐνόμιζον
ου οἱ παλαιοί: Ὀλυμπιοδώρου: Ἄλλος δέ φησιν
ἐπ᾽ ἄλλοις ταῖς συμφοραῖς ἐπήγαγεν: Τουτέστιν ἐπ-
έρευσαν εἰς τὴν διαρπαγὴν τῶν ἐμῶν διαφερόντων καὶ κατὰ
γνώμην ἔπραξαν· τῆς τοῦ θεοῦ ὀργῆς εὐάλωτόν με καταστά-
σης: Πολυχρονίου: Ἀντὶ τοῦ ἐμελανώθη μου
τὸ δέρμα διὰ τὴν τῶν πληγῶν ἐπίτασιν, ὥσπερ τις ἐν ἐσχάτοις
πεποιημένος βύρσης· νοήσει δέ τις αὐτὸ οὐ κατὰ τὸ σκοποῦ·
καὶ οὕτως εἰς πενθικόν φησι σχῆμα κατέστην, οὐδὲ λείψα-
νον τῆς προλαβούσης εὐδαιμονίας φέρων:

χ Πολυχρονίου: Καὶ πάλαι μοι φησὶ τὴν προσοῦσαν
ἀξίαν καὶ τιμὴν ἠφάνισαν: Ὀλυμπιοδώρου:

ξε Γαστέρα τὴν ψυχήν φησιν, ἢ διὰ τὸ ἀποκρύφιον καὶ ἀόρατον,
ἢ ὡς ἀναπληκτικὴν τῶν αὐτοῦ λόγων τροφῶν· λέγει οὖν ὅτι
ἡ ψυχή μου συγκαίεται, καὶ ἀπαύστως δακρύω· ὥστε καὶ ἡ

ὀπτική

ὅτι εἰκῇ τῶν ὀφθαλμῶν μου καὶ ἐβλάβη σκιὰ ἄπεισιν· ἀλλὰ
σὺ ἀντέταξα σκιὰν θανάτου ἔχουσιν, ἵνα εἴπῃ ὅτι καὶ
περὶ τῶν ὀφθαλμῶν μου ἔχω τὸν θάνατον· ἀλλὰ καὶ
τοῦτο φησὶν αἰτία με μάτην· τὸ μὲν γὰρ εὐχὴν ἀεὶ καθαρὰν
ἀναφέρειν τῷ θεῷ. ἄδικον δὲ πρᾶξιν ἑαυτῷ μὴ συ-
νειδέναι, καὶ ἐξετάζεσθαι ἐφ' οἷς ταῦτα ὑπομένω· σημεῖον
δὲ τοῦ διαβόλου τὴν εὐχὴν καθαρὰν οὖσαν, καὶ παύλας πά-
-θους ἀπαιτεῖ, καὶ ῥεμβασμοὺς ὑπομένουσαν. καὶ δὲ ὑπό-
φορον τὰ πάθη καταπονεῖ μου : Εὐαγρίου :
Ἐνταῦθα τὸν νοῦν εἶπε τὸν βλέποντα ἐπὶ πρᾶξιν καὶ θεω- 55
ρίαν : Συγκέκαυται ἀπὸ κλαυθμοῦ· ἐπὶ
δὲ βλεφάροις μου σκιά· ἄδικον δὲ οὐδὲν ἦν ἐν χερσί μου.
εὐχὴ δέ μου καθαρά· γῆ μὴ ἐπικαλύψῃς ἐφ' αἵματι τῆς
σαρκός μου· μηδὲ εἴη τόπος τῇ κραυγῇ μου :
:: ὁ θεὸς προσέχει, ἀλλὰ παράδοτο τὸ αἷμά μου ὡς τοῦ
Ἄβελ. :: στίχ. : Πολυχρονίου :
Ὡς ἐν σκότῳ φησὶν ὑπὸ τῆς ἀθυμίας διάγων :
τοῦ ἁγίου ἰω : Μονονουχὶ λέγων ἀκούσῃ
ταῦτα ὁ θεός φησιν ἴσθι ταῦτα ὁ θεός· εἰ δὲ ὁ ἔλεγχός μου
συνίστωρ, καὶ ἴσος αὐτοῦ τὸ σπήλαιον αὐτοῦ. τουτέστι δι-
κάζομαι πρὸς αὐτόν : Πολυχρονίου :
Χρεία καί φησι τὴν ἀθυμίαν ἐμποιεῖ, τῷ μηδὲν ἑαυ-
-τῷ συνειδέναι φαῦλον : τοῦ αὐτοῦ :
Οὐ γὰρ γινώσκω ἔτι· εἰ μὴ ὅτι ὀξὺ τῷ λογισμῷ τὰς πρὸς θεὸν

ἐποιούμην ἱκεσίας: Ὀλυμπιοδώρου:

ςξ Ἀπορούμενος πρὸς τὴν γῆν διαλέγεται, καὶ εἰς συμπάθειαν
ἐκκαλουμένου τὰ ῥήματα. ἢ καὶ ἀνθρωπίνως εἴρηται. λέ-
γει δὲ ὅτι μὴ σιωπήσῃς ὡς γῆ τὰ κατ' ἐμέ. μὴ δὲ συγκρύ-
ψῃς τὸ ἀδίκως ἐκχεόμενον αἷμα ἐκ τῆς σαρκός μου. μὴ
δὲ ᾖ ἐν τόπῳ καὶ ἀποκρυβῇ καὶ εἰς λήθην ἔλθοι τὰ κατὰ
τοὺς ἐμοὺς ὀδυρμούς. πολλοὶ δέ φησιν οἰκοδομηθήτωσαν
παρὰ τῶν ἐπ' ἐμοὶ παρεσκωμμένων, ἀλλὰ καὶ εἰς οὐρανὸν φθά-
σοι τῆς ἐμῆς φωνῆς ὁ τόνος. τὸ δὲ ἰδοὺ ἐν οὐρανοῖς ὁ μάρτυς
μου καθαρωτάτης ἐστὶ συνειδήσεως: Τοῦ ἁγίου Ἰω:

ςξ Τοῦτο γὰρ ἔθος τοῖς ἀδικουμένοις, τὰ κακὰ αὐτῶν μὴ καλύ-
πτεσθαι. τοσοῦτο ἀπέχω φησὶ τοῦ συνειδέναι ἑαυτῷ. ὥσ-
τε βούλομαι πάντας ὁρᾶν ἃ πάσχω: Πολυχρονίου:

ςξ Μὴ γῆ φησὶ κρύψῃ μου τὸ αἷμα, ἀλλ' ἐκκαλέσηται τὸν θεὸν εἰς
ἐκδικίαν αὐτοὺς τοῦ σώματος τοὺς ἰχῶρας ἔχοντα, καὶ
ὁ ἀὴρ μὴ ἐπισχύῃ μου τὴν κραυγήν· ἀλλ' εἰς οὐρανοὺς φθά-
σῃ τῆς φωνῆς ὁ τόνος, ἵν' ὁ θεὸς τῶν γινομένων κακῶν ἐπιστή-
μως κολάσας, καὶ τοὺς αἰτίους ἀμυνόμενος. τοῦτο γὰρ ἂν
παρὰ σήξῃ τῶν ἐμοὶ βεβιωμένων τὸ ἀνεπίληπτον:

Καὶ νῦν ἰδοὺ ἐν οὐρανοῖς ὁ μάρτυς μου. ὁ δὲ συνίστωρ μου
ἐν ὑψίστοις. ἀφίκοιτό δέ μου ἡ δέησις πρὸς κύριον. ἔναντι
δὲ αὐτοῦ στάζοι μου οἱ ὀφθαλμοί. εἴη δὲ ἔλεγχος ἀνδρὶ ἐ-
ναντι κυρίου. καὶ υἱῷ ἀνθρώπου τὸ πλησίον αὐτοῦ:

Πολυχρονίου: Τοῦ θεοῦ φησὶ τὴν κρίσιν καλῶ,

ὥστε τῶν ἁπάντων ἀκριβῆ τὴν πεῖραν ἔχων καὶ οὐκ ἀπὸ
τῶν φαινομένων, ἀλλ' ἀπὸ τῆς ἀληθείας τὴν ψῆφον φέρ(ων)·
μείζους τῶν πρὸς ἐμοῦ λεγομένων εἶναι σφάλματα :
τοῦ αὐτοῦ : Μόνον γάρ φησιν ἐπινεύσας μου δ'
ταῖς ἱκετείαις, καὶ δακρύοντα κατελεήσας· ἀνάσχου τό
μοι δικάσασθαι προσηκόντως καιρός : Ὀλυμπιοδώρου :
Ὃ λέγει τοῦτό ἐστιν. δεῖ γοῦν τό μοι πρὸ θανάτου ἐπικα- ςη
ζοντος διαλεχθῆναι πρὸς τοὺς αὐτῷ λέγοντας· οὓς δὴ καὶ
πλησίον αὐτοῦ φησὶν ὡς φίλους· ἄνδρα δὲ καὶ υἱὸν ἀνθρώπου,
τὸν αὐτὸν ἔφη περὶ ἑαυτοῦ λέγων· τοῦτο δὲ καὶ ὕστερον
ἐξέβη· καὶ οἱ μὲν κατεκρίνοντο· ὁ δὲ ἐδικαιοῦτο :
Πολυχρονίου : Καὶ παραστῆναι φησὶν ἐμοί τε καὶ ςη
τοῖς ἐλέγξασιν ἑαυτὸν [illegible] : τοῦ αὐτοῦ :
Οὕτω φησὶ σαφὴς γένοιτο ἡ κρίσις ὡς ἐπὶ αὐτοῦ τῆς κρίσεως
γινομένης· τουτέστιν ὥστε μηδένα λαθεῖν εἰς μεταφορὰς
αὐτὸ λαβὼν τῶν ἀρχόντων τῶν ὑπὸ ταῖς πάντων ὄψεσι
ἐξεταζόντων τὰ πράγματα :

ςθ

Ἔτη δὲ ἀριθμητὰ ἥκασιν· ὁδῷ δὲ ᾗ οὐκ ἐπαναστραφήσομαι
πορεύσομαι· ὀλέκομαι πνεύματι φερόμενος· δέομαι δὲ τα-
φῆς καὶ οὐ τυγχάνω· λίσσομαι κάμνων καὶ τί ποιήσω·
Ἔκλεψαν δέ μου τὰ ὑπάρχοντα ἀλλότριοι :

:: τὸ πέρας· :: φονεύομαι τοῖς λογισμοῖς·
::: αὐτὴ τοῦ θανάτου· ::: ἢ παραλελόγισμαι·
::: ἢ πολέμιοι, ἢ ἀλλότριοι : Ὀλυμπιοδώρου :

ςθ Πάντη τὸ ὀλιγοχρόνιον σημαίνει διδάσκων ὁμοῦ ὡς οἱ ἄπαξ ἀποθανόντες· ἐπανελθεῖν εἰς τὸν δεύτερον βίον οὐ δύνανται:

ςθ Πολυχρονίου: Ταῦτα φησὶν αὐτῷ γνῶναι πρὸ τοῦ θανάτου μεγίστην παραμυθίαν ἐκείνων τῶν πραγμάτων τὸν ἔλεγχον: Ὀλυμπιοδώρου:

ο̄ Ἀπόλλυμαι φησὶ πανταχοῦ τῇ ψυχῇ περιφερόμενος, καὶ πρὸς πάντα ἀφορῶν τὰ ἐμοὶ συμβεβηκότα, καὶ μήτε ἀπαλλαγὴν εὑρίσκων τοῦ βίου, μήτε τῶν δεινῶν ἐλευθερίαν. τὸ γὰρ λίσσομαι, ἀντὶ τοῦ διαπορούμαι, ἤτοι ἀντὶ τοῦ ταφῇ παραδοθῆναι: Πολυχρονίου:

ξ̄ Ἀλλ' ἐν ταραχῇ φησὶ τὴν ψυχὴν καθέστηκα. ὑπὸ μὲν τῶν παθῶν στενοχωρούμενος. οὐδένα δὲ καιρὸν τῆς ἀδείας ἔχων: Τοῦ αὐτοῦ: Καὶ οὔτε φησὶ τῶν δεινῶν ἐλευθερίαν εὑρίσκω, οὔτε τοῦ βίου ἀπαλλαγήν: Τοῦ αὐτοῦ: Ἀλλ' οἱ μὲν φησὶ μετ' ἐξουσίας χλευαζόμενοι, τὰ προσόντα μοι ψέγοντο. ἐγὼ δὲ ὥσπερ τέλειος ἐν μέσῳ τῶν κακῶν βαπτίζω οὐδεμίαν τῶν συμφορῶν ὁρῶ διάλυσιν:

τίς ἐστιν οὗτος τῇ χειρί μου συνδεθήτω. ὅτι καρδίαν αὐτῶν ἔκρυψας ἀπὸ φρονήσεως, διὰ τοῦτο οὐ μὴ ὑψώσῃς αὐτούς· τῇ μερίδι ἀναγγελεῖ κακίας:

∴ ⁜ ἐκ θ οἱ ᾱ μ̊ πι ᾱ. ∴ ⁜ ζ ∴ ⁜

∴ ⁜ Ὀλυμπιοδώρου:

λ̄ Πρὸς μὲν ζῆλον τοῦτο λέγει, ὅτι τίς ἐστιν ὁ μέλλων μοι δικάζεσθαι, συνδεθήτω τῇ ἐμῇ χειρί, ἵνα κοινῶς ἀ-

ἀπαχθῶμεν πρὸς τὸ θεῖον δικαιωτήριον· θεοῦ γὰρ δίκας τοῦ
καθ᾽ ἑκατέρῳ τυχεῖν· ὡς δὲ πρὸς τοὺς ἄλλους λέγει· ὅτι δοκοῦσιν
εἶναι φρόνιμοι καὶ ὑπόπτους τὴν ἑαυτῶν βουλὴν συνειδότες με,
ὡς οὐδέν μου καταλέγειν ἔχουσιν· ὡς δὲ θεοῦ διὰ θεῶν συνή-
-γοροι καταψευδόμενοί μου· πρὸς δὲ διάνοιαν ζωγραφα-
-νεται τῆς ἀντικειμένης δυνάμεως ἀοράτως αὐτῷ πολε-
μούσης καί φησι τίς ἐστιν οὗτος· ἀντὶ τοῦ δεικνύτω ἑαυτὸν
τίς ἐστιν· συνδεθήτω δὲ τῇ ἐμῇ χρείᾳ· τουτέστιν ἐξισω-
θήτω μοι, ἵνα εἴπῃ ὅτι πλεονεκτοῦμαι κατὰ τὴν φύσιν·
ἀλλὰ τυγχάνω τινὸς δηλοῦτο συνηγορίας, καὶ δικάζομαι
αὐτῷ· ἐπειδὴ δὲ δυσκατάληπτος ἐστὶν ἡ τῶν δαιμόνων
κακία τῇ ἀνθρωπίνῃ φρονήσει· δηλοῦτο εἶπεν ὅτι καρ-
δίαν αὐτῷ ἔκρυψαν· ἀντὶ τοῦ δολίως καὶ ἐπικρύπτως
ἔρχονται· ὡς λανθάνειν αὐτῶν τὴν κακουργίαν.
καὶ κρύπτεσθαι ἀπὸ τῆς ἀνθρωπίνης φρονήσεως.
τινὰ δὲ τῶν ἀντιγράφων ἔχει, ὅτι καρδίαν αὐτῶν ἐ-
κρύψας· τουτέστιν ἀοράτους αὐτοὺς ἀνθρώπους κατεσκευά-
σας· εἶτα καὶ εὔχεται μὴ αἴρειν αὐτοὺς τὴν κεφαλήν,
ἀλλὰ ταπεινοῦσθαι παρὰ θεοῦ· φησὶ γὰρ μὴ ὑψώσῃς αὐ-
-τούς· τουτέστι ἀδίκους ἀνθρώπους ὁμοῦ καὶ τοὺς δαίμονας· ἐπεὶ
τὴν μερίδα τουτέστι τὴν μοῖραν ἣν εἰλήφασι παρὰ θεοῦ, ἀν-
τὶ τοῦ τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως, ἑκόντες προσέγ-
-γιζαν τὴν κακίαν· μερὶς γὰρ καὶ κλῆρος τῶν λογικῶν,
ἰδικῶς αὐτοῖς ἀφορισμένος ὑπὸ θεοῦ τὸ αὐτεξούσιον, ἑαυτοῦ

τὴν κακίαν προσέρριψαν, καὶ ὕψωσεις αὐτούς:

Πολυχρονίου: Εἰ δέ τις φησὶν οἴεταί με ἀναγκαίως
αὔξειν μικροψυχίαν τὰ πεπραγμένα παρελθὼν, ἐλεγξάτω
τὸν λόγον, ἐξ ἴσου τῶν λεχθέντων τὴν ἐξέτασιν ποιησάμενος
κρίσιν: Τοῦ αὐτοῦ: Ἀλλὰ μαρτυροῦντος
φησὶ τῇ ἀληθείᾳ, ἐκώλυον γὰρ παραπέμπεσθαι τὸ
δίκαιον: Τοῦ αὐτοῦ: Ἀλλ' οὐ θαυμαστόν φη-
σιν εἰ μαρτυροῦντες τοῖς πρὸς ἐμοῦ λεγομένοις αὐτοὶ ἐφθέ-
γγονται· τῷ γὰρ τοῦ χείρονος μᾶλλον ἐμπεσεῖν τοῦ
καλοῦ ἠθέλησαν:

Ὀφθαλμοὶ δέ μου ἐφ' οἷς ἐτάκησαν· ἔθου δέ με θρύ-
λημα ἐν ἔθνεσιν· γέλως δὲ αὐτοῖς ἀπέβην· πεπώρωνται
γὰρ ἀπὸ ὀργῆς οἱ ὀφθαλμοί μου, πεπολιόρκημαι μεγάλ(ως)
ὑπὸ πάντων· θαῦμα ἔσχεν ἀληθινοὺς ἐπὶ τούτοις:

:· Τὸ ὀφθαλμοὶ δὲ τέκνων αὐτῶν ἐκλείψουσιν·

:: Ἄλλ. παραβολὴ τοῖς τῶν δαιμόνων. ::: οἱ λ' ἠ-
μαυρώθησαν: Πολυχρονίου:

Ὅτε γοῦν φησὶν ἐπὶ τῇ ἀφαιρέσει τῶν προσόντων ἀνιαθέντες,
οὔτε ἐπὶ τῇ τῶν παίδων ἀπωλείᾳ οἰκτείραντες, ἐφ' ᾗ μά-
λιστα ὀδυνώμενος, μικροῦ καὶ τοὺς ὀφθαλμοὺς διεφθά-
ρην· ἀλλ' ὥστε λοιδορίαις βάλλεσθαι: Τοῦ αὐτοῦ:

Καίτοι τοσαύτη τῆς συμφορᾶς ἡ ὑπερβολὴ, ὥστε καὶ τοὺς
πόρρωθεν θαυμάζειν· ἀλλὰ τὰ κατ' ἐμὲ ἅπαντα διηγή-
σασθαι: Ὀλυμπιοδώρου: Γελῶσι φησὶ...

ὡς ψευδῶν ὄντων τῶν παρ' αὐτῶν λεγομένων περὶ ἐμοῦ ὡς περὶ
δικαίου. τὸ δὲ πεπήρωνται ἀπὸ ὀργῆς οἱ ὀφθαλμοί μου ὑπὸ
τῶν κατὰ θείαν ὀργὴν ἐπενεχθέντων μοι:

Πολυχρονίου: Καὶ ἐπὶ τούτοις φησὶ δέον ὀλίγον
ὕπνου, αἰτῶν ἐν αὐλίαν γ̓λαλε ὀπτωμένον:

Ὀλυμπιοδώρου: Δῆλον οὐκ ὀργιστέον, ἵνα
μὴ πωρωθῶμεν τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς: of

Πολυχρονίου: Καὶ τοῦτό με φησὶ μάλιστα δά- of
κνει καὶ ἐμπαθῆ τοῖς δάκρυσι παρασκευάζει. ὅτι τῆς τοῦ
θεοῦ ὀργῆς εἰς τοῦτό με καταστησάσης τιμωρίας, οἱ δο-
κοῦντες φίλοι καὶ ἐπὶ παρακλήσει ἀφιγμένοι χλεύην ἐπε-
ποίηνται, ὡς ἐπ' οὐδενὶ διαναστρεφομένῳ, καὶ δίκην
πολεμίου, ἄλλως ἄλλοθεν πλήττειν τοῖς λόγοις φιλοτι-
μοῦνται:

Ὀλυμπιοδώρου: Ἀντὶ τοῦ οὐχ ὡς- τ
παρ' ὑμεῖς διελέχθησαν· ἀλλ' ἐξεπλάγησαν οἱ τῆς ἀληθεί-
ας μεταποιούμενοι, διαποροῦντες ἐφ' οἷς ταῦτα πέπονθα:

› Δίκαιος δὲ ἐπὶ παρανόμῳ ἐπαναστα(ί)η· σχοίη δὲ πιστὸς τὴν
› ἑαυτοῦ ὁδόν· καθαρὸς δὲ χεῖρας ἀναλάβοι θάρσος· οὐ μὴν
› δέ, ἀλλὰ πάντες ἐρείδετε καὶ δεῦτε δή.

∴ ἄλ(λως)· δικαίῳ παράνομος ἐπανέστη· ∴ ✝ καὶ
ἀνθέξεται δίκαιος τῆς ἑαυτοῦ ὁδοῦ: ∴ ⁘ α' θ'
ἐπιστρέψατε:

Ὀλυμπιοδώρου:

Καθολικῶς ἅμα καὶ περὶ ἑαυτοῦ λέγει· ἐπειδὴ γὰρ προ- ση
εῖπε μὴ ὑψώσῃς τοὺς ἀδίκους· τὸ δὲ ἐναντίον αὐτὸ

φησί γένοιτο τὸ δίκαιον καταισχῦναι τοῦ παρανόμου. καὶ σχεῖν τὸν πιστὸν καὶ ἀληθινὸν τὴν ἑαυτοῦ ὁδόν, τουτέστιν εὐοδοῦσθαι καὶ μὴ ἠλαττῶσθαι τοῖς παρανόμοις. ἵνα αὐτοῦ καὶ ὑμεῖς φησί παραδείγματος, οἱ καθαροὶ θάρσος ἀναλάβωσιν ὡς καταισχύνοντες τῶν ὑπεναντίων. Πολυχρονίου:

Καὶ εἰ κακῶς φησιν οὕτως ἔσχον γνώμης. μαρτύρομαι γάρ μου τὴν δίκαιον ζωήν, ἀσέβειαν κατεψηφίσαντο τῶν ληϊσαμένων: τοῦ ἁγίου Ἰω: Πῶς δὲ καθαρὸς ἕξει θάρσος, τοῦτο οὕτως συμβεβηκότων παρ᾽ ἐλπίδας, αὐτῷ τὰ ὅμοια ἐν οὐδενί. πῶς ἄλλοι περιπέσονται ἐν τῇ ὁδῷ τῆς ἀρετῆς. πλὴν ἀλλὰ πάλιν ὑμᾶς καλῶ εἰς κριτήριον: Πολυχρονίου:

Ἀλλὰ τίς μου φησί παρέσχεν εἰς τὴν ἀρχαίαν παραστῆναι εὐημερίαν: Παρ᾽ ἐκείνοις ἐγὼ πιστὸς ὀφθείην τοῖς ἀληθινοῖς δηλονότι: Πολυχρονίου: Καὶ ἔτυχον αὐτῶν τούτων δικαίως. οὐδὲν δὲ πώποτε πεπλημμεληκὼς εἰς θεόν:

ε̄ Ὀλυμπιοδώρου: Ἐνισχύσατε τοῖς παροῦσιν ἀμήχανον φησί. καὶ γὰρ πάντες ὁμοφρονεῖτε. διελέγξω ὑμᾶς μὴ ἀληθεύοντας. πλὴν οὐκ ἀρκεῖ τὰ συμβεβηκότα αὐτῷ διηγεῖσθαι δείκνυσι, ὡς οὐ κακῶς ἐπόθει τὸν θάνατον καὶ φησίν πολλοῖς ἤδη μοι παρῴχηκε χρόνος, καὶ πρὸς τὸ τέλος ἐλαύνω ἐν ὀλίγα ἡμέρας λείψας. καὶ παρείθησαν καὶ διελύθησάν μου τῆς ψυχῆς οἱ τόνοι: Ἄλλως: Ἀλλὰ πάντες φησίν αὖθις ἀγωνιάσατε τούτων πρὸς ἐμοῦ λεγομένων, καὶ πρὸς ἀντιλογίαν παρασκευάζεσθαι. ὥσπερ ἐπὶ πο-

-λέμου τοῖς λόγοις παραιτούμενοι, καὶ ἕκαστος τῶν ἑταίρων ἐπαι-
-νούντων, ὡς ἂν τὸ πᾶσιν ἔνδεον ὑπὸ πάντων πληρωθείη:

Οὐ γὰρ εὑρίσκω ἐν ὑμῖν ἀληθές· αἱ ἡμέραι μου παρῆλθον ἐν
βρόμῳ· ἐρράγη δὲ τὰ ἄρθρα τῆς καρδίας μου· νύκτα εἰς
ἡμέραν ἔθηκα· φῶς ἐγγὺς ἀπὸ προσώπου σκότους· ἐὰν
γὰρ ὑπομείνω ᾅδης μου ὁ οἶκος:

※ ἑρμηνεία ※ Πολυχρονίου:

Ἀλλ' εἰ καὶ μυριάκις ἀντείπητε· οὐ μὴν ὑμῶν τὴν ἀλήθειαν ρ
προσοῦσαν ἐρῶ: Τοῦ αὐτοῦ: Ἐνεδύθην ὑπὸ γ
τῆς ἀθυμίας μικροῦ φησὶ καὶ εἰς παραφροσύνην ἐχώ-
ρησα: Ὀλυμπιοδώρου: Πρὸς μὲν ῥητὸν τὴν ϛ
νύκτα φησὶν ἅπασαν ἀγρυπνῶν, ὡς ἐν ἡμέρᾳ διετέλεσα
προσδοκῶν ἀεὶ τὸ φῶς· τοῦτο δὲ πάσχουσιν οἱ ἐν τοῖς νόσοις
ἀγρυπνοῦντες εὐχόμενοι τὴν ἡμέραν ἰδεῖν· πρὸς δὲ διάνοιαν
οὐκ ἠμέλησα φησὶ τοῦ χωρίζειν ἐμαυτὸν τοῦ σκότους, καὶ
τῷ νοητῷ προσεγγίζειν φωτί: Πολυχρονίου:

Καὶ συνῆπται ταῖς ἡμέραις τὰς νύκτας, οὐδένα καιρὸν ϛ
ἔρημον θρήνων καταλιμπάνω: Ὀλυμπιοδώρου:

Ἀλλὰ δεῖ φησὶ καρτερεῖν καλῶς, ἵνα τί πλέον προσγένηται·
οὐ κοινὸν ἅπασιν αὐτοῖς τὸ ἀποθανεῖν, οὐχ ᾅδης ἅπασι τις
οἶκος, οὐκ ἐκεῖ πάντες τῶν ἐνθάδε καταλήγουσι πόνων·
τοῦτο γὰρ λέγει τὸ ἐν γνόφῳ ἡ στρωμνή, ἐν τῷ ἀφεγγεῖ χω-
ρίῳ, ἡ ἀνάπαυσις τῶν ἐνθάδε πόνων· καὶ ἐνδέχεται τινὰ
μετὰ θάνατον καταφεύγειν εἰς ἄσυλον πλοῦτον, ἢ τὴν ἐνθά-

πόξαν. τὸ δὲ ἐπὶ χώματος καταβησόμεθα, ἀντὶ τοῦ ἐν τοῖς
καταχθονίοις, μὴ μετὰ τῶν ἐνθάδε ἀγαθῶν δυνάμεθα ἀπαγ-
αγεῖν. ποία τοιγαροῦν ἐλπὶς ὑπομένω ὅπου γε μικρὸν ὕστερον
ἀποθανεῖν ἀπόκειται πάντως. πάντα ἐνθάδε ἀπολειπόντα.
τούτου δὲ ὧδε ἔχοντος, δικαίως τὸν μὲν θάνατον συντόμως
ἀπελθεῖν ὡς πατέρα ποθῶ. τὴν δὲ τοῦ σώματος σῆψιν καὶ
ἀνάλυσιν ὡς μητέρα καὶ ἀδελφήν. καὶ πᾶσιν αὐτὰ τοῖς τῆς φι-
λίας ὀνόμασι κατασπάζομαι. τοιγαροῦν καὶ ἡμᾶς ἐδίδα-
ξε μὴ περιέχεσθαι τῶν τοῦ βίου προσκαίρων καλῶν. οὐδὲν γὰρ
αὐτῶν ἡμῖν συνεξέρχεται ἐντεῦθεν τοῦ βίου καὶ ἱκανῶς
ἀπολελόγηται. τοῦ μὴ μάτην ἐπιποθεῖν τὸν θάνατον, το-
ξ σούτοις ἀλγεινοῖς περιαντλούμενος: Ἄλλως συν-
τόμως εἰς τὸ αὐτό: Διατί φησὶν ὑπενέγκω καὶ μὴ
θελήσω τὸν θάνατον. οὐ γὰρ παρέσῃ κἂν μὴ θέλοιμι.
οὐκοῦν γνόφῳ δὲ ἐν ᾅδῃ, τουτέστιν ἡ στρωμνὴ καὶ ἡ ἀνάπαυ-
σις ἐστὶν ἐν τῷ ἐνταῦθα ὅπου νεκρῶν. διὰ τοῦτο μὲν οὖν
αὐτὴ πρὸς ἔχω τὸν θάνατον, καὶ αὐτὴ μετὰ τὴν διάσηψιν.
μὴ γὰρ οἴεσθε ὡς ὅτι ἐνταῦθα ἀπελπίσας εἰς ᾅδου πλου-
τεῖν προσδοκῶ. τοῦτο γὰρ οὐκ ἔστι: Πολυχρονίου:
ξ Καὶ ἐπὶ τούτοις φησὶν οὐδὲν ἕτερον προσδοκῶ ἢ θάνατον:
ς Πολυχρονίου: Τὸ δὲ φῶς οὐ μακρὰν μοι σκό-
τους, καὶ τῆς ἡμέρας αὖθις ἐπιλαβούσης ὡς ἐν νυκτὶ
εἰν ἡσυχία θρηνῶν οὐδὲν ἔλαττον ὑπὸ τῶν ὀδυνῶν
διετέλουν: Ἐν δὲ γνόφῳ ἔστρωταί μου ἡ

στερομένη· θάνατον ἐπεκαλεσάμην· πρᾶ μου εἶναι· μετὰ
δὲ μου καὶ ἀδελφῶν ἀπωλείας· ποῦ οὖν μου ἐστὶν ἡ ἐλπίς·
τὰ ἀγαθά μου ὄψομαι· ἢ μετ' ἐμοῦ εἰς ᾅδην καταβήσον-
ται· ἢ ὁμοθυμαδὸν ἐπὶ χώματος καταβησόμεθα :

:: ἀ ὀπτοῦ· ͵ ὑπωληνιασὶν· :: οἱ ὁ ὑπομονή·
::: θ καὶ τὴν ἐλπίδα μου τίς προνοήσει: Πολυχρ(ονίου):

Καὶ ἀνάπαυσιν μίαν ἡγοῦμαι τὴν τελευτήν, ἐν ᾗ καταπαύσας,
οὐδεμίαν ἕξω μνήμην τῶν ἀλγηδόνων:

Ἰουλιανοῦ: Ὥσπερ δὲ οἱ παῖδες παραμυθί-
αν ἔχουσι τοὺς γονεῖς, οὕτω κἀγὼ ἐν οὐδενὶ ἔχω τὴν ἀπόλαυ-
σιν, ἢ ἐν τῷ θανάτῳ καὶ τῇ ἀναλύσει: Πολυχρονίου:

Παραδείκνυσι τὸ ἐπὶ τελευτῇ ὡς παρέρχεται τῶν δεινῶν·
ὥσπερ γὰρ φησὶ τὰ ἔμβρυα ἐν τῇ μήτρᾳ ἀγνοεῖ ζῆν
πονεῖ καὶ περιέχεται· ἔχει δὲ παρὰ τοῦ ποιοῦντα·
οὔπω δὲ εἰς φῶς παρελθόντα ἐν ὑστέρῳ καὶ ἰχῶρι
πολλῷ περιέχεται· τοῦ ὅμοιον τρόπον φησὶ καὶ αὐτὸς
διάκειμαι· ὁμοῦ γὰρ θάνατος, οὕτω ἀφῖται, οὐδὲ
ἔχει παρ' ἑαυτοῦ· ὥσπερ δὲ πρὸς οἰκείωσιν κατάπερ
ὑπὸ γαστρός τινος τῶν παθῶν περιέχει· οὐδὲ πολιτῶν παιδ-
ἀπαιτήσεων· οὐδὲ ἐλπίδα πολὺ σωτηρίας ὑπολείπων
τοιαύτην μετὰ δὲ μου ἀπωλείαν, οἷον καὶ τὴν πηγὴν αὐτὴν τὴν
ἐξαναλήψεις συμβαίνουσαν μετὰ τὴν τελευτὴν λέγει· ἔ-
φη δὲ αὐτῷ ὡς ἤδη τοῦ σώματος ὑπὸ τῆς χωνεύσεως
ἀπωλείας καὶ νεκροῦ καὶ σκοτεινοῦ φέροντος εἰκόνα :~

τοῦ αὐτοῦ: Ὥσπερ οἱ τετελευτηκότες οὐδεμίαν τῶν παρόντων προσθήκην ἔχουσιν· οὕτως οὐδὲ αὐτὸς ἐλπίζω τινὰ τῶν ἀφαιρεθέντων κέκτημαι: τοῦ αὐτοῦ:

Ἀλλ' εἰ καί τινας ἐμαυτῷ τοιαύτας ὑποτείνω ἐλπίδας ὡς ἔοικεν, οἴχομαι μάτην κεχηνὼς ἐπ' οὐδενὶ βεβαίῳ:

τοῦ αὐτοῦ: Καὶ τούτων φησὶν οὕτως ἐχόντων εὔδηλον ὡς καταστρέψω τὸν βίον, οὐδεμίαν ἀπόλαυσιν τῶν ἀγαθῶν λαβών:

+

## + προθεωρία, κεφαλαίου, ιϛ:

+

Δυσχεραίνει ὁ Βαλδὰδ, ἐπὶ τῇ τοῦ Ἰὼβ κατηγορίᾳ· οὐ γὰρ δεῖ φησὶν ἀλόγων δίκην σιωπῶντας παρακάθεσθαι· εἶτα ὡς πολλάκις τοῦ Ἰὼβ εἰρηκότος ὡς ἐπιποθεῖ τοῦ σώματος ἀπαλλαγῆναι· τί φησὶ σοβαρεύῃ καὶ πολλάκις λέγεις ἤδη ἔξειμι τοῦ σώματος, καὶ σεμνύνεις τὰ κατὰ σαυτόν, ὥσπερ οὐ κοινὸς ἄνθρωπος εἶ, ἀλλὰ κόσμος ὅλος· ἐὰν ἀποθάνῃς γενικὴ γίνεται συντέλεια· εἶτα ταῦτα εἰρηκώς, στρέφει τὸν λόγον, εἰς τὰ τοῖς ἀσεβέσι συμβησόμενα, ὡς τὰ καθόλου μὲν λέγων, ἐπ' ἀσεβείᾳ δὲ σκώπτων τὸν δίκαιον:

+

+ δευτέρα τοῦ βαλδὰδ πρὸς τὸν ἰὼβ ἀντίρρησις:

κεφάλαιον ιη:

+

Ὑπολαβὼν δὲ βαλδὰδ ὁ σαυχίτης λέγει· μέχρι τίνος οὐ παύσῃ, ἐπίσχες ἵνα καὶ αὐτοὶ λαλήσωμεν· ἵνα τί δὲ ὥσπερ τετράποδα σεσιωπήκαμεν ἐναντίον σου, κέχρηταί σοι ὀργῇ: ∴ διατί δὲ ∴ θ΄ ταράξων ψυχὴν αὐτοῦ ἐν θυμῷ αὐτοῦ:

Ὀλυμπιοδώρου: Ὁ σαυχαίων τύραννος τυραννικῶς διαλέγεται· τί γὰρ φησὶ μέχρι τίνος οὐ παύσῃ ἐπίσχες:

Τοῦ αὐτοῦ: Ὥσπερ τοὺς κρινομένους αὐτῷ· ὥσπερ βουλομένους αὐτῷ αὐτὸν ἐπισχεῖν· τοῦτο οὐχὶ παραμυθουμένων ἐστίν, ἀλλὰ τοὐναντίον παροξυνόντων καὶ σκωπτόντων αὐτόν· ἐπίσχες φησὶν ἵνα καὶ αὐτοὶ λαλήσωμεν· διατί γὰρ παρεκλύεσθε, οὐχ ἵνα καὶ αὐτοὶ λαλήσητε:

Πολυχρονίου: Ὅτου παρ' ἔννοιαν φησὶν οὐκ ἠσύχαζες ταῖς σαυτοῦ πλημμελείαις· λογιζόμενος τὰς κατὰ τοῦ σώματος ἐπενεχθείσας πληγάς· ἀλλὰ τοῦτον ἀφεὶς τὸν λογισμὸν κατὰ τῶν φρασσόντων, ὥσπερ ἐξεπίτηδες καὶ ταῦτα σιγᾶν βουλομένους κινῶν

ἡμᾶς πρὸς λόγους: τοῦ ἁγίου ἰω:

Ὅρα τὴν φιλονικίαν, αἰσχύνην ἡγοῦνται καὶ ἀπολογίαν ἐσχάτην
τὸ σιγᾶν, ἐπειδὴ τοῦτο παραινουμένων, πλέον ἀποίσει
φησὶν αὐτὸς νικήσας ἡμᾶς καὶ περιγεγονώς· ὅρα μεμφομένους
καὶ αἰτιωμένους: Λογικοὶ γεγόναμεν καὶ αὐτοὶ
κατὰ σέ, μὴ πλέον ἔχειν τι νόμιζε: πολυχρονίου:

Οὐ γὰρ προσῆκόν φησι καθάπερ ἀλόγους τινὰς ἐφησυχάζειν τῇ
κατὰ σοῦ βλασφημίᾳ: ὀλυμπιοδώρου:

θ̄ Κε καὶ ἐρώτησιν λέγει, διὰ τὸ εἰπεῖν τὸν ἰὼβ ὀργῇ χρησάμενος
κατέβαλέ με: Κε καὶ ἑξῆς: Ὀργή φησιν ὡς ὀρ-
γίνῳ σοι κέχρηται· τὸ γὰρ ὀργίζεσθαί σε κατὰ θεοῦ, οὐδὲν ἕ-
τερον ἐστίν, ἢ κατὰ τῆς ἑαυτοῦ ψυχῆς τὴν ὀργὴν ἐκφέρειν:

θ̄ Ἀ πολυχρονίου: Καὶ μάλιστα καθάπερ ὑπό τινος μανί-
τος αὐτῆς οὗ τῶν λόγων τραχύτητι κεχρημένου· ἐπειδὴ γὰρ ἄνω
καὶ κάτω τοῦ θανάτου μνημονεύων εἰς ἀποδυσπέτησιν ἐχώρει·
πλεονεκτικώτερον ἐποίει· τί γὰρ ἐὰν σὺ ἀποθάνῃς καὶ τὰ ἑξῆς:

Τί γὰρ ἐὰν σὺ ἀποθάνῃς ἀοίκητος ἡ ὑπ' οὐρανόν, ἢ καταστρα-
φήσεται ὄρη ἐκ θεμελίων· καὶ φῶς ἀσεβῶν σβεσθήσεται·
καὶ οὐκ ἀποβήσεται αὐτῶν ἡ φλόξ· τὸ φῶς αὐτοῦ σκότος ἐν δι-
αίτῃ: :: μηκέτι ἔχοιεν τοῦ πρεσβυτοῦ.
:: ε μελέτοιγε, πρὸς τοῖς εἰρημένοις κατὰ ἀσεβῶν·
:: θ οὐ λάμψει: ὀλυμπιοδώρου:

Τί σοβαρεύῃ φησὶ καὶ πολλάκις λέγεις, ἡδέως ἐξῄειμι τοῦ
σώματος, ὥσπερ ξενικῆς γινομένης σοι τελευτῆς ἐπεὶ τῇ

σὴ τελευτή: Πολυχρονίου: Ὥσπερ γάρ τις ὑφη- ι
λίου ζημιούμενος ἐπὶ τῇ σῇ τελευτῇ διαλέγῃ, καὶ τῆς σῆς
μὲν δικαιοσύνης ἰσώσης τὰ ἀνθρώπινα· ἐκπεσόντος δὲ
γενομένου οὐκέτι οὗτος τοῦ ἡλίου καθιστῶντος τὸ θεῖον:
Ὀλυμπιοδώρου: Πλὴν ἴσθι φησὶν ὅτι καὶ διαλάμψουσιν ια
οἱ ἀσεβεῖς, καὶ εἰς ὕψος δόξης ἀρθῶσιν· τοῦτο γὰρ αἰνίτ-
-τεται διὰ τῆς φλογός, σβέσει τὰ κατ' αὐτοὺς τὴν ἐναντίαν
πάντως μεταβολήν. καὶ σκοτισθήσεται μὲν τοῦ ἀσεβοῦς
τὸ φῶς εἰς σκότος ἐν πάσῃ αὐτοῦ τῇ διαγωγῇ τουτέστι πάντα
τὰ κατ' αὐτὸν δυσπραγία καθέξει· ὁ δὲ λύχνος ὁ ἐπ' αὐτῷ,
ὅπερ ἐστὶν ἡ ἄνωθεν ἐπικειμένη αὐτῷ εὐημερία, καὶ
πάντα τὰ κατ' αὐτὸν καταυγάζουσα ἀποσβεσθήσεται.
ὁμοιωματικῶς δὲ ἐξηγήσατο. ἐπειδὴ ὥσπερ οἱ ὑπὸ φωτὶ βα-
δίζοντες, οὐ προσπταίουσιν: τοῦ ἁγίου Ἰω(άννου):
Ὅρα δέ μοι τὴν πονηρίαν· λέγοντες γὰρ ὅτι μεγάλα κακὰ ια
τοῖς ἀσεβέσι συμβαίνει. ταῦτα λέγουσι τὰ κακά, ἅπερ
ὁ Ἰὼβ ὑπέμεινε· καὶ τὸν λόγον πλέκουσι διὰ τῶν τούτου
συμφορῶν, ὥσπερ ἐνδείκνυσθαι βουλόμενοι, ὅτι αὐτὸν
αἰνίττονται: Πολυχρονίου:
Καὶ ὡς ἔοικε φησὶν ὡς οἱ ἀσεβεῖς οὐ διὰ τὴν ἰδίαν τιμω- ια
ροῦνται κακίαν· πάσης τῆς ἑαυτῶν εὐημερίας ἐκπίπτουσιν.
ὅταν εἰς θεὸν ἁμαρτάνοντες· ἀλλὰ διὰ τὸ δὲ μὴ προνοεῖν:
τοῦ αὐτοῦ: Κἀντεῦθεν ἐπίσπαστον μὲν ἀγαθῶν σ
οὐδεμίαν ἔχουσι· δίκην δὲ τῶν πταισμάτων διδόασιν.

καὶ οὕτω τῇ εἰρωνείᾳ διαχλευάσας αὐτὸν ἐπὶ τῇ τῆς δικαι-
οσύνης δι' ἧς σοι μᾶλλον πλάτων ἐπάγει· τὸ φῶς αὐτοῦ
σκότος: τοῦ αὐτοῦ: ἀλλ' ὁ σὺ μὲν φησὶν οὕτω
μάτην περὶ αὐτοῦ δοξάζεις· τοὐναντίον δὲ ἔχει τῶν πραγ-
μάτων ἡ φύσις· ἅπαντας γὰρ ὁρῶμεν τοὺς ἀσεβεῖς, εἰ καὶ
πρὸς βραχὺ δοξοποιὸν ἐν εὐθυμίᾳ διάγειν· δίκην γοῦν
πάντως διδόντας· καὶ οὕτω τοῦ δικαίου φωτὸς τὴν φαιδρό-
τητα ἀποκλείοντας, ὡς μηδὲ εἰ πώποτε ὤφθησαν εἶναι γνωρίμους:

Ὁ δὲ λύχνος ἐπ' αὐτῷ σβεσθήσεται· θηρεύσαισαν ἐλάχιστοι τὰ
ὑπάρχοντα αὐτοῦ· σφάλαι δὲ αὐτοῦ ἡ βουλή· ἐμβέβλη-
ται ὁ πούς αὐτοῦ ἐν παγίδι· ἐν δικτύῳ ἑλιχθείη· ἔλθοισαν
δὲ ἐπ' αὐτὸν παγίδες· κατισχύσει ἐπ' αὐτὸν διψῶντας· κέ-
κρυπται δὲ ἐν τῇ γῇ σχοινίον αὐτοῦ:

∴ οἱ γ' αὐτοῦ· ∴ θ' καταράξει αὐτὸν ἡ βουλὴ αὐτοῦ:

Πολυχρονίου: Καὶ τῆς κατ' αὐτοῦ τιμωρίας ἐνεχθείσης,
ἅπασα ἡ περὶ αὐτῶν δόξα διαρρεῖ: τοῦ αὐτοῦ:

Ἵνα εἴπῃ σὺ ὁ καυχώμενος ἐπὶ δικαιοσύνῃ, διὰ ἁμαρτίας
τῶν οἰκείων ἐμπέπτωκας: Ὀλυμπιοδώρου:

Ἐν δικτύῳ καὶ παγίδι περιληφθήσεσθαι λέγων τὸν ἀσεβῆ, τὸ
ἀδιεξόδευτον παρίστησι τῶν κακῶν· ἅμα καὶ τοὺς ἐπιθυ-
μοῦντας φησὶν εὑρεῖν τι κατ' αὐτοῦ· δυνατωτέρους αὐτοῦ
ἀπεργάσεται ὁ θεός: Πολυχρονίου:

Καὶ εἰκότως φησὶ τοῦτο συμβαίνει, ἐπειδήπερ διὰ τὴν τοῦ θεοῦ
ἀπόφασιν· πανταχόθεν αὐτὰ περιστήσεται· ἀκολου-

θος δὲ αὐτό ἐστιν ἀγρευτικὸν τῶν παγίδων καὶ τῶν ἰχθύων παραπέτασμά τι· ἐπειδὴ εἰ καὶ ὁμαλῶς συλληφθείη τὸ θηρευθέν, εὐκόλως ἀποφεύγει:

τοῦ αὐτοῦ :

Ἐνισχύσειαν φησὶν οἱ ἐρῶντες τοῦ πλούτου τῶν ἀσεβῶν, τῶν κακῶν τὴν νομὴν ἀπολαύουσιν, ἐγκειμένων πρὸς τὸ πάσχειν διὰ τὴν τοῦ θεοῦ ἀπόφασιν: σθο

ὀλυμπιοδώρου:

Ἡ μεταφορὰ ἐκ αὐτό ἔφη τῶν ἐκ λίνου κατασκευασθέντων θηράτρων, ἅπερ γῇ κατακρύψαντες, τὰ ἐπικαθήμενα τῶν ὀρνέων αἱροῦσι, τὸ σχοινίον συνάγοντες τὸ λίνον· ὥσπερ τοίνυν φησὶν ἐκεῖνα τὰ ὄρνεα ἀφανῶς περιπίπτει τοῖς ἐφ' ἑτοίμην τρέχοντα τροφήν· οὕτω καὶ οἱ ἀσεβεῖς ἀδεῶς πράττοντες τὰ κακά, λανθάνουσι σφᾶς αὐτοὺς ἀπροσδοκήτοις περιβαλλόντες συμφοραῖς· σημαίνει δὲ καὶ τοῦτο ὅτι τὸ σχοινίον τοῦ ἀσεβοῦς, τουτέστιν ἡ μερὶς αὐτοῦ κατακέχωσται· τὸ δὲ ἡ σύλληψις αὐτοῦ ἐπὶ τρίβων τοιοῦτον ἐστὶν ὁ ἀσεβής· φησὶν οὐκ ἐν ἐρήμῳ· ἀλλ' ἐν αὐταῖς μέσαις ταῖς ὁδοῖς συλλαμβάνεται· τουτέστιν ἔτι ὢν ἐν τῇ εὐημερίᾳ τὴν αἰφνίδιον ὑπομένει μεταβολήν: ιε

Ἰουλιανοῦ: Ἔξωθεν φησὶν ἤμαρτεν, δύσκολος γίνεται καὶ τοὺς πόδας αὐτοῦ ταῖς πέδαις σφίγγεται κατὰ τὸ εἰρημένον· ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη ὁ πούς αὐτῶν: ιϛ

Καὶ ἐπάνωθεν ἐπιπεσεῖται θερισμὸς αὐτοῦ· τὸ μνημόσυνον αὐτοῦ ἀπόλοιτο ἐκ γῆς· καὶ ὑπάρχει ὄνομα

› αὐτῷ ἐπὶ πρόσωπον ἐξωτέρω· ἀπώσειεν αὐτὸν ἐκ φωτὸς
› εἰς σκότος, οὐκ ἔσται ἐπίγνωστος ἐν λαῷ αὐτοῦ· οὐδὲ σεσω-
› σμένος ἐν τῇ ὑπ' οὐρανὸν ὁ οἶκος αὐτοῦ :

:: ἐ ἡγαίλ· :: οἱ παῖδες αὐτοῦ ::: θ ※

καὶ οὐκ ἔσται ὄνομα αὐτοῦ ἐπὶ πρόσωπον ἀγορᾶς·

::: α οἱ γονεῖς αὐτῷ καὶ οὐκ ἔγγονον ἐν τῷ λαῷ αὐτοῦ :

Τ Πολυχρονίου : Καὶ ζῶν διαφθείρεται τοῖς προσοῦσιν ἢ δοκοῦσι περιφάνεια, ἐκ μεταφορᾶς δὲ αὐτὸ ἔλαβε τῶν ἐκτεμνομένων δένδρων : Τοῦ αὐτοῦ :

ΙΘ Τουτέστιν εἰς λήθην τοῖς πᾶσι καταστήσεται : Ὀλυμπιοδώρου :

ΙΘ Τὸ ὄνομα αὐτοῦ φησὶν οὕτως ἔσται σκαιὸν καὶ ἀπευκταῖον ὡς ἕκαστον ἀκούοντα τῆς προσηγορίας στρέφειν ἐξωτέρω τοῦ λέγοντος τὸ ἑαυτοῦ πρόσωπον : Πολυχρονίου :

ΙΘ Σύμμαχος οὐκ ἔστιν ὄνομα αὐτοῦ, ἐπὶ πρόσωπον ἀγορᾶς, ἵνα εἴπῃ, ὅτι οὔτε φίλοι, οὔτε ἀθλεῖοι ἀνέχονται τοῦ τοιούτου μεμνῆσθαι τῶν πράξεων ἕκαστον εἰς κατηγορίαν ἀγόντων:

Κ Ὀλυμπιοδώρου: Ταῦτα πάντα συμβέβηκε τῷ Ἰώβ· πλὴν οὐχ ὡς ᾤετο ὁ Βαλδὰδ δι' ἁμαρτίας: Ἀντὶ τοῦ ἐν τῷ ἐξωτέρω σκότῳ ἔσται αὐτοῦ τὸ ὄνομα. καὶ φῶς ἀπ' αὐτοῦ φεύξεται: Πολυχρονίου:

Κ Ἀπόλεσον φησὶν οἱ διαλιπόντες κακὰ παύσονται, ἀλλ' εἰς αὐτὸν ἐσχάτη ἐπάξουσι συμφοράν:

Ψ Τοῦ ἁγίου Ἰω: Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου φησὶν ἤγγισαν καὶ ἔστησαν:

πολυχρονίου: Οὐ διαδέξεταί τις φησὶ τὸν οἶκον, οὐ τέκνον, οὐκ ἔγγονος, διὰ πανωλεθρίαν τῶν ἁπάντων διαφθειρομένων: Καὶ ἡ σύλληψις αὐτοῦ ἐπὶ τρίβων, κύκλῳ ὀλέσαισαν αὐτὸν ὀδύναι· πολλοὶ δὲ περὶ πόδας αὐτοῦ ἔλθοισαν ἐν λιμῷ στενῷ· πτῶμα δὲ αὐτῷ ἡτοίμασται ἐξαίσιον. βρωθείησαν δὲ αὐτοῦ κλῶνες ποδῶν· κατέδεται δὲ αὐτοῦ τὰ ὡραῖα θάνατος: +

※ ※ θ̅ ς̅ πρωϊκός: πολυχρονίου:

Καὶ μηδεὶς παθῶν φησὶν ἵσταται τῷ τοιούτῳ τὸ δεινόν, ἀλλὰ καὶ τοῦ θανάτου δίδωσι δίκην: Ὀλυμπιοδώρου:

Τινὰ τῶν ἀντιγράφων οὕτως ἔχει· πολλῶν δὲ περὶ πόδας ἔλθοιεν λιμῷ στενῷ· τουτέστιν ὑπὸ ἐνδείας δεηθήσεται τῶν ὑποδεεστέρων· κατὰ δὲ τὸ κείμενον πολλοί φησιν ἔσονται οἱ ὑποσκελίζοντες αὐτὸν ἐν λιμῷ στενῷ· τουτέστιν ἐν τῇ καταλαμβανούσῃ συμφορᾷ: πολυχρονίου: ιβ

Ὁ θάνατος αὐτοῦ φησὶ τοῖς πᾶσιν ἐξάκουστος ἔσται καὶ ἐπίτασις: Ὁ δὲ ἀδόκητος αὐτοῦ πτῶσις τοῖς ὁρῶσιν ἔσται καταπλῆξις: Ὀλυμπιοδώρου:

Κλῶνας ποδῶν, τὰ βλαστήματα τῶν πορειῶν φησίν, ἵνα εἴπῃ ὅτι ὁ ἀσεβὴς οὐ κατευοδωθήσεται ἐν ταῖς αὐτοῦ πράξεσιν· ἀλλὰ καὶ τὰ ὡραῖα αὐτοῦ, τουτέστι τοὺς παῖδας ἀπλήστως δαπανήσει θάνατος· καὶ πάλιν δὲ αὐτοῦ ἡ διαγωγὴ ἀθεράπευτος ἔσται· μηδεμίαν ἐλπίδα ἔχουσα ἀποκαταστάσει: ιε

πολυχρονίου: Καὶ οὐδὲ εἰς ἐγγόνους φησὶ πηα ιε

δεκτικὴ τοῦ πλούτου· κλῶνας γὰρ τοὺς παῖδας λέγει· πόδας δὲ
ψ τὰς πράξεις: Τοῦ αὐτοῦ: Συνετοὶ γὰρ πως
τῶν πατέρων οἱ παῖδες τυγχάνουσιν· ἔσπευσε οὐ τοσοῦτον
διὰ τὴν τῶν χρημάτων ἀπώλειαν ἐδυσχέραινε· φαίνεται γὰρ
καὶ τέλειον φιλοσοφήσας ἐπὶ τῇ διαρπαγῇ τῶν κτημάτων· διὰ
δὲ τὸν τῶν παίδων θάνατον μάλιστα ἐδάκρυε ταῦτα φησὶν αἰ-
νιττόμενος διὰ τὴν ἀπαιδίαν αὐτῷ, διὰ τὰς ἀνομίας ἐπεγένετο:

Ἐκραγείη δὲ ἐκ διαίτης αὐτοῦ ἴασις· ιε σχοίη δὲ αὐτὸν ἀνάγκη
αἰτίᾳ βασιλικῇ· ιε κατασκηνώσει ἐν τῇ σκηνῇ αὐτοῦ ἐν νυκτὶ
αὐτοῦ· ιϛ κατασπαρήσονται τὰ εὐπρεπῆ αὐτοῦ ἐν θείῳ. ὑπο-
κάτωθεν αἱ ῥίζαι αὐτοῦ ξηρανθήσονται:

∴ θ' σκηνῆς· ∴ α' καὶ ἐπιβήσεται αὐτῷ τοῦ βασιλέ(ως)
ἀνυπαρξία ∴ ※ ἐν θ' οἱ λ' ∴ ※ θ' λικμηθή-
σεται ἐπὶ ὡραιότητι αὐτοῦ θεῖον ∴ ※

Πολυχρονίου: Ἀνύπαρκτος φησὶν ἔσται τῷ τοιούτῳ, ἡ τῶν
διαστρόφων ἀποκατάστασις: Τοῦ ἁγίου Ἰω(άννου):

ιϛ Τουτέστιν ἀπαραίτητος τιμωρία ἡ τοῦ θεοῦ· ἢ δὲ ἀνθρώπινη λέ-
γει ἀναμιγνύει καὶ τὰ μὴ συμβάντα αὐτῷ· ἵνα μὴ δόξῃ

ιϛ δι' αὐτοῦ λέγειν: Πολυχρονίου: Καὶ ὑπὸ τῶν
δευτέρων ὁ παράνομος μὲν πείσεται δεινά, ἀλλὰ καὶ παρὰ
τῶν κρατούντων εἰς συμφορὰς καταστήσεται:

ιζ Ὀλυμπιοδώρου: Ἀλλὰ αἱ ἀπάτεραι αὐτοῦ ἐν νυκτὶ
αὐτοῦ ἐν σώματι αὐτοῦ ἔχουσιν· κατὰ μὲν οὖν τὸ ἐν νυκτὶ
αὐτοῦ, ἀντὶ τοῦ ἐν ζόφῳ καὶ ἀφεγγῆ πάντα αὐτοῦ ἔσται ἡ διανοητή·

κατὰ δὲ τὸ

κατὰ δὲ τῷ ἐν σώματι αὐτοῦ, ἵνα εἴπῃ ὅτι εἰσελεύσεται εἰς τὸν τόπον ὅπου κατασκηνοῖ μετὰ τῆς ἐσχάτης πενίας, μηδὲν ἔλεον ἔχων ἢ τὸ ἑαυτοῦ σῶμα: Πολυχρονίου:

Ὁ εὐσεβὴς κατασκηνώσει ἐν σκηναῖς οὐκ αὐτοῦ, ἀλλ' ἡ ἐλκόμενος διατελέσει ἐν ἀπωλείαις: Ὀλυμπιοδώρου: ιζ

Ἐξ ἀκαρπίας καταλήξει φησὶ κατὰ τὸ δοκοῦν τὰ λαμπρὰ τῶν ἀσεβῶν ὡς ὑπὸ θείου καταποθέντα, ἀλλὰ καὶ πᾶσα αὐτῶν ἀσφάλεια ἐκλείψεται. τοῦτο γὰρ αἴρεσθαι. καὶ ἡ ὑπόνοια βλασφημίας λυθήσεται. ταχέως συκοφαντήσεται: ιη

Πολυχρονίου: Τῆς ὀργῆς ἔδειξε τὸ ἐπιτεταμένον. ὥσπερ γὰρ φησὶ πυρὸς ἐμπεσὼν ἐπὶ τῆς γῆς ἅπαντα ἀπόλλυται· οὕτω φησὶ καὶ τῶν ἀσεβῶν ἡ ἀποθήκη ἐκποδὼν γίνεται: Τοῦ αὐτοῦ: Πᾶσα φησὶ ἀσφάλεια τοῦ τοιούτου ἐκλείψεται, οὐδενὸς ἀρκοῦντος πρὸς τὸ τοῦ θεοῦ ἀποφῆσαι:

Ἀλλ' ἐν τοῖς αὐτοῦ ζήσονται ἕτεροι. ἐπ' αὐτῷ ἐστέναξαν ἔσχατοι· πρώτους δὲ ἔσχε θαῦμα. οὗτοί εἰσιν οἶκοι ἀδίκων. οὗτος δὲ ὁ τόπος τῶν μὴ εἰδότων τὸν κύριον:

Πολυχρονίου: Ἀλλ' ἐπεὶ καὶ ἡ φησὶ σπείρει φθεῖν τῶν τοιούτων εἰς ἀπωλείας καὶ τούτων ἡ κλῆσις μεταπέσοι:

Ὀλυμπιοδώρου: Πρώτους λέγει, τοὺς ἐπὶ τῆς αὐτοῦ γενεᾶς πρεσβύτας· ἐσχάτους δὲ τοὺς μετ' αὐτόν· θαυμάσονται οὖν φησὶ καὶ οἱ ὁρῶντες τῶν ἀσεβῶν τὴν πτῶσιν. καὶ οἱ τὰ κατ' αὐτοὺς ὕστερον ἀκοῇ παραδεχόμενοι· τὸ δὲ

οὗτοι εἰσὶν οἶκοι ἀσεβῶν· τουτέστι ταῦτα κληρονομήσουσιν οἱ ἀσεβεῖς, ἃ προεῖπε δηλονότι. ἀποφαντικῶς δὲ καὶ οὕτως ἐπεκτικῶς, ὅτι πάντως ταῦτα ἔσται τοῖς ἀσεβέσιν, ἥμαρτε μὴ προσθεὶς τὴν διαίρεσιν· οὐ γὰρ πάντως ἐνταῦθα αὐτοῖς ἡ ἀπόδοσις· ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι :

πα Πολυχρονίου : Ἀντὶ τοῦ τοὺς νέους ἕξει φόβος πλείστων
Τ καὶ ἑαυτοὺς δεδοικότας : Τοῦ αὐτοῦ : Τουτέστι καὶ οἱ προβεβηκότες καὶ πεῖραν ἔχοντες πραγμάτων ἐκπλήττωνται ἐπὶ τοῖς πράγμασιν:

+

+

+ προθεωρία κε· ιη :

+

Οἱ μὲν φίλοι τοῦ Ἰὼβ ἐπιτιμῶσιν ὡς πλεῖστα θρασυνομένῳ· ὁ δὲ ὡς βαρεῖς ὄντας ἐν τοῖς ὀνείδεσιν αἰτιᾶται καί φησιν, ὅτι οὐ μόνον ὑμᾶς γνῶναι θέλω, ὅτι θεός ἐστιν ὁ τὰς ἀνηκέστους μοι ταύτας πληγὰς ἐπαγαγών· ἵνα τοῦτο γνόντες φοβηθῆτε

μὴ τοῖς προσφάτοις καὶ ἡμᾶς περιβάλοι κακοῖς. μέμφεται δὲ
ὡς κατὰ πρόσωπον αὐτοῦ κακολογοῦντας, δεῖμαι γὰρ φησὶν
ὅτι μὴ κατηκόως φθέγγομαι· ἀλλ᾽ ὑμᾶς οὐκ ἔδει φίλους ὄντας
ἐπιτρίβειν μοι τὰς συμφοράς. ταῦτα πρὸς τοὺς φίλους εἰ-
ρηκώς, πάλιν ἐκδιηγεῖται τὰ αὐτὸν συνέχοντα δεινά. ἑαυτὸν
δὲ πένθους κατακρίνους, ὡς ὑπὲρ ἁμαρτίας ἀνθρωπίνας αἱ
τιμωρίαι καὶ ἐχθροῦ μᾶλλον εἰσὶν αἱ τοιαῦται πληγαί. ὄντως γὰρ
ἐχθρός ἐστιν ὁ οὕτως αὐτῷ χρώμενος, εἰ καὶ αὐτὸς τὴν αἰτίαν
ἠγνόει τῆς συγχωρήσεως. εἶτα παρακαλεῖ, ἵνα εἰ καὶ μὴ ὡς
δίκαιον ἐπαισχύνονται, ἀλλ᾽ ὡς φίλον ἐλεήσωσιν. καὶ ἐπεύ-
χεται γραφῇ παραδοθῆναι αὐτοῦ τὰ ῥήματα, ἵνα παρά-
σημα καὶ ταῖς ἐφεξῆς γένηται γενεαῖς. ὃ δὴ καὶ γέγονε, καὶ
οὐκ ἀπέτυχε τῆς εὐχῆς ὁ δίκαιος. καὶ μέμφεται τοῖς φίλοις
ὡς ἀναζητοῦσι πῶς αὐτὸν τοῖς λόγοις πλήξωσιν. καὶ παραι-
νεῖ παύσασθαι τῶν ὀνειδισμῶν τοῦ θεοῦ τὸ κρίμα δὲ εὐλαβου-
μένους :· +

+

+ ἐκ τῆς τοῦ Ἰὼβ πρὸς τοὺς φίλους διαλέξεις :

κεφ. ιγ

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει, ἕως τίνος ἔγκοπον ποιήσετε ψυχήν μου:

κδ Ὀλυμπιοδώρου: Ἀνθ' ὅτου τοίνυν φησὶν ὦ φίλοι ταῖς τοῦ σώματος ἀλγηδόσι προστίθεται τὸν τῆς ψυχῆς πόνον, μᾶλλον κεντοῦντες τοῖς ῥήμασιν, ἢ τὰ πάθη τὸ σῶμα:

κδ Τοῦ ἁγίου Ἰω(άννου): Ἄρα οὖν οὐ μόνον οὐδὲν εἰσ-φέροντας ἀπὸ τῆς παραμυθίας, ἀλλὰ καὶ τοὐναντίον ποιοῦντας συμπράττοντας τῷ διαβόλῳ, καὶ συμμαχοῦντας καὶ καθαιροῦντας αὐτοῦ τὴν ἰσχὺν, οὐκ ἤρκεσε τὰ παρελθόντα. ὁρᾷ πάντας τοὺς τρεῖς ὡς ἐξ ἑνὸς στόματος τὰ αὐτὰ φθεγγομένους:

κδ Ὠριγένους: Ὥσπερ σώματα βαρέα ἐπιτιθέμενα ζώων σώμασι κάμνειν ποιεῖ τὰ βαστάζοντα· οὕτως εἰσί τινες λόγοι βαρεῖς, οὓς ἀκούσας τις κάμνει, ὡς ὑπὸ βάρους πιεζό-μενος τῆς δυνάμεως τῶν λόγων, τῶν οὐ καλῶς, ἀλλ' ἢ τὸ ὀνει-διστικῶς, καὶ χλευαστικῶς ἢ ἐπὶ λοιδορίαις εἰρημένων ὑπὸ τῶν ἀλ- διὸ μεταβαλεῖν ἐληλυθότων. οἱονεὶ φορτίου αἴσθησις βαρέως Ἰὼβ φησὶ κάμνων τῇ ψυχῇ ἐφ' οἷς εἰρήκασιν, ἕως τίνος ἔγκοπον ποιήσετε ψυχήν μου : Καὶ μετ' ὀ-λίγα : Ὁρᾷς ὡς περιέπεσεν ὁ Σαυχαίων τύραννος, τυραννικοί εἰσιν αὐτοῦ οἱ λόγοι. οὓς ἀκούσας ὁ Ἰὼβ λέγει·

ἕως τίνος ἔγκοπον ποιήσετε τὴν ψυχήν μου. ὁμοίως καθι-
κνεῖται ψυχὴν ἀνθρώπου· ἀλλ' ὅτι ὡς λόγος σκληρός. πολλάκις ὑπο-
μείνας τὰς βασάνους σώματι προσφερομένας, λόγους οὐχ ὑ-
πέμεινεν· ὅμως τοι γε τέλειος ἀθλητὴς εἰ καὶ κάμνων, ἀλλ' ὑ-
πομένει τοὺς χαλεποὺς λόγους· ὕβριν γὰρ ὑπομένειν μεγάλου
ἀνδρός ἐστι· διὸ καὶ ἐν τοῖς ἀνδραγαθήμασιν αὐτοῦ ὁ ἀπό-
στολος λέγει· λοιδορούμενοι εὐλογοῦμεν· διωκόμενοι ἀνε-
χόμεθα· βλασφημούμενοι παρακαλοῦμεν. ὡς περικα-
θάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως
ἄρτι: Καὶ μετ' ὀλίγα φησὶν εἶτα διὰ τὸ ἕως τίνος ἔγ-
κοπον ποιήσετε τὴν ψυχήν μου: ὥσπερ ἰὼβ εἶπεν, οὐ καὶ
τὸ βιβλίον οὐδὲν ἀλλ' ὃ ἐξαιρέτως περιέχει τὸ βιβλίον, ἢ
τὴν ἀνδρείαν αὐτοῦ καὶ τὴν ὑπομονήν· ἀλλ' ὅμως αἰ-
σθάνεται τῶν κακῶν ἐν κεκμήκει ἀπὸ τοῦ λόγου τοῦ
σκληροῦ τῶν ἐληλυθότων αὐτὸν ἐπισκέψασθαι·

Καὶ καθαιρεῖτέ με λόγοις· γνῶτε μόνον ὅτι ὁ κ(ύριο)ς ἐποίησέ
με οὕτω· καταλαλεῖτέ μου οὐκ αἰσχυνόμενοι ἐπίκεισθέ μοι
καὶ δὴ κατ' ἀληθείας ἐγὼ ἐπλανήθην:

Πολυχρονίου· Καὶ πολεμίων δίκην αὐτῇ βάλλοντες
τοὺς λόγους πέμποντες ἀφεῖς οὐ τῆς ψυχῆς τὴν ἔνστασιν ἐκ-
λύσαντες, ἄδικον ἀπηνέγκατε τὴν νίκην: Ἄλλως·
Ἴς γὰρ ἐπὶ τάσει τῶν πόνων, οὐδὲν ἴχνος τῆς προτέρας εὐπρα-
γίας συγχωρεῖ περιληφθῆναι: Ὡσεὶ φορτίον βα-
ρύνοντες καθ' ἐμοῦ τοὺς λόγους: Ὠριγένους:

Ἃ βλέπετε περὶ ἐμὲ μὴ νομίσητε ἄνωθεν ἐληλυθέναι μοι, ἢ
ἀπὸ τοῦ θεοῦ· φοβήθητε τοίνυν· ὁ γὰρ ἐμοὶ ταῦτα ἐπάγων,
δύναται καὶ ὑμῖν ἐπαγαγεῖν: Ὀλυμπιοδώρου:
κγ Εἰς φόβον αὐτοὺς καταφέρει, οἱονεὶ λέγων, μὴ οὕτως ἐπεμ-
βαίνετέ μοι κάμνοντι, μὴ καὶ ὑμεῖς τοῖς αὐτοῖς περιπέσοιτε,
κγ τὴν αὐτὴν ἔχοντες φύσιν: Ὠριγένους: Πολλάκις καὶ καταλαλεῖ
τις κακῶς ποιῶν· ὅταν δὲ ἀπεκδύσηται εἰς πρόσωπον λέγῃ τις
ἐκείνῳ, οὐχὶ ἐλέγχων, οὐδὲ τὰ ἀληθῆ λέγων, ἀλλ' ὀνειδίζων
κγ καὶ ὑβρίζων: Τοῦ ἁγίου Ἰω(άννου): Τοῖς γὰρ ὑπὸ θεοῦ
τιμωρουμένοις ἐπεμβαίνειν οὐ χρή, ἀλλὰ θρηνεῖν καὶ φο-
κγ βεῖσθαι: Πολυχρονίου: Καὶ ἔννοιαν φησὶ
λαβόντες τοῦ μεγέθους τῆς συμφορᾶς, καὶ ὡς τὴν αὐτὴν
περίκεισθε φύσιν· παύσατε μὴ ἀδεῶς ταῖς κατ' ἐμοῦ
λοιδορίαις ἀμαρτάνοντες, δίκην ὑπόσχητε τὰς αὐτὰς
ἐμοὶ δεχόμενοι πληγάς: Ὠριγένους:
θ Ἵνα φησὶ καὶ ὑπόθεσιν ὑμῖν δίδωμι, ὡς ὑπολαμβά-
νετε ὅτι δι' ἁμαρτήματα ταῦτα πάσχω· ἄρα οὖν ἐχρῆν
κδ ὑμᾶς οὕτω μοι ὀνειδίζειν: Ὀλυμπιοδώρου:
Δεδόσθω φησὶ καθ' ὑμᾶς ὅτι τῆς ἀληθοῦς ὁδοῦ ἔξω γέγονα,
καὶ ψεύδομαι τοῖς ὑπὲρ ἐμαυτοῦ λόγοις καὶ ἀσεβὴς ὤν,
δίκαιος εἶναι σχηματίζομαι· καὶ οὐ κατὰ καιρὸν τοὺς
λόγους προφέρω· ἀλλ' ὑμᾶς οὐκ ἔδει καταπεμβαίνειν·
καὶ ἐπειδὴ δ' ἂν οὕτω μοι ταλαιπωρουμένῳ:
κδ Ὠριγένους: Εἰ καὶ κατ' ὑπόθεσιν τοιαῦτα

ἐπεποιήκειν οἷα οὐκ ἔδει εἰ καὶ τοιοῦτος ἤμην· ἀλλ' οὐκ ἐχρῆν
ὑμᾶς βλέποντας τὰς μάστιγας, τοὺς ἰχῶρας, τοὺς σκώληκας, τὴν
ἀπώλειαν τῶν ὑπαρχόντων αἰσχυνθῆναι· ἀλλὰ προσεπιβαίνε-
τέ μοι μὴ ἐλεοῦντές με· καὶ δὲ συμπαθοῦντες μου τῇ πε-
ιράσει: Παρ' ἐμοὶ δὲ αὐλίζεται πλάνος· λα-
λεῖ ῥῆμα ὃ οὐκ ἔδει· τὰ δὲ ῥήματά μου πλανᾶται καὶ οὐκ ἐ-
πὶ καιροῦ· ἐᾶτε δὲ ὅτι ἐπ' ἐμοὶ μεγαλύνεσθε· ἐνάλλεσθε δέ
μοι ὀνείδει· γνῶτε οὖν ὅτι ὁ κ(ύριο)ς ἐστὶν ὁ ταράξας:
:: ἀθ καὶ ἐλέγχεται ἐπ' ἐμὲ ὀνειδισμῷ:
Πολυχρονίου: Παιδίον με φησὶν ὥσπερ ἀσεβεῖ
ἐπιτιμούμενον, νῦν τὴν αὐτῶν ἔργων ἔχειν παρρησί-
αν· τοῦτο μὲν οὖν οὐ πεποίηκα· ὑποκρίνομαι δὲ ὡς δί-
καιος: Ὠριγένους: Ἀμελείως με ὀνει-
δίζετε· ἀλλ' ἐναλλόμενοι ὡς περιεπιβαίνοντες καὶ κατα-
πατοῦντές με ὀνειδίζετε: Πολυχρονίου:
Τίς ὑμῖν φησὶν αὐτοῦ τούτου βλάβη, ποία δὲ ἀνάγκη κρίνειν
ὡς ἀσεβῆ καὶ ἀποκαμβαίνειν πάσχοντι, δέον συγγινώσκειν
ὑπὸ ἀλγηδόνων φθεγγομένῳ: Ὀλυμπιοδώρου:
Ὁ ταράξας, αὐτοῦ ἐν τοσαύτῃ συγχύσει τὰ κατ' ἐμὲ κατα-
στήσας καὶ ὥσπερ τινὶ περιφερείᾳ τε καὶ τείχει πανταχό-
θεν κυκλώσας ταῖς συμφοραῖς· εἰ καὶ οὕτως ὥσπερ τι δια-
τειχίσματι, μεταξύ τε ἐμοῦ τε καὶ αὐτοῦ ὕψωσεν, ἵνα εἴπῃ
ὅτι ἀπέστησεν ἀπ' ἐμοῦ τὴν ἑαυτοῦ βοήθειαν:
Πολυχρονίου: Ἐννοήσαντες τὴν κατ' ἐμοῦ ἐπιτ

πληγῶν ἀπέχεσθε· μὴ καὶ ὑμεῖς τοῖς αὐτοῖς περιπέσητε· ὁ γὰρ ἑβραῖος αὐτὸ τοῦτο ὁ ταράξας, ἔπληξεν ἐμέ· τὴν δὲ τοιαύτην προοιμίων ἔχουσιν αὐτοῖς τέθεικεν, εἰς φόβον αὐτοὺς καταστῆσαι βουλόμενος, καὶ παῦσαι τῆς ἀντιλογίας:

› Ὀχύρωμα δὲ αὐτοῦ ἐπ' ἐμὲ ὕψωσεν· ἰδοὺ γελῶ ὀνείδει καὶ
› οὐ λαλήσω· καὶ κεκράξομαι καὶ οὐδαμοῦ κρίμα· κύκλῳ πε-
› ριῳκοδόμημαι, καὶ οὐ μὴ διαβῶ: Ὠριγένους:

φ τουτέστιν ὑπὸ τεῖχος τῆς περιστάσεως, εἰ μὴ ὀχύρωμα δοῦ οὐ δύναμαι φυγεῖν· ἕως οὗ κρίνῃ ὁ θεὸς καθελεῖν αὐτό:

φ Πολυχρονίου: Καὶ λογίζεσθέ φησιν, οὐ κατὰ πο σπουδὴν ἀλγύνομαι· καθάπερ τοιχίῳ τινὶ τοῖς δεινοῖς κεκρουμένος: Ὀλυμπιοδώρου:

κς Βέλτιον ἐστί φησι γελᾶν ἐπὶ τοῖς ὑμετέροις ὀνείδεσιν, καὶ μὴ ἀποκρίνεσθαι· τί γὰρ καὶ κεκράξομαι. κατὰ τῆς ἀποφάσεως δεικνύουσης· κρίμα γὰρ τὴν ἀπόφασιν λέγει: πότερον ἐγὼ τὰ ἀληθῆ λέγω, ἢ ὑμεῖς:

κς Ὠριγένους: Τοῦτο ἐστι τὸ νίκα σὺ τῷ ἀγαθῷ
κς τὸ κακόν: Ἄλλως: Ἰδοὺ ἐπὶ τῷ ὀνείδει ὑμῶν γελᾶν, οὐ λαλεῖν νομίζομαι: Πολυχρονίου:

κς Λέγω φησὶ μετ' ἀληθείας ὡς ἐλέγχετε καὶ ἐμὲ καὶ οὐ παραδέχεσθαί μου τοὺς λόγους· τὸ γὰρ ἐν ὀνείδει, ἵνα εἴπῃ τὰ πράγματα· τὸ δὲ οὐ λαλήσω, ἀντὶ τοῦ διὰ τὸ ἀντιλέγειν μοι ὑμᾶς, δοκῶ μηδὲν εἰρηκέναι:

στο Ὠριγένους: Νικῶ ἐὰν κράξω, οὐδαμοῦ τὸ

κρίματά μου ἐξήχθη· ὅτι ἀθλῶ, ὡς ἡ ἔλεγεν ὅστις ἀθλητὴς
ἐν τῷ σταδίῳ κέκραγε· καὶ οὐδαμοῦ τὸ κρίμα μου ἐνίσταται.
ἐν γὰρ σταδίῳ· ἐὰν μὴ τελέσω τὸ στάδιον, οὐκ ἔρ-
χεται τὸ κρίμα τοῦ στεφάνου· καὶ ταῦτα φημὶ ἵνα μὴ
κατηγορῶμεν τοῦ θεοῦ, ὅτι τοσαῦτα πάσχει ὁ Ἰώβ, καὶ
οὐδαμοῦ τὸ κρίμα: Τοῦ ἁγίου Ἰω:
Οὐδεὶς ἀκούει φησὶν, οὐδεὶς δικάζει· οὐδένα βλέπω, οὐκ ἔ-
χω ποῦ ἀπελθεῖν, ταῦτα ἐλεῆσαι οὐ χρή:
Πολυχρονίου: Εἶδε καὶ πρὸς τὸν θεὸν φησὶ βο-
ήσω· εἰς φανερὸν ἅπασιν ἐνέγκαι τὰ κατ᾽ ἐμὲ, οὐ τὴν πλά-
νω τῆς ἱκετείας· ὁ γοῦν σύμμαχος οὕτω φησίν· ἐὰν κραυ-
γάσω ἀδικούμενος οὐκ ἐπακουσθήσομαι:
Ὀλυμπιοδώρου: Ἀδιεξόδευτά μοι φησὶ τὰ
κακά· καὶ ὥσπερ οἱ κυκλωτέρως ὑπὸ τεῖχος ἀπειλημμένοι,
τῇ ὁρασίᾳ τὰς ὄψεις ἐμποδίζονται· καὶ περαιτέρω προ-
βαίνειν οὐ δύνανται· οὕτως ἀμηχανῶ τῶν συμφορῶν
ἔξω γενόμενος. τὸ δὲ ἐξέκοψεν ὥσπερ δένδρον τὴν ἐλ-
πίδα μου· ἀντὶ τοῦ τῆς εὐπαιδείας τὴν μνήμην ἠφά-
νισεν· τὸ δὲ ἐγκάθετοι τουτέστιν ἐνεδρεύοντες· δηλοῖ-
νει δὲ τοὺς δαίμονας, ὡς ἄγαν δολίους καὶ ἐγκειμέ-
νων κακῶν: Πολυχρονίου:
Ἀτόποις δεινοῖς κεκύκλωμαι, ὥστε μηδὲ ἔχειν διέξο- κξ
δον τῶν κακῶν:-
Ἐπὶ πρόσωπόν μου σκότος ἔθετο· τὴν δὲ δόξαν ἀπ᾽ ἐμοῦ

ἐξέδυσε· ἀφεῖλε δὲ στέφανον ἀπὸ κεφαλῆς μου· διέσπασέ

δέ με κύκλῳ καὶ ᾠχόμην· ἐξέκοψε δὲ ὥσπερ δένδρον τὴν ἐλ-

πίδα μου· δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο· ἡγήσατο δέ με

ὥσπερ ἐχθρόν· ... ἐπὶ δὲ ἀλλοτρίους·

:: τὸν ἀεὶ θεραπεύοντα : πολυχρονίου:

καὶ στέφανον μου φησὶ εὐφροσύνην περιεῖλεν· ἀλλοτρίους τῶν

τῶν ποικίλων τῆς εὐπορίας λέγει. ἵνα εἴπῃ καὶ τὰ κτή-

ματα καὶ τὸν πλοῦτον καὶ τὴν εὐπαιδίαν, καὶ τὴν ἔξω-

θεν τιμήν, καὶ προσέτι τοῦ σώματος τὴν ὑγίαν καὶ μη-

νύει τὰ ἑπόμενα : τοῦ ἁγίου ἰω : ἤτοι τοὺς τῆς

διανοίας, ἤτοι τοὺς τῆς ὁδοῦ. τουτέστιν ἐσκότωσέ με, οὐκ ἔχω

ποῦ ἀπελθεῖν, οὐδὲ βλέπω, οὐδὲ πῶς ἀμείψω :

πολυχρονίου: καὶ τέλειον φησὶ τὴν ἔξωθεν

περιείλετό με : τοῦ αὐτοῦ : τὴν προσοῦσαν

φησὶν ἀφείλετο κτῆσιν : τοῦ αὐτοῦ :

τὴν ἐκ τῆς εὐπαιδίας μνήμην ἠφάνισεν : οὐ αὐτοῦ:

αἱ κατὰ τοῦ σώματος δὲ ἤνεγκε τῶν πληγῶν :

τοῦ αὐτοῦ : τουτέστιν ὡς πολέμιον ἐτιμω-

ρήσατο καὶ βαρύτερον: —

ὁμοθυμαδὸν δὲ ἦλθον τὰ πειρατήρια αὐτοῦ ἐπ' ἐμοί·

ταῖς ὁδοῖς ἐκύκλωσάν με ἐγκάθετοι· ἀπ' ἐμοῦ δὲ

ἀδελφοί μου ἀπέστησαν· ἔγνωσαν ἀλλοτρίους ἢ ἐμέ·

φίλοι δέ μου ἀνελεήμονες γεγόνασιν :

∴ οἱ μονάζοντες, ἢ λόχοι: τοῦ ἁγίου ἰω :

Πολλή ἡ περιέργεια τοῦ διαβόλου. οἱ περιληφθέντες αὐτῷ στο
τῶν οἰκείων· χαλεπωτέραν εἰργάζοντο τὴν συμφορὰν
τῶν ἀπελθόντων. ἐκεῖνοι μὲν γὰρ οὐδὲν ἔπαθον λοιπόν.
οὗτοι δὲ καὶ ὠνείδιζον καὶ παρήκουον καὶ κατ᾽ αὐτοῦ
ἐλάλουν: Πολυχρονίου: Ἵνα εἴπῃ κα- στο
τ᾽ αὐτοῦ ἅπασαι αἱ συμφοραί· τῶν γὰρ προσόντων τὸ μὲν
ἢ περιληφθῆναι· τὸ δὲ ἀπολέσθαι, φέρει τινὰ παρα-
μυθίαν τῷ παθόντι· τὸ δὲ ἀπάντων ἀθρόως στερηθῆναι
βαρυτέραν ἐποίει τὴν ὀδύνην: Τοῦ αὐτοῦ:
Τουτέστιν ὁδοὺς τὰς τοῖς ἐπιοῦσιν οἱ προλαβόντες ἐγένοντο, ϙβ
ἵνα εἴπῃ, ἄλλον ἄλλον ἀλλήλοις διαδεχόμενοι, τὴν συνεχῆ τῶν
δεινῶν ἀγγελίαν καταπήξοντες τὴν διάνοιαν· τὸ δὲ ἐσκεύ-
-ασαν, ἐν μεταφορᾷ εἴρηται τῶν εὐτρεπεῖς ὁδοὺς ἐργαζο-
μένων: Τοῦ αὐτοῦ: Τουτέστι περιεστοιχί- ϙ
ασαν τοῖς δεινοῖς· καὶ ἐπεμήκυνόν μοι τῆς συμφορᾶς τὸ μέ-
γεθος· ηὔξησε δὲ τὸ δεινόν, τὸ μὲν ἀπὸ τοῦ πάθους·
τὸ δὲ ἀπὸ τοῦ χρόνου: Τοῦ αὐτοῦ:
Καὶ οὐδὲ τὴν ἀπὸ τῶν συγγενῶν ἔσχον παραμυθίαν. ἀ- κη
δελφοὺς γὰρ τοὺς αὐτῷ μὴ προσήκοντας λέγει:
Ἰουλιανοῦ: Ὥσπερ γνώμης ἁμάρτημα κη
τὸ πάθος μισήσαντες: Πολυχρονίου:
Καὶ τοὺς οὐδὲν αὐτοῖς φησὶ προσήκοντας τῆς ἐμῆς συγ- ϙ
γενείας προὐτίμησαν: Τοῦ αὐτοῦ: ϙβ
Καὶ οἱ μετὰ τῆς εὐδαιμονίας φίλοι. μετὰ τῆς δυσπραγί

ἐπίβουλοι: τοῦ αὐτοῦ: Ἀλλὰ καὶ οἱ τοῦ γένους φησὶν οἰκειότατοι εἶναι δοκοῦντες διὰ τὴν φιλίαν. οὐ μόνον οὐκ ὠφέλησαν τοσούτοις ἐμπεσόντα τοῖς δεινοῖς ἀλλὰ καὶ τῶν πολεμίων ἐπλήρωσαν τάξιν:

Οὐ προσεποιήσαντό με οἱ ἐγγύτατοί μου· καὶ οἱ εἰδότες μου τὸ ὄνομα ἐπελάθοντό μου· γείτονες οἰκίας θεράπαιναί τέ μου· ἀλλογενὴς ἤμην ἐναντίον αὐτῶν· θεράποντά μου ἐκάλεσα καὶ οὐχ ὑπήκουσεν· στόμα δέ μου ἐδέετο καὶ ἱκέτευον τὴν γυναῖκά μου: λ θ ξένος:

Πολυχρονίου: Ἀπέμπροσθέν μοι προσῆσαν οἱ γνώριμοι· νῦν δὲ οὐκ οἴδασι τίς ὁ Ἰώβ· νῦν ὁ ἐπὶ τοῖς οὐ παῖς. ἀλλὰ καὶ παρὰ τοῖς οἰκείοις μῖσος μοι τὸ πάθος, ἀντὶ συμπαθείας προυξένησεν: τοῦ αὐτοῦ:

Οἱ μικρῷ πρότερον δι' αἰδοῦς ἔχοντες καὶ δεδοικότες, πᾶσι φαῦλον τί φασιν νῦν: τοῦ αὐτοῦ:

Καὶ τὸν οἶκον γὰρ ἐπανέστησεν αὐτῷ ὁ διάβολος: τοῦ αὐτοῦ: Οὐχ οἱ ἐκτὸς μόνον, ἀλλὰ καὶ οἱ προσφύγοντες, καὶ ὧν τὴν ἐξουσίαν εἶχον, ὡς οὐδὲ τὴν ἀρχὴν εἰδότες με διετέθησαν: τοῦ αὐτοῦ:

Ὡς ξένον φησὶ καὶ ἀλλογενῆ παρέδραμον: τοῦ αὐτοῦ:

Τῆς ἄλλων λοιπῶν παρακλήσεως ἐν ἐρημίᾳ καθεστώς, τὴν αὐτῶν οἰκετῶν ἐξῄτουν θεραπείαν. καὶ ταῦτα ἱκετεύων καὶ παρακαλῶν τῆς γνώμης: Ἰουλιανοῦ:

λ Μὴ ἀκουσθὲν γὰρ τὸ γύναιον ἔφη κακῶς συνεβούλευσα.

καὶ αὐτὸ λύσιν ἐπεχείρει:
λα

> Προσεκαλούμην δὲ κολακεύων υἱοὺς παλλακίδων μου· οἱ δὲ
> εἰς τὸν αἰῶνα με ἀπεποιήσαντο· ὅταν ἀναστῶ κατ᾽ ἐμοῦ
> λαλοῦσιν· ἐβδελύξαντο δέ με οἱ εἰδότες με· οὓς δὲ ἠ-
> γαπήκειν ἐπανέστησάν με. :: θ΄ καί γε ἄ-
φρονες ἀπώσαντό με. :: ε΄ ζ΄ ὁμόμιχοί μου:

Ὀλυμπιοδώρου: Οὐδὲν ἀπρεπὲς εἰ παλλακίδας εἶχεν λα
ὁ δίκαιος, μήπως κεκωλυμένης τῆς ἐκ τῶν τοιούτων παι-
δοποιίας· καὶ γὰρ καὶ οἱ τούτων πρόγονοι οἱ περὶ τὸν Ἀβρα-
ὰμ παλλακίσιν ἐμίγνυντο διὰ τὴν τοῦ γένους αὔξησιν.
κατὰ δὲ τοῦ οἴκου τὴν ἐξουσίαν ὁ διάβολος οὐ κατὰ τοῦ
γένους ἔλαβε. τὸ δὲ εἰς τὸν αἰῶνα με ἀπεποιήσαντο, ἀντὶ
τοῦ παντελῶς. τὸ δὲ ἐπὰν ἀναστῶ κατ᾽ ἐμοῦ λαλοῦσιν, ἢ
ὅταν αὐτῶν ἀποχωρεῖ ἀπωθουμένοις, ἢ ὅταν ἀναστῶ μετὰ
τὴν νύκτα πρὸς ἑαυτοὺς λέγουσιν, οὔπω τέθνηκεν· ἔτι
ζῇ ὁ ἀσεβὴς οὗτος: Πολυχρονίου:

Καὶ μὴν τὸ πρόχειρον υἱοὺς παλλακίδων λέγει, τοὺς οὐκ ἐκ λα
νομίμων γάμων, ὡς ἔσχεν Ἀβραὰμ ἐκ τῆς Ἄγαρ τὸν Ἰσμα-
ήλ· καὶ ὁ Ἰακὼβ ἐκ τῆς Βάλλας τὸν Δὰν καὶ Νεφθαλείμ· οὐ γὰρ
ἀπηγορεύοντο πρώην ἡ ἐκ τῶν τοιούτων παιδοποιία.
Σαφέστερον δὲ ὁ Σύμμαχος ἔφη· προσεκαλούμην κολακεύων
υἱοὺς παιδῶν μου· κατὰ γὰρ τοῦ οἴκου τὴν ἐξουσίαν ὁ διά-
βολος, οὐ κατὰ τοῦ γένους ἔλαβε. καὶ βασιλέα δ᾽ ἐκεῖ-
γε εἶναι ἐκ τῶν συγγενῶν ἐν εὐημερίᾳ τυγχανόντων.

ἡ γὰρ παράθεσις μείζονα τὴν ὀπτασίαν ἐργάζεται· καὶ μά-
λιστα ἐπειδὴ πρότερον αὐτοῦ δεόμενοι, νῦν ἐν συμφοραῖς
παρέβλεπον, ὃ δὴ καὶ φαίνεται λέγων: Καὶ μετ' ὀλίγα:
τί γὰρ περὶ παίδων οὐ λέγει δῆλον· πάντες γὰρ οὗτοι συμ-
ποσίῳ ἀπώλοντο: Τοῦ αὐτοῦ:

Προϊόντα φησὶ βλέποντες, καὶ τῆς αὐτῶν δεόμενος παραμυ-
θίας, ἀποστρεφόμενοι ὥσπερ ἀποτρόπαιον ἔφυγον:

θ̄ Τοῦ αὐτοῦ: Οἱ οἰκειούμενοι φησὶ πρότερον, καὶ τῆς
παρ' ἐμοῦ ἐπικουρείας δεόμενοι ἀπελέλοιπον: Τοῦ αὐτοῦ:

Καὶ οἱ παρ' ἐμοῦ εὐεργετηθέντες ἐπέθεσάν μοι κακά, καὶ φη-
τὰ ἔξωθεν συμβάντα, μέμνηται λοιπὸν καὶ τῶν τοῦ σώματος παθῶν:

Ἐν δέρματί μου ἐσάπησαν αἱ σάρκες μου· τὰ δὲ ὀστᾶ μου
ἐν ὀδοῦσιν ἔχεται· ἐλεήσατέ με ἐλεήσατέ με ὦ φίλοι· χεὶρ
γὰρ κυρίου ἡ ἁψαμένη μού ἐστιν:

:: ἔτι ζῶντός μου· α' ἐν δέρματί μου καὶ ἐν κρέασί μου ἐκολ-
λήθη ὀστοῦν μου· :: σ' καὶ ἐξέτιλλον τὸ δέρμα μου
ὀδοῦσιν ἐμοῖς· ::: ἐλεήσατέ μοι· ::: οὐκ ἤμην αὐ-
τοκατάκριτος: Ὀλυμπιοδώρου:

λβ Μετὰ τοῦ δέρματος ἐμνημόνευσε τῶν σαρκῶν ἵνα εἴπῃ, ὅτι
εἰς βάθος ἐχώρησε τὸ δεινόν, ἀλλὰ καὶ τὰ ἀναίσθητα
τῶν μορίων φησὶν οὐκ ἐλεύθερά μοι ὀδύνης καθέ-
στηκεν· ἀλλ' ὡς ὑπὸ ὀδόντων τινῶν κατεσθίεται:

Πολυχρονίου: Καὶ τὸ δέρμα φησὶ καὶ αἱ σάρκες
ὑπὸ τῶν ἰχώρων ἐφθάρησαν· ἐμνημόνευσε δὲ μετὰ τοῦ

σπέρματος καὶ τῶν σαρκῶν ἵνα εἴπῃ, ὅτι εἰς βάθος ἐχώρησε τὸ
δεινόν, ὥσπερ μοι καὶ ἅπαξ ἔμφυτον εἶναι τὸ πάθος:

Τοῦ αὐτοῦ: Ἵνα εἴπῃ ἀνίατα πάσχω, ὥσπερ καὶ
τὰ ἀνάλγητα τῶν μορίων οὐκ ἐλεύθερα ὀδύνης καθέ-
στηκε: Ὀλυμπιοδώρου: Ἐλεήσατέ με ὦ φί-
λοι καὶ ἅ φησι λέγοντα ἐπαισχύνεσθε. ἀλλὰ γὰρ οἶκτον ἀ-
ναλάβετε καὶ πρὸς εἰς τὰ ὑπὸ θεοῦ μοι συμβεβηκότα.
εὐλαβούμενοι μὴ τῶν ὁμοίων πειραθῆτε παρὰ θεοῦ.
τὸ δὲ διατί με διώκετε ὥσπερ καὶ ὁ κύριος· ἀντὶ τοῦ ἴσως μὲν
ἔχει αὐτὴ καὶ κατηγορεῖν μου ὁ θεός· τί δὲ ἄρα καὶ εἰς τὴν
ἥμαρτον ἔπαλε. ἢ γὰρ οὐκ ἤρκεσεν ὑμῖν τὸ οὕτω μου δι-
αφθαρῆναι τὸ σῶμα: Πολυχρονίου:

Ἐλεηκῶς παρὰ τῶν φίλων καὶ συγγενῶν ᾐτοῦντο καὶ γυ- λε
ναικός· ἔτι μὴν καὶ τῶν ἀξιουμένων πρότερον τῆς αὐτοῦ
κηδεμονίας, ὡς ἅπαντας διὰ τὴν συμφορὰν ὑπερίδοιεν,
ἀνακολούθως πρὸς τὰ προάγοντα ἀποδιδοὺς ταῦτ' ἔφη. τὸ
μὲν ἐλεήσατε ὡς πρὸς τοὺς συγγενεῖς καὶ τὴν γυναῖκα εἰ-
ρηκώς, οἷς καὶ τὴν πρόσοδον φεύγειν αὐτοῖς ἐμποιεῖσθαι ἐπι-
-ταξε. τὸ δὲ ἐλεήσατε, ὡς πρὸς παρόντας τοὺς φίλους, ἀνε-
λεημόνως ὁρῶντας τὰ πάθη: Τοῦ αὐτοῦ:

Οὐ γὰρ δι' ἁμαρτίας φησὶ θεὸς ἔπληξεν, ἀλλὰ κατ' ἐξουσίαν τὰς σζυ
συμφορὰς ἐπήγαγεν:

σπο
Διατί δέ με διώκετε ὥσπερ καὶ ὁ κύριος· ἀπὸ δὲ σαρκῶν μου
οὐκ ἐμπίπλασθε. τίς γὰρ ἂν δῴη γραφῆναι τὰ ῥήματά μου.

⊗ Δ

› τεθῆναι δὲ αὐτὰ ἐν βίβλῳ εἰς τὸν αἰῶνα· ἐν γραφείῳ

› σιδηρῷ καὶ μολίβδῳ: Πολυχρονίου:

σχο Τίνος φησὶν ἕνεκεν ἐπιτίθεσθε ταῖς συμφοραῖς, οὐδένα οἶκτον ἐπ᾽ ἐμοὶ λαμβάνοντες· καὶ ταῦθ᾽ ὁρῶντες τὸ δεινόν:

λσ Ὀρέγεται καὶ ἑαυτὸν ἀνεξαλείπτῳ παραδοθῆναι γραφῇ. ὁμοιωματικῶς δὲ αὐτὸν εἶπεν, ἀπὸ τοῦ τοὺς βουλομένους ὅτι μάλιστα διαμένειν τὰ ἀναγραφόμενα, διὰ γραφείου σιδηρᾶς, ἀπὸ μολίβδου ἐντιθέναι τὰ γράμματα ταῖς στήλαις, ἢ καὶ ταῖς πλαξὶν ἐγκολάπτειν· ἵν᾽ ὥσπερ φησὶ τῆς ὀλιγωρούμενος με ἀτελεύτητον ἔχω τὴν φύσιν· οὕτω καὶ τὰ κατ᾽ ἐμὲ ἀνεπίληστα ἐγγένηται κἂν ἀνελύθην εἰς γῆν. ὡς ἅπαντες ἂν ἠγάσθησαν τὴν ἐμὴν ὑπομονήν· ἀφόρητον τῶν ἐμοὶ συμβάντων καὶ τὴν ἀνάγκην κρίνοντες. ὑμεῖς γε τὴν θέαν ἀνελεημόνως παρατρέχεσθε· τοιοῦτο δὲ φησὶ καὶ ἀναστῆσαι τῆς τὸ δέρμα μου τὸ ἀναντλοῦν ταῦτα, δόγμα πάλιν ἐνταῦθα διδάσκων καὶ ἴσον, ὅτι τὸ σῶμα τὸ καὶ τοὺς περιστασμοὺς ὑπομεῖναν αὐτὸς συνανίσταται τῇ ψυχῇ, ἵνα καὶ ζωῇ αὐτῇ τῶν αἰωνίων ἀπολαύσει καλῶν: Τοῦ ἁγίου Ἰω(άννου):

λσ Ἰδοὺ ἐγράφη, οὐκ ἐν γραφείῳ σιδηρῷ· ἀλλ᾽ ἐν πολλῷ μᾶλλον ἢ ἥλοις· ἐκεῖνα μὲν γὰρ εἰ καὶ ἐγλύφετο, χρόνος ἀνάλωσεν· ταῦτα δὲ μειζόνως ἐγράφη: Τοῦ αὐτοῦ:

λσ Εἴτοι τὰ τῆς συμφορᾶς, ἤτοι τὰ τοῦ βίου, τὰ ἐν ταῖς ἀρεταῖς ἃ ἐμαρτύρει ἑαυτῷ ὅτι οὐκ ἦν πονηρός· οὕτω γὰρ θαρρῶ

φησὶν οὐδένα ἠδικηκώς· ὥστε βουλόμην καὶ μετὰ ταῦτα

τεθῆναι τὰ τῆς συμφορᾶς· ἐπειδὴ φέρει τινὰ καὶ τοῦτο πα-

ραμυθίαν: πολυχρονίου: εἴδες γὰρ ἐγὼ μὴ τεχ-

θῆ παραδοθῆναι τὰ κατ᾽ ἐμέ, ὥστε τοῖς μετὰ ταῦτα γνώ-

ριμα γενέσθαι: τοῦ ἁγίου ἰω:

ω ζῆν πάντοθεν οὐ τινα γενέσθαι συμπάθειαν:

ἰουλιανοῦ: ταῦτα οὐχ ὡς περὶ αὐτοῦ λέγει,

ἀλλ᾽ ἵνα σκοπὸς ὑπομονῆς ᾖ τοῖς μετέπειτα, ὃ καὶ γέγον

ὑπὸ μωϋσέως γνώμη θεοῦ: τά γὰρ ἐν μο-

-λίβδω τεθειμένα συνεκλείσθαι:

ἢ ἐν πέτραις ἐγγλυφῆναι· οἶδα γὰρ ὅτι ἀέναος ἐστιν ὁ ἐκ-

λύειν με μέλλων ἐπὶ γῆς· ἀναστήσαι τὸ δέρμα μου τὸ ἀνα-

τλοῦν ταῦτα· παρὰ γὰρ κυρίου ταῦτα μοι συνετελέσθη· ἃ

ἐγὼ ἐμαυτῷ συνεπίσταμαι:

:: ※ εἰς μαρτύριον: :: ὁ ἀγχιστεύς μου ζῇ,

καὶ ἔσχατον ἐπὶ χώματος ἀναστήσει: πολυχρονίου:

ἐν στήλαις φησὶ γνωσθήσεσθαι διὰ βίου παντός· τὸ γὰρ

εἰς μαρτύριον τοῦτο σημαίνει: ὁ ἐκλύειν

μέλλων τῆς γῆς, τουτέστι βιαζόμενος:

τοῦ ἁγίου ἰω: ἀρκεῖ ἤδη περὶ ἀναστάσεως

ἐμοὶ δοκεῖ· καὶ περὶ ἀναστάσεως σωμάτων· εἰ μή

τις λέγοι ἀνάστασιν εἶναι τὴν ἀπαλλαγὴν τῶν κατεχόν-

-των αὐτὸν δεινῶν: ἄλλως: καλῶς ὡς

αἰτίαν εὔλογον λέγων τῆς μεταβολῆς· αὐτός φησιν ἐπάγει.

αὐτὸς καὶ ἰάσεται· Πολυχρονίου· Εἴθε φησὶν ἐ-
γνῶ τὸν θεὸν ἐπεχείρουν τῶν ἐπικειμένων πάσχειν πόνων. ἢ
τοῦτο τὸ σύντονον σῶμα ὄψει γνῶ ποῖα τῆς πολὺ παθείας
ἀπαλλαγῆναι· Τοῦ ἁγίου Ἰω(άννου)·

ολ Ἵνα ὁ θεός φησιν ὅ τοῖς δεινοῖς περιβάλων αὐτὸς καὶ καθαρὸν
τῶν παθῶν πεποίηκεν· Ὀλυμπιοδώρου·

λε Θεὸς φησὶν οὕτω ζῶν αἰσθάνεται τῶν κακῶν, οὐδὲ ἐφίστην
δύναται ὡς ὁ πάσχων ἐγώ· πάντα γὰρ τὰ δεινὰ τέσσον
τινὰ ἐνεκολπισάμην, καὶ οἷον συνεκολλήθησάν μοι· ὁ γὰρ
κόλπος ἐπὶ τοῦ ἀχωρίστου λαμβάνεται·

λε Πολυχρονίου· Τῶν δὲ δεινῶν φησὶ τὸ μέγεθος,
αὐτὸς γινώσκω ὑπὸ τῶν παθῶν κλονούμενος·

Ἃ ὁ ὀφθαλμός μου ἑώρακε καὶ οὐκ ἄλλος· πάντα δέ μοι συν-
τετέλεσται ἐν κόλπῳ· εἰ δὲ καὶ ἐροῦμεν τί ἐροῦμεν ἔναντι
αὐτοῦ· καὶ ῥίζαν λόγου εὑρήσομεν ἐν αὐτῷ·

θ ἐξέλιπον οἱ νεφροί μου ἐν τῷ κόλπῳ μου·

ε λέγεται δὲ τί ἔτι ἐκδιώξομεν αὐτό·

Τοῦ ἁγίου Ἰω(άννου)· Ὅτι γὰρ ἐστί φησιν ἀνθρωπίνη ἡ ἐ-
πήρεια· καὶ γὰρ τὰ συμβάντα περὶ τὰ θρέμματα, ἐν
τῷ περὶ τὸ σῶμά μοι συμβάντων, οἶδα θεοῦ πληγῆς ὄντα.
διὰ τοῦτό φησιν ἃ ἐγὼ ἔμαθον ζῶν ἐπίσταμαι· ἱκανὸν ἔχω
διδάσκαλον τὸ ἐσχάτως εἶναι τὴν πληγὴν εἰς τὰ συμβάντα
μοι ταῦτα, οἷον ὡς ἂν λέγῃ· βρῶμον γὰρ ὁρῶ τὰ πάντα
μου. οὐκ ἔστι ταῦτα νόσου φυσικῆς· πάλαι γὰρ ἂν ἀπη-

-γόρωσε τὸ σῶμα:                Πολυχρονίου:

Καὶ ἡ ὄψις δὲ ἱκανὴ διδάσκαλος τοῖς νοῦν ἔχουσι γίνεται. τὸ δὲ οἱ ὀφθαλμοί μου ἑωράκασι καὶ οὐ κάλλος ἔφη, ἐπιπλήττων αὐτούς. ὅτι καὶ ὁρῶντες καὶ εἰδότες τὸ ἀνήκεστον τῆς συμφορᾶς, ὅμως διαβάλλειν ὡς μικροψύχως φέροντα ἐπιχειροῦσιν:                Τουτέστιν ἐπινέμηται κακὰ καὶ οὐκ ἐχωρίσθη. τὸν γὰρ κόλπον πανταχοῦ, ἐπὶ τοῦ ἀδιαπαύστου λέγειν εἴωθεν ἡ θεία γραφή. ὡς τὸ ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίωνα εἰς τὸν κόλπον αὐτῶν:

Ἐπειδὴ τοίνυν φησὶν αὐτοὶ παρακλητικῶν λόγων, καὶ ἰδίαν σκοπεῖτε ποίας ἀντιλογίας εὕρητε. καὶ ὥσπερ οἱ τὰς ῥίζας ἐπιζητοῦντες, ἀνιχνεύετέ μου τοὺς λόγους πόθεν λάβησθε. εὐλαβήθητε δέ, καὶ μὴ ἐν προσχήματι τοῦ θέλειν θεῷ συνηγορεῖν καταψεύσησθέ μου. τοῦτο γὰρ σημαίνει τὸ ἀπὸ ἐπικαλύμματος. λέγει οὖν ὅτι φοβήθητε μὴ ὁ ἀπροσωπόληπτος θεός, δικαίως ὀργισθῇ καθ' ὑμῶν, καὶ τότε γνώσεσθε ὡς οὐδὲν ὑμῶν ἐστὶν ἡ ὕλη. ὕλην δὲ ἔοικε λέγειν, ἢ τὸν ὄχλον τῶν ῥημάτων, ἢ τοῦ πλούτου τὴν περιουσίαν: λς̅

Τοῦ ἁγίου Ἰω(άννου):

Τί καλέ· ἐν πονηρίᾳ ἂν ταῦτα πάσχω· καὶ ὑμεῖς τὰ αὐτὰ φοβεῖσθαι ὀφείλετε: λς̅

Πολυχρονίου:

Ἐπαύσατε ἄν φησι τότε, καίτοι τῶν πραγμάτων μαρτυρούντων ἐν λόγοις οὓς λάβεσθε. ὡς ἂν ὑπὸ τῆς ἀληθείας ψηφίσησθε ἀνεύθυνον. ὁ γοῦν Ἑβραῖος καὶ

καὶ ἁμάρτημα λόγου ἔχει :

Εὐλαβήθητε δὴ καὶ ὑμεῖς ἀπὸ ἐπικαλύμματος· θυμὸς γὰρ
ἐπ' ἀνόμους ἐπελεύσεται· καὶ τότε γνώσονται ποῦ ἐστιν αὐτῶν
ἡ ὕλη : :: ε εὐλαβεῖσθε ὑπὲρ ἑαυτῶν
τῶν μαχαιρῶν· :: α θ ὅπη γνῶτε ὅτι ἐστὶ κρίσις :

πολυχρονίου : τοιγαροῦν φησίν, οὕτως ἀγρίως
μου κατηγοροῦντες, μήποτε καὶ εἰς κρεῖττον καταστὰς εἰσ-
πράξηται ὑμᾶς δίκην τῆς ἀλόγου ταύτης θρασύτητος :

τοῦ αὐτοῦ : ὀργὴ γὰρ ἀνεύθυνα φησὶ τὰ
τοιαῦτα καταλιμπάνει οὐδέ : τοῦ αὐτοῦ :

Εἴσεσθε γάρ φησιν εἰ θεὸς κινηθείη καθ' ὑμῶν, ὡς
ἀνόνητος ὑμῖν φανείη ἡ ἐπίγνωσις τοῦ κακοῦ δίκης,
καὶ ἡ ἐπὶ τοῖς προσοῦσιν ἄδεια :

+

+ προθεωρία κεφαλαίου ια.

+

Ὡς πολλὰ καὶ καλὰ πάντα αὐτός τε εἰπὼν ὁ Σωφὰρ καὶ
τῶν λοιπῶν φίλων εἰρηκότων, ἤπειξε μὲν αὐτὸν ἔτι

τοῦ Ἰώβ

τὸν Ἰὼβ ἀντιλέγειν. ἐπειδὴ ἴδεν αὐτὸν παρρησιάζοντα τοῖς
ἑαυτοῦ δικαίοις, καὶ πάντας αὐτῶν τοὺς λόγους ἀμυνό-
μενον, ἔξω τῶν ἐπιπέδων γεγονώς; οὐχ οὕτω φησὶν ὑπε-
λάμβανον ἀντερεῖν σε ταῦτα. εἶτα καὶ πρὸς τοὺς φίλους
φησίν, ὅτι οὐχ οὕτως ἀκριβῶς κατανοεῖτε τοῖς ὑφ' ἡμῶν
αὐτῶν λεγομένοις, καὶ τοῖς ὑπὸ τοῦ Ἰὼβ ὥσπερ ἐγώ· πλ 21
ἐρῶ ὅσα ἡ σύνεσις ὑπαγορεύει. εἶτα καταλέγει τὰ
κατὰ τοὺς ἀσεβεῖς ἀπερχομένοις, καὶ ἃ ὑπομένουσι κατὰ δί- 6
κην· καὶ ὅτι ἐπιχείρων τὰ κατὰ τὴν αὐτῶν εὐπραγίαν, οὐ-
δὲν διαφέρει· καὶ ὅτι οὐδὲν αὐτοῖς συνεξέρχεται ἐκ τοῦδε
τοῦ βίου, εἰ μὴ ἡ αὐτῶν ἀσέβεια. πολλὰ δὲ εἰρηκὼς τὰ
τοῖς ἀσεβέσι τὰ συναντώμενα. ταῦτα ἔφη μετὰ τῶν
τῶν ἀσεβῶν. τοῦτον αὐτοῖς κλῆρον καὶ κτῆμα δεδόσθαι παρὰ
θεοῦ. πλὴν δὲ οὐκ ἔλεγχω ὅτι τὰ συμβαίνοντα οὐ πάντως δι' ἁ-
μαρτίας γίνονται· ἀλλὰ καὶ κατ' ἄλλας οἰκονομίας. ἀλλ' οὐδὲ ἐπὶ
τοῦ προσώπου τοῦ Ἰὼβ ταῦτα καλῶς ἐλέγετο. ὥστε οἱ καλοὶ
λόγοι, ἐὰν μὴ καλῶς λέγονται, καὶ μετὰ ὀρθῆς διαθέσεως,
καὶ προσηκούσης διαιρέσεως, καὶ ἐπὶ καιροῦ καὶ προσώ-
που ὑποκειμένου ἐπιτηδείου πρὸς τὰ λεγόμενα, οὐκ ἐπαίνου
μᾶλλον, ἀλλὰ μέμψεως ἄξιοι

† Δευτέρα τοῦ σωφὰρ πρὸς τὸν ἰὼβ ἀντίρρησις :

κεφάλαιον ιθ

Ὑπολαβὼν δὲ σωφὰρ ὁ μιναῖος λέγει· οὐχ οὕτως ὑπελάμβανον ἀντερεῖν σε ταῦτα, καὶ οὐχὶ συνιέναι μᾶλλον ἢ καὶ ἐγώ· παιδίαν ἐντροπῆς μου ἀκούσομαι:

※ ει β οι γ ·     Ὀλυμπιοδώρου:

Ὤμην σε φησὶν πολλῶν πρὸς σὲ καὶ καλῶν ἐξηγημένων συνήσεσθαι τοῖς παρ' ἡμῶν:     Ἄλλως:

Ἡγούμην ἐρεῖν σε πολὺ ἡμῶν ὅτι οὐ πλέον μου συνίετε· ἐπειδὴ εἶπεν α΄ ὁ ὀφθαλμός μου ἑώρακε καὶ οὐκ ἤκουσεν ὦς:

λξ Πολυχρονίου:     Ἐπειδὴ ἐπετραγῳδήσας ταῖς ἑαυτοῦ συμφοραῖς, σφοδροτέροις τοῖς κατ' αὐτῶν ἐχρήσατο ῥήμασιν, ὡσανεὶ ἀπὸ κακίας μᾶλλον ἢ ὀξύτητος τῆς γνώμης διαβάλλουσιν αὐτόν φησίν. οὐκ ᾤμην σε τούτοις καθ' ἡμῶν χρήσασθαι τοῖς ξένοις λόγοις καὶ πικροὺς νομίζειν τοὺς τὰ συμφέροντα εἰσηγουμένους:     Ὀλυμπιοδώρου:

λπ Τινὰ τῶν ἀντιγράφων καὶ οὐχὶ συνίεται ἔχει· κατὰ μὲν τὸ οὐχὶ συνιέναι πρὸς τὸν ἰὼβ λέγει· μᾶλλον γὰρ φησὶν αὐτός, ἐγὼ περὶ τὴν τῶν τοιούτων κρίσιν σφάλλεσθαι ὑπόμιξον, εἰς σὲ παρακλήσειν τοῦ προσήκοντος· κατὰ δὲ τὸ οὐχὶ συνιέναι πρὸς τοὺς φίλους τρέπει τὸν λόγον καὶ φησίν·

οὐ πάνυ καὶ ἀνοήτοις τοῖς λεγομένοις ὑπό τε τοῦ Ἰὼβ καὶ ὑφ᾽ ἑαυτῶν ὡς ἐγώ: τοῦ αὐτοῦ:

Ἀλλὰ αὐτίκα παιδείαν ἐντροπῆς σου ἀκούσομαι περιέχει· καὶ ἀμείνω σοῦ τὸ ἐντροπῆς μου, τοῦτο λέγει· ὅτι τῆς παιδεύσεως τῆς καὶ εὐλαβείας. ἐντροπὴν γὰρ τὴν εὐλάβειαν φησίν· καὶ ὑπέσχημαι τὸ πνεῦμα τῆς συνέσεως ἀκοῦσαί με ὑπέσχετο δὲ ἐφεξῆς ἃ λέγει περὶ τῶν ἀσεβῶν. ὃ δὲ λέγει τοῦτό ἐστιν, ὅτι οἱ παιδευταὶ καὶ εὐλαβεῖς καὶ συνετοὶ τοσοῦτον ὡς οἱ ἀσεβεῖς, διὰ τὰς οἰκείας ἁμαρτίας πάντων τιμωροῦνται· κατὰ δὲ τὸ ἐντροπῆς σου, οὕτω νοήσεις· ἀκούσομαί σου τῆς παιδεύσεως δι᾽ ἧς ἡμᾶς ἀκόλως ἀπήλεγξας. καὶ τοῦ πνεύματος τῆς συνέσεώς σου, δι᾽ οὗ κακῶς ἡμῖν ἀποκρίνῃ. ταῦτα δὲ καὶ εἰρωνίαν λέγει: λθ

Ἐγὼ ἤδη ἂν ἐντραπείην παιδεύοντά με:

Καὶ πνεῦμα ἐκ τῆς συνέσεως ἀποκρίνεταί μοι· μὴ ταῦτα ἔγνως ἀπὸ τοῦ ἔτι· ἀφ᾽ οὗ ἐτέθη ἄνθρωπος ἐπὶ τῆς γῆς· εὐφροσύνη γὰρ ἀσεβῶν, πτῶμα ἐξαίσιον· χαρμονὴ δὲ παρανόμων ἀπώλεια: λθ

:: ※ :: ※ σ̄ ἀπ᾽ αἰῶνος :: σ̄ ὅτι εὐθηνία ἀσεβῶν ἐπ᾽ ὀλίγων. ::: ἄ καὶ εὐφροσύνη ὑποκρίτου ἕως ἀθρόου: Πολυχρονίου:

Ἐπιλελογισμένως φησὶ καὶ ἀκριβῶς τῶν σκανδάλων ἐξηλακὼς τὴν φύσιν ἐφθέγξω. ἐντραπεὶς αὐτῶν ἐγὼ μᾶλλον τὴν δυσκολογίαν ἐσίγησα. ἄτοπον εἶναι κρίνω θ

πρὸς ζωτικοὺς λόγους ἔτι ῥῆξαι φωνήν· ἐπειδὴ ἀκρίτως μὲν
ἤκουσας ἐπὶ συνήθειαν διέβαλες, ἄνω δὲ καὶ κάτω στρέφων τὰ συ-
μβάντα, οἷα δικαίως ἐπισχεθέντα· ὑπόπτευσον τῶν λεγομένων
τὴν ἀλήθειαν. Ὀλυμπιοδώρου:

μ̄ Μὴ ὡς αὐτός φησι λέγεις· ἴσως ἀπῳδὰ ἀδίκως τιμωρηθῆ-
ναι παρὰ θεοῦ· τὸ δὲ ἀπὸ τοῦ ἔτι ὁ σύμμαχος ἀπ' αἰῶνος
ἐκδέδωκεν: Τοῦ ἁγίου Ἰω(άννου):

ς Μὴ γὰρ καινόν γέγονε φησὶν ἀφ' οὗ ὁ κόσμος ἐγένετο καὶ γίνεται
οὐδὲν παράδοξον, οὐδεμία καινοτομία οὐδὲ ἐν ἀγάπῃ:

μᾱ Ὀλυμπιοδώρου: Ὅσῳ φησὶν ὑπὲρ πλειόνων δωρεῶν
ἀχάριστοι πρὸς θεὸν γίνονται οἱ ἀσεβεῖς, τοσοῦτον χαλεπω-
τέραν τὴν δίκην ὑφέξουσιν: Τοῦ ἁγίου Ἰω(άννου):

μα Εἶδε ἡ εὐφροσύνη αὐτῶν πτῶμα ἐξαίσιον καὶ ἡ χαρμονὴ
αὐτῶν ἀπώλεια, ποῦ τὴν ἀπώλειαν ὑπέσχου εἰπέ μοι·
ποῦ τὴν ὀδύνην καὶ τὴν ἀθυμίαν: Πολυχρονίου:

μα Εὔδηλον φησὶν ὅτι εἰ καὶ πρὸ βραχὺ συνέβη τοὺς παρανό-
μους ἐν εὐθυμίᾳ διάγειν· ἀλλ' ὅμως χαλεπωτέραν ὕ-
στερον τὴν δίκην ὑπέστησαν, ὅσῳ καὶ ὑπὲρ πλειόνων ἀ-
χάριστοι πρὸς θεὸν περιφανῶσιν: Τοῦ αὐτοῦ:

λ Ὀλάβιου φησὶν ἕξουσιν οἱ παράνομοι τῶν προσόντων
ἀγαθῶν τὴν ἀπόλαυσιν. σαφέστερον δὲ αὐτὸ ὁ ἑβραῖος
λέγει· ἡ γὰρ ἀγαλλίασις φησὶ τῶν ἀσεβῶν βραχύ, καὶ
ἡ χαρμοσύνη αὐτῶν πρὸς ῥοπήν:

› Ἐὰν ἀναβῇ (μβ̄) εἰς οὐρανὸν αὐτοῦ τὰ δῶρα, ἡ δὲ θυσία αὐτοῦ

› νεφῶν ἅψηται· ὅταν γὰρ δοκῇ ἤδη ἐστηρίχθαι· τότε εἰς τέλος
› ἀπολεῖται· οἱ δὲ εἰδότες αὐτὸν ἐροῦσι· ποῦ ἐστιν· ὥσπερ ἐ-
› νύπνιον ἐκπετασθὲν οὐ μὴ εὑρεθῇ:

:: ὡς αὐτὸς νομίζει. λ θ σ ἔπαρμα αὐτοῦ :: οἱ δ
καὶ κεφαλὴ αὐτοῦ: Ὀλυμπιοδώρου:

μη ἢ γὰρ φησὶ τὰς θυσίας εἴπῃς, αἷς τιμᾶν τὸ θεῖον ἐνόμιζες· ὁ γὰρ παράνομος ἐὰν οὐρανομήκεις δωροφορείας προσαγάγῃ, καὶ ἐὰν δόξωσιν αἱ θυσίαι αὐτοῦ τῶν νεφελῶν ἅπτεσθαι, καὶ δόξῃ τὰ ἄρρητα ἐν βεβαίῳ ἔχειν τοῦ μὴ προσιεμένου τὰς ἐξ ἀδικίας καὶ [illegible] εἰς τέλος ἀπόλλυται· οὐ δὲ ἐκ τῶν ἐμῶν πλείστων θυσιῶν ὠφεληθείς· οὐ γὰρ τὸ πρόσχημα τῆς εὐσεβείας αἰδεῖται θεός, ἀλλ᾽ ὑπὲρ τῆς πλεονεξίας τὴν δίκην εἰσπράττεται· καὶ ὁ παρὰ πᾶσιν εὐσεβὴς νομιζόμενος πρότερον, κολασθεὶς ἐλέγχεται μόνον ἐπὶ σκηνῆς ἔχων τὴν εὐσέβειαν· ὡς γὰρ οἱ κατ᾽ ὄναρ πλουτοῦντες οὐκ ἀποφέρουσι τὴν κτῆσιν ἐγερθέντες τοῦ ὕπνου· οὕτως οὐδὲ τοῖς παρανόμοις βεβαία τῶν ἀγαθῶν ἡ ἀπόλαυσις: μβ

Ὠριγένους: Τοῦ ἀσεβοῦς ἐὰν ἀναβῇ τὰ δῶρα εἰς τὸν οὐρανόν, ἐὰν πάνυ ὑψωθῇ· ἐὰν ἡ θυσία αὐτοῦ νεφῶν ἅψηται· ὅταν εὔξηται ὁ αἱρετικός· ὅταν ἡ θυσία αὐτοῦ ἀναβ ψηλοῦ· ὅταν δοκῇ κατεστηρίχθαι· τότε εἰς τέλος ἀπολεῖται· ἡ γὰρ εὐχὴ αὐτοῦ λογίζεται αὐτῷ εἰς ἁμαρτίαν· καὶ ἔστιν ἡ εὐχὴ αὐτοῦ ἁμαρτία:

Ὅμοιον δὲ οἱ δὲ ἐχθροί·

τοῦ κυρίου ἅμα τοῦ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον: Ὠριγένους:

Τίνες οἱ εἰσδόλες αὐτόν, οἱ ἐκκλησιαστικοί. οἱ εἰσδόλες ἐκείνων τὰ σχήματα ἐροῦμεν ποῦ ἐστίν: τοῦ αὐτοῦ:

Οἱ τοιοῦτοι ἐνυπνιαζόμενοι καὶ ἀναπλάσαντες φαντάσματα, οὐ τῇ ἀληθείᾳ τὴν διάνοιαν ἐπερείδουσι σφαλλόμενοι. καὶ γίνονται ὥσπερ ἐνύπνιον ἐκπετασθὲν ὃ οὐ μὴ εὑρεθῇ: τοῦ ἁγίου Ἰω: Τουτέστιν ἀθρόως ἡ ἀπώλεια γίνεται, ἵνα μὴ νομίζῃς κατὰ φυσικὴν ἀκολουθίαν τὴν συμφορὰν εἶναι. ἀλλὰ κατὰ θείαν τινὰ [illegible] καὶ παράδοξον, μή μοι λέγε ἀνομίας μόνον, ἀλλὰ κἂν θυσίας προσενέγκωσιν, οὐδὲν ὄφελος:

Εἶδον δὲ ὥσπερ φάσμα νυκτερινόν. ὁ ὀφθαλμὸς παρέβλεψε καὶ οὐ προσθήσει. καὶ οὐκέτι προνοήσει αὐτὸν ὁ τόπος αὐτοῦ. τοὺς υἱοὺς αὐτοῦ θλάσειαν ἂν ἥττονες. αἱ δὲ χεῖρες αὐτοῦ ὀδύνας: ∴ καὶ παρῆλθον καὶ ἰδοὺ οὐκ ἦν ∴ ᾱ ἐπιστρέψουσιν. ε̄ ἐποίησαν:

Ὀλυμπιοδώρου: Ὁ ἅπαξ φησὶν ἑωρακὼς τὸν ἀσεβῆ, οὐκέτι βλέπει. σημαίνει δὲ διὰ τούτου τὴν ταχεῖαν 61
ἀπώλειαν. ἀλλὰ μὴν οὐδὲ μνημόσυνον αὐτοῦ περιληφθήσεται φησίν: Πολυχρονίου:

Ἐν ὅσῳ φησὶ νομίζεται εὐθηνεῖσθαι ἀπόλλυται:

τοῦ αὐτοῦ: Οὐκέτι τουτέστιν οὐδὲ μνημόσυνον αὐτοῦ περιληφθήσεται: Ὀλυμπιοδώρου:

Ὅτι μὴ τελείως εὐσεβικῆς ὑπῆρξεν ἀσεβείας· σπέρμα γὰρ ἀ-σεβῶν ἐξολοθρευθήσεται: Ὠριγένους: μα

Τοὺς υἱοὺς καὶ μαθητὰς τοὺς ταῦτα πράξαντος:

Τοῦ ἁγίου Ἰω(άννου): Καὶ ἀπὸ τούτου δηλοῦται ὅτι χα-λεπός ἐστιν ἡ πληγή, ὅτι οἱ χείρους κρατοῦσι τῶν μειζόνων· καὶ περιγίνονται τῶν ἐχόντων ἰσχὺν τῶν ἀπερριμμένων: μα

Πολυχρονίου: Καὶ οἱ πενέστεροι φησὶν ὑπο-δεέστεροι, τῶν τοῦ παρανόμου παίδων καθέξουσιν: μα

Ὠριγένους: Αἱ χεῖρες αὐτοῦ χεῖρες φησὶ τουτέ-στιν αἱ πράξεις ἐξάψουσιν αὐτῷ κόλασιν: με

Τοῦ αὐτοῦ: Τοῦ ἀσεβοῦς τούτου καὶ ἐσφαγ-μένου, οὗ ἡ προσευχὴ λογίζεται εἰς ἁμαρτίαν, οὗ ἡ θυ-σία ἐὰν ἀναβῇ εἰς τὸν οὐρανόν, καὶ νεφῶν ἅψηται, τότε εἰς τέλος ἀπόλλυται. τούτου αἱ χεῖρες ὀδύνας πυρσεύ-σουσιν: Πολυχρονίου: Τουτέστι καὶ με

ἐν ὀδύναις ἐσχάταις διάξουσι· λέγει δὲ περὶ τῶν υἱῶν τοῦ παρανόμου:

[μβ] Ὀστᾶ αὐτοῦ ἐνεπλήσθησαν νεότητος αὐτοῦ· καὶ μετ' αὐτοῦ ἐπὶ χώματος κοιμηθήσεται· [μγ] ἐὰν γλυκανθῇ ἐν τῷ στόματι αὐτοῦ κακία· κρύψει αὐτὴν ὑπὸ τὴν γλῶσσαν αὐτοῦ· οὐ φείσεται αὐτῆς καὶ οὐκ ἐγκατα-λείψει αὐτήν: ⁘ ※ ε΄ παραβά-σεως· ⁘ ※ ⁘ ※ ⁘ ※ ⁘ ※

Ὁ δέ φησιν ἀποίσεται κέρδος ἐκ τῆς τρυφῆς τοῦ θανάτου μς

ἀφανίζοντος ἅπαντα· ἢ καὶ οὕτως· οὐδὲ αὐτῷ ἐν τῷ τάφῳ
συγκαταβαίνουσιν, εἰ μὴ αἱ ἄδικοι πράξεις:

μξ Πολυχρονίου: Τί δὲ τῆς τιμωρίας τὸ αἴτιον· ἐλυ-
καίνθη ἐν στόματι αὐτοῦ κακία: Ὀλυμπιοδώρου:

μξ Ἐπειδάν φησιν ἡδύνθη τῇ κακίᾳ, ἐκ προαιρέσεως αὐτὴν
ὑποδεξάμενος· πανούργως λοιπὸν καὶ δολερῶς ἀπάτῃ
διαγγέλλεται καὶ πράττει· ἀφειδῶς αὐτῇ χρώμενος· καὶ
ὥσπερ τινὶ τρυφῇ γλυκεῖα ἐφηδόμενος· ἐν δὲ τῷ καιρῷ
καθ' ὃν ὑπομένει τὰς τιμωρίας, οὐδὲν ἐπαμύνει τῷ φαύλῳ
ἡ κακία σιωπήσασα· ἀναρπαζομένων αὐτῷ τῶν ἐντὸς
ὡς ὑπὸ τοῦ ὄφεως· ἀλλὰ καὶ ἄγγελος τίς φησι τῶν εἰς τι-
μωρίαν τεταγμένων, πάντων αὐτὸν ἐξώσει τῶν ἀ-
γαθῶν· ἀπὸ γὰρ τῆς οἰκίας τὸ πᾶν ἐσήμανεν:–

μξ Πολυχρονίου: Ἤ πολλοῖς φησὶ ταῖς καθ' ἑτέρων σκευ-
σκευαῖς καὶ βαρύτερον οὐκέτι δήλου φησὶ τὴν κακίαν,
ἀλλὰ κατὰ τὸ τελικῶς τῶν σκευῶν ἐξηγάζετο:

ϟ Τοῦ αὐτοῦ: Τουτέστιν οὐ μελετηρίως ὥσπερ οὐ-
τω πονηρευόμενον· ἀλλ' εἰς ἔργον εἶχε τὰ δὲ βουλεύματα:
, ⊙ καὶ συνέξει αὐτὴν ἐν μέσῳ τοῦ φάρυγγος αὐτοῦ, καὶ οὐ μὴ
, δυνηθῇ βοηθῆσαι αὐτῷ· χολὴ ἀσπίδος ἐν γαστρὶ αὐτοῦ.
, πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται· ἐξ οἰ-
, κίας αὐτοῦ ἐξελκύσαι αὐτὸν ἄγγελος:

⁖ ✳ ⁘ θ ✳ ⁙ τουτέστι μετ' ὀδύνης ἐκχυ-
θήσεται ⁙ οἱ γὰρ ἐν γαστρὶ θανάτου:

Πολυχρονίου: Καὶ πικρῶς φησὶ κατασκευά-
ζων τῶν καθ' ἑτέρων βλάβην οὕτως ἐνεχείρει τὴν πρᾶξιν:
Τοῦ αὐτοῦ: Σημαίνει ὅτι οὐ μόνον ἡ καθ' ἑτέρων
σκευὴ οὐκ ὀνίνησί τι· ἀλλ' ἐκ τῶν ἐναντίων καὶ τιμωρίας
πρόξενος γίνεται: Ὠριγένους: Ἔχει γὰρ καὶ πό-
ματα ἃ οὐκ ἔστι γλυκέα· ἀλλὰ χολῆς ἄποτος οἷον ἡ ἀπὸ τῆς,
ἢ ἀπὸ τοῦ οἴνου τῆς διδασκαλίας αὐτῶν. ἐκ γὰρ ἀμπέλου
Σοδόμων ἡ ἄμπελος αὐτῶν καὶ τὰ ἑξῆς: Καὶ μετ' ὀ-
λίγα: Χολὴ δὲ ἄποτος ἐν γαστρὶ τοῦ ἑτεροδό-
ξου καὶ ἀσεβοῦντος ἐν τοῖς δόγμασι τοῖς ἐναντίοις τῇ ἀ-
ληθείᾳ: Πολυχρονίου: Ὥσπερ γὰρ ἡ ἀσ-
πίς φησι πεπλήρωται ἰοῦ, καὶ ἐξεμεῖ τῆς γαστρὸς ὅταν
ἂν βουληθῇ, οὕτω καὶ οὗτοι τοῦ κατὰ τοῦ πλησίον
φθόνον ἑτοίμως ἐκ τῆς προλαβούσης σκευωρίας
ἐξερεύξεται. ὁ Εὐσέβιος δὲ οὕτως· καὶ ἐπλήσθη ἰὸς ἀ-
σπίδων ἐν ἐγκάτοις αὐτοῦ: Ὠριγένους:
Τίς γὰρ ἄλλος ἀδίκως πλοῦτον συνάγεται, ἢ ἐκεῖνος ὁ
ἐν τοῖς λόγοις αὐτῶν. ἀδίκως γὰρ συνάγεται· ἀλ-
λ' ὁ ἄγγελος γὰρ οὐκ ἐάσει αὐτοὺς πεπωκότας· πλοῦ-
τον ἀδίκως συναγόμενον ἔχειν ἀεὶ αὐτὸν ἐν ἑαυτοῖς·
ποιήσει γὰρ αὐτοὺς ἐξεμέσαι: Τοῦ ἁγίου Ἰω(άννου):
Κἂν οὕτως αὐτόν φησιν ἐν ἀσφαλείᾳ ἔχῃ ὡς πᾶς ἐν κοι-
λίᾳ ταχέως αὐτὸν ἀποβάλῃ μετ' ὀδύνης. τοῦτο γάρ ἐστιν
ἐξεμεσθήσεται. τοῦτο συμβαίνει τοῖς πλουσίοις:

Πολυχρονίου : Πάντα μὲν ὁ ἀσεβὴς πράττει, ὥστε τὰ
ἐπιτήδεια λαβεῖν, καὶ πρὸς τοῦτον βλέπει τὸν σκοπὸν τὰ γινό-
μενα· ἐπειδὰν δὲ ἐγκαλῆς τῶν ὅλων εἶναι δόξῃ, τὸ αὐτὸν
εἰς ἑτέρους μεταφερόμενον ὄψεται : Τουτέστι με-
τὰ πῶς συγχωρηθήσεται : Ὠριγένους :
Ἄγγελος γὰρ καὶ ἐξ εὐεργεσίαν θεοῦ ἐξελκύσει αὐτὸν ἀπὸ αὐτῆς
τῆς κακῶς οἰκοδομηθείσης, ἥτις ἐστὶν συνηθεία πονηρευομένων·
αὕτη γὰρ οἰκία αὐτοῦ· διὰ ἄγγελος ἐξελκύσει αὐτὸν ἐξ οἰ-
κίας αὐτοῦ : Πολυχρονίου :
ϑϑ Ταῦτα δὲ αὐτοῦ συμβήσεται τοῦ θεοῦ τιμωρουμένου καὶ
τῶν κληθέντων ἀπολειπομένων :
Θυμὸν δὲ δρακόντων θηλάσειεν· ἀνελεῖ δὲ αὐτὸν γλῶσσα
ὄφεως· μὴ ἴδοι ἄμελξιν νομάδων· μηδὲ νομὰς μέλιτος
καὶ βουτύρου, εἰς κενὰ καὶ μάταια ἐκοπίασεν· πλοῦτον
ἐξ οὗ οὐ γεύσεται :
:: οἱ γ´ χολὴν ἀσπίδων μυζήσει. ἐκ τῆς ἰδίας κακίας
ἀναλωθήσεται. :: ς ῥεῖθρα : Ὀλυμπιοδώρου :
κη Διὰ μὲν τοῦ θυμοῦ τῶν δρακόντων τὸν ἰὸν σημαίνει, καὶ
δὲ ἔφη θηλάσειεν· ἵνα εἴπῃ ὅτι προαιρετικῶς, καὶ καθ᾽ ἡ-
δονὴν ὥσπερ τι γάλα τῆς κακίας τὸν θανατηφόρον τὸν
ἀμέλγων· ποιοῦνται μὲν καὶ αὐτήν· ὑπὸ δὲ αὐτῆς ἀναι-
ρεῖται : Ὠριγένους : Ὅρα ὅσα αὐτῷ
προσήκει τὰ κατὰ ἀσεβῆ δόγματα· διὰ τοῦτο προσέ-
χωμεν ἑαυτοῖς μήποτε ἐν ταῖς θεολογίαις οὐ ληφθῶμεν

ἀπὸ αἱρετικῆς διδασκαλίας· καὶ ἐκπέσωμεν τοῦ μὴ στερεῖσθαι
τῆς ἐκκλησίας :· Πολυχρονίου: Ἀντὶ τοῦ
ἃ ἑτέρους βλαβῆναι ἐσπούδασε πείσεται:·
Γλῶσσα ὄφεως ἐστὶν ἤγουν πονηροῦ λαλοῦντος τὰ ἐναντία:
Ὀλυμπιοδώρου: Ἀντὶ τοῦ ὁ ἐξ ἁρπαγῆς πλουτεῖν
οἰόμενος, οὐκ ἀπολαύσει τῶν κλαπέντων· ἐκ γὰρ τῶν κει-
μένων ὑποδειγμάτων τὴν [illegible] σημαίνει· ἀλλ' ἔσται
αὐτῷ τὰ τῶν ματαίων κτημάτων, ὥσπερ στρίφνος· στρί-
φνος δέ ἐστι, τὸ νευρῶδες κρέας τῶν βοῶν· ἔστι δὲ καὶ βο-
τάνη ἄβρωτος· τουτέστι δὲ ἀκατάποτος· ἐπειδὴ καὶ ἀμά-
σητος· λέγει οὖν ὅτι οὐ πέμψει τὰ ἀγαθά, οὐδὲ μὴ εἰς
τελείαν ἀπόλαυσιν αὐτῶν ἔλθοι:· Ὠριγένους:
Ἑτερόδοξος οὐ βλέπει ἄμελξιν νομάδων, νομάδες δέ εἰσι,
τινὲς ψυχαὶ νεμόμεναι ὑπὸ τῷ καλῷ ποιμένι τῷ εἰπόντι ἐγώ
εἰμι ἡ θύρα δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰ-
σελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει:
Πολυχρονίου: Τουτέστιν ὁ ἐξ ἁρπαγῆς πλου-
τεῖν οἰόμενος, οὐκ ἀπολαύσει τῶν κλαπέντων τοῦ θεοῦ
διὰ τῆς τιμωρίας ἀφαιρουμένου τῶν προσόντων τὴν κτῆ-
σιν:· Τοῦ αὐτοῦ: Μὴ θαύμαζε εἰ τὰ σὰ
σοι ἐκποδὼν κατέστη· τὰ γὰρ ἐξ ἁρπαγῆς σοι κτηθέντα·
ταῦτα δικαίως ἀφείλετο θεός: Τοῦ αὐτοῦ:
Συλλόγησαι φησὶν ἐκ τῶν ῥηθέντων ὡς ἀνοήτως περὶ
τοῦ πλούτου συλλογὴν ἐσπούδαζεν: Τοῦ αὐτοῦ:

Οὐδεμίαν οὖν ἀπόλαυσιν ἕξει τῶν συλλεγέντων:

Ὥσπερ πρίονος ἀμάσητος ἀκατάσχετος· πολλῶν γὰρ ἀδυνάτων οἴκους ἔθλασεν. δίαιταν δὲ ἥρπασε καὶ οὐκ ἔστησεν. οὐκ ἔστιν αὐτοῦ σωτηρία τοῖς ὑπάρχουσιν. ἐν ἐπιθυμίᾳ αὐτοῦ οὐ σωθήσεται: :: ὁ οἰκίαν ἥρπασε καὶ οὐκ ἀνοικοδομήσει αὐτήν. :: ὁ σχὼν ἃ ἐπεθύμει οὐ διασώσει. Ὠριγένους:

Οἱ λόγοι καὶ τὰ δόγματα στειφρὰ καὶ πυκνά, οὐδὲν ἔχει πλὴν ἐκεῖνα τὰ κατὰ πτωχοῦ γινόμενα: Πολυχρονίου:

Στειφρὸς βαλάνη τίς ἐστιν ἐπεσχημένη δυναμένη τῶν γλωσσῶν τοῦ μασωμένου. ὥσπερ οὖν φησὶ τὴν βαλάνην ἐκείνην καὶ ἄγαν τις φιλονικήσειε διαλεαίνας τοῖς ὀδοῦσιν καταπιεῖν οὐ δύναται. οὕτω καὶ τῶν ἀποτελεσμάτων ἀπολαύειν ἐθέλων οὐδὲ τῶν πόνων ἀποίσεται τὸ ἦθος.

Ὀλυμπιοδώρου: Ὥσπερ φησὶν αὐτὸς τὰ τῶν ἀδυνάτων ἥρπασε καὶ οὐ κατέστησεν, οὕτως οὐδὲ τὰ αὐτοῦ διασωθήσεται: Ὠριγένους:

Ἐάν που εὕρῃ ἀδύνατον ἐν τῇ πίστει, ἀσθενεῖ ἐν τῇ ὑγιεῖ διδασκαλίᾳ, τοῦτον ὑποσυλᾷ. καὶ ἔστιν ἀληθῶς πᾶν τοῦ διδασκάλου τῶν ἑτεροδόξων, ὅτι πολλῶν ἀδυνάτων οἴκους ἔθλασε: Τοῦ αὐτοῦ: Ἁρπάζει μὲν δίαιταν τοῦ ἐξαπατηλοῦ, καὶ μετὰ ταῦτα οὐχ ἵστησιν αὐτήν. οὐδὲ γὰρ δύναται στῆσαι τὸ ψεῦδος: Πολυχρονίου:

Καὶ ἃ ἑτέρους φησὶ διατέθηκε ταῦτα πείσεται:

Ὠριγένους: Τὰ ὑπάρχοντα αὐτοῦ σωτηρίαν ιε
αὐτῷ περιποιῆσαι οὐ δύναται. Ἄλλως:
Πᾶσα δὲ ἀνάγκη τε αὐτὸν ἐπελεύσεται καὶ ἀποστελεῖ ἐ-
π' αὐτὸν θυμὸν ὀργῆς. Πολυχρονίου:
Ταύτης φησὶν ἕνεκα τῆς αἰτίας, ἅπερ τὰ κτηθέντα ιϛ
καὶ εἰς προγόνους οὐ παραπέμψει: Ὀλυμπιοδώρου:
Οὐ νασώσει φησὶν αὐτὸν ἡ ἄδικος ἐπιθυμία· ἀλλ' οὐδὲ ἕξει να
καταλελειμμένα βρώματα ὑπὸ τῆς ἄγαν πενίας:
Πολυχρονίου: Ἐπιθυμήσας φησὶ τῶν ἀλλοτρίων
καὶ λαβὼν αὐτά, οὐδὲν ἕξει κέρδος:
Οὐκ ἔστιν ὑπόλειμμα τοῖς βρώμασιν αὐτοῦ· διὰ τοῦτο οὐ-
κ ἀνθήσει αὐτοῦ τὰ ἀγαθά· ὅταν δὲ δοκῇ, ἤδη πεπλη-
ρῶσθαι θλιβήσεται· πᾶσα δὲ ἀνάγκη, ἐπ' αὐτὸν ἐπε-
λεύσεται· εἴπως πληρώσαι γαστέρα αὐτοῦ· ἐπαποστείλαι
ἐπ' αὐτὸν θυμὸν ὀργῆς· νίψαι ἐπ' αὐτὸν ὀδύνας:
:: ※ ε' οὐ καταλείπεται ἐν αὐτῆς τροφῆς αὐτοῦ:
:: θ' ※ λε' ῥη αὐτοῦ ὅπως. :: ✝ ἐπιβρέξει:
Πολυχρονίου: Οὕτω τὰ πάντα φησὶ καθέξει ζ
ἀπώλεια· ὥστε μηδὲ περιλειφθῆναι τι τῶν κτηθέντων:
Ὀλυμπιοδώρου: Ἴσως μὲν οὖν οὐδὲ ἕξει ἀνθῆσαι νβ
αὐτοῦ τὰ ἀγαθά· ἀλλ' ὁμοῦ τῷ ἄνθει μαρανθήσεται.
Εἰ δὲ καὶ δόξει πλήρης εἶναι, καὶ πᾶσι κομᾷν τοῖς ἀ-
γαθοῖς, τότε πᾶσα αὐτὸν ἀνάγκη, καὶ θλίψεις κατα-
λήψεται, ὥστε πληρῶσαι αὐτοῦ τὴν γαστέρα ὀδυνῶν.

ὃ ἐπὶ τὴν ψυχήν: Ὠριγένους:

νβ Ἀ δοκεῖ ἀγαθὰ ποιεῖν οὐκ ἀνυθήσει· ὅταν δοκῇ ἤδη περιπε-ρῶσθαι θλιβήσεται: Πολυχρονίου:

Καὶ ὅταν φησὶν ἐν ἀφθόνοις εἶναι δόξῃ, τότε τὴν ἐσχάτην ὑποστήσεται ἔνδειαν: Ὠριγένους:

Ταῦτα προλέγει ὁ θεὸς ἡμῖν, ἵνα ἀφιστώμεθα τῶν ἀγο-λείων: Ὀλυμπιοδώρου: Δῆλον ὅτι θεός:

νγ Πολυχρονίου: Ταῦτα φησὶν ὑποστήσεται ὁ ἀ-σεβής, τοῦ θεοῦ ὀργίλως τῷ κατ' αὐτοῦ πέμποντος πληγήν:

νδ Ἰουλιανοῦ: Πάντα φησὶν ἡ κτίσις ἐχθραίνει

νδ τῷ θεοστυγεῖ: Ὠριγένους: Ἀντὶ νιφετοῦ ὁ-πῶσαι ἔρχονται ἐπὶ τὸν τοιοῦτον:

, νε Καὶ οὐ μὴ σωθῇ ἐκ χειρὸς σιδήρου· τρώσαι αὐτὸν τόξον
, χάλκειον. διεξέλθοι δὲ διὰ σώματος αὐτοῦ βέλος· ἄ-
, νς στρα δὲ ἐν διαίταις αὐτοῦ περιπατήσαισαν· ἐπ' αὐτῷ
, φόβοι· νζ πᾶν δὲ σκότος αὐτῷ ὑπομείναι:

∴ ἄλλ(ος) θ(εοδοτίων) ἀσεκτον· ∴ ἄ θ ἀποκείμενος ὑπ' αὐτοῖς ἐγκε-κρυμμένοις αὐτοῦ: Ὀλυμπιοδώρου:

νε Ἐκ μεταφορᾶς τῶν ἐν πολέμοις καιρίας λαβόντων πληγάς, ταῦτ' ἔφη, σημαίνων τὴν τοῦ θεοῦ κατὰ τῶν ἀσεβῶν τιμω-ρίαν ἰσχυράν: Ὠριγένους:

νε Σίδηρον οὐ λέγει τοῦτον αἰσθητόν, ἀλλὰ τὸν πνευματικὸν λόγον: Πολυχρονίου: Ἐκεῖνος φησὶ τοῦ θεοῦ τιμωρουμένου διαφύγῃ: Τοῦ αὐτοῦ:

τουτέστιν ὡς ὑπὸ βέλους τὸ σῶμα διαπερονηθεὶς σφοδρῶς
διαπεμφθέντος, οὕτως ὁ ἀσεβὴς τιμωρηθήσεται, τῇ
μεταφορᾷ ἐναργῶς τὸ προκείμενον παραστήσας:
ὠριγένους: τὰ βέλη ταῦτα τὰ [illegible] νζ
τιτρώσκει αὐτόν· ὀλυμπιοδώρου:
Ἄστρα ἀντὶ τοῦ ἄστρα μὴ περιπατήσαισαν ἔχει· ἵνα εἴπῃ, νς
ὅτι οὐδεμία αὐτῷ λαμπρότης ὑπολειφθήσεται· κατὰ
δὲ τὸ περιπατήσαισαν· ἀντὶ τοῦ φοβερὰ αὐτὸν ἐν-
σημαίνωσι φάσματα: ἄλλως: Οἱ δίκαιοι
καταπατήσουσι πλοῦτον αὐτοῦ: Ἰουλιανοῦ:
Ἤτοι σκηνοὺς λέγει, ἢ τὸ ἠρημῶσθαι τὰς οἰκίας, καὶ νς
καταστράπτειν ἐν αὐταῖς τοὺς ἀστέρας, τῶν ὀρόφων ὄντων
ἀνακεκαλυμμένων: ὠριγένους:
Ἐν ἀγνοίᾳ γάρ εἰσιν· ἐξέβαλον γὰρ τὸ φῶς ἀφ' ἑαυτῶν, νς
οἷς ἔλεγεν· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, οὐκ ἠθέλη-
σαν τὸ φῶς παραδέξασθαι: ὀλυμπιοδώρου:
Σκότος ἐκδέχεται φησὶ τὸν ἀσεβῆ, καὶ καταναλώσει νξ
αὐτὸν πῦρ ἄκαυστον, ἢ τὸ κατὰ συνείδησιν, ἢ καὶ
τὸ ἀποκείμενον ἐν τῷ μέλλοντι: πολυχρονίου:
ἀντὶ τοῦ διαδέξεται αὐτὸν μετὰ τὴν πληγὴν θάνατος: νξ
ψ Κατέδεται αὐτὸν πῦρ ἄκαυστον· νη κακώσαι δὲ αὐτοῦ ἐπή-
λυτος τὸν οἶκον· νθ ἀνακαλύψαι δὲ αὐτοῦ ὁ οὐρανὸς τὰς
ἀνομίας· γῆ δὲ ἐπανασταίη αὐτῷ· ξ ἑλκύσαι τὸν
οἶκον αὐτοῦ ἀπώλεια εἰς τέλος:

∴ ὁ πυρετός· ἄ θ μὴ φυσηθέν. σ ἄνευ φυσήματος:

ψ Ὠριγένους: Μυστήριον τι μανθάνομεν περὶ τῆς κολάσεως τῆς ἀποκειμένης, ἵνα φυλαξώμεθα αὐτὴν παθεῖν. πῦρ εἶπεν ἄκαυστον καταδέξασθαι τὸν ἀσεβῆ. τοῦτο παρ' ἡμῖν τὸ ὑλικόν, οὐκ ἔστιν ἄκαυστον πῦρ· βλεπόμενον γὰρ αὐτό. ἐκεῖνο δὲ ἀόρατον ἐστὶ τὸ πῦρ, τὸ ἐπὶ τοὺς ἁμαρτωλοὺς ἐρχόμενον. ὃ εἶπον αὐτοὺς καὶ ἐννόησόν μοι τὸν ἐξ ὑπερβολῆς πυρέσσοντα, καὶ ὑπὸ πυρὸς φλεγόμενον. οὐχ εὑρήσεις ὄψει τὸ πῦρ ἐν αὐτῷ. ὑπόκειται δὲ καὶ ἐκκαίει αὐτοῦ τὰ σπλάγχνα· οὕτως ὑπὸ τῶν ἁμαρτημάτων πυρέτων τις ἐκκαίεται: Πολυχρονίου:

ψ Καὶ ὡς ὑπὸ πυρός φησιν ἀναλωθήσεται. ἵνα εἴπῃ οὐδὲ ταφῆς ἀξιοῦται: Ὀλυμπιοδώρου:

νη Ἐπήλυτος, τουτέστιν ἀλλογενής. τοῦτο δὲ εἰς ἔνδειξιν τῆς φαυ ἀλαζονείας παρείληπται: Ὠριγένους:

νη Ὁ πολεμήσας τὸν λαὸν ἐκεῖνον, ἐπήλυτος ἦν καὶ οὐ προσήλυτος· ὃς ἐκάκωσεν αὐτοῦ τὸν οἶκον. καταλύων τὸ νομιζόμενον ἁγίασμα. καὶ τὴν π(όλι)ν ἣν ἔλεγον εἶναι ἁγίαν:

νη Πολυχρονίου: Ἐπήλυτον καλεῖ τὸν ὑπολελειμμένην τοῦ οἴκου. ἀσαφῶς δὲ μετενήνεκται εἰς τὸ ἑλληνικόν. ἵνα οὖν εἴπῃ, ὅτι καὶ μέχρι ἑνὸς χωρήσει ἡ τιμωρία, ὥστε μηδὲ μνημόσυνον αὐτοῦ περιλειφθῆναι:

νθ Τοῦ αὐτοῦ: Ἀντὶ τοῦ καὶ ἐκ γῆς καὶ ἐξ οὐρανοῦ ὑποστήσεται δεινά. ταῦτα δὲ ἔφη. ἐπειδὴ ὁ Ἰὼβ φήσας

ὑπὸ θ(εο)ῦ πεπλῆχθαι, ἐμνημόνευσε καὶ ὡς ὑπὸ τῶν αὐτοῦ
ἠδικημένων, κατασκευάζει οὖν ὅτι πάντα ταῦτα παρὰ τοῦ
ὑπ᾽ αὐτοῦ ἐπινεχθῆναι : Ὠριγένους :

Αὕτη ἡ γῆ ἐπανίσταται ἐκείνῳ τῷ λαῷ : Ὀλυμπιοδώρου : ς

Τουτέστι πανολεθρία φθαρήσεται : Πολυχρονίου : ξ

Πάντα φησὶν ἡ παρὰ θ(εο)ῦ κόλασις ἐπιδραμεῖται, ἡνίκα
ἂν ὁ θ(εὸ)ς καταψηφίσηται τὴν τιμωρίαν :

ξα Ἡμέρα ὀργῆς ἐπέλθοι αὐτῷ. ξβ αὕτη ἡ μερὶς ἀνθρώπου ἀσε-
βοῦς παρὰ κ(υρίο)υ. καὶ κτῆμα ὑπαρχόντων αὐτῷ παρὰ
τοῦ ἐπισκόπου : Ἐξ ἀντιλογίας
ἀπὸ θ(εο)ῦ : καθ᾽ ἣν ἡ θεία καταλοῦ κινεῖται ξα
δίκη : Ὠριγένους : Εἴτε τοῦτο τοῦ
ἐπιπεμπομένης διὰ χ(ριστο)ῦ εἰς θ(εὸ)ν ἠσέβησαν. εἴτε τοῦ
παραδόξου, εἴτε ὅπως πολὺ ἀσεβοῦς αὐτῶν μερὶς
ἐστὶν ἡ δηλουμένη ἐν τοῖς εἰρημένοις : Ὀλυμπιοδώρου :

Ἐπειδὴ κτησάμενος τὰ ἀγαθὰ ὁ ἀσεβής, οὐκ ᾔσθε- ξβ
το τῆς θείας εὐεργεσίας. δίδοται αὐτῷ κτῆμα καὶ
μερὶς τὸ πλήρωμα τῆς ὀργῆς. παρὰ τοῦ τὰ πάντα ἐ-
πισκοποῦντος θ(εο)ῦ : Πολυχρονίου :

Τοῦτον φησὶ τεύξεται ὁ ἀσεβὴς παρὰ θ(εο)ῦ : τοῦ αὐτοῦ : ξβ

Καὶ τὸ πέρας τῆς πολλῆς κρίσεως ἡ τιμωρία :

Ὠριγένους : Μανθάνει τίς ἐπίσκοπος συνα-
πονομάσθη, ὅτι θ(εὸ)ς ἐπίσκοπος εἴρηται. καὶ οἱ ἐ-
πίσκοποι ἐκείνου τὴν εἰκόνα πανταχοῦ φιλο-

-τιμοσύνην, οἱ καλοὶ καὶ ἀγαθοὶ φορεῖν. καὶ ὥσπερ ὁ μιμησάμενος εἰκόνα βασιλικὴν τιμᾶται ἐπὶ τὸ καλῶς αὐτοὺς μιμήσασθαι· τιμᾶται δὲ καὶ ἐπὶ τῷ αὐτὴν κεκοσμηκέναι· οὕτω μακάριος ἐπίσκοπος, ὁ νοήσας τὸν ἀληθινὸν ἐπίσκοπον, καὶ ζηλῶν αὐτόν, καὶ γινόμενος ὡς ἐν αὐτοῖς θεός, ἢ ἔχων ἐπίσκοπον τὸν ποιοῦντα αὐτὸν ἀληθῶς, ἐν Χριστῷ Ἰησοῦ ἐπίσκοπον, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:

+

## + προθεωρία κεφαλαίου, ιε

+

Οἱ φίλοι τοῦ Ἰὼβ ἐλθόντες ἐπὶ παράκλησιν, καὶ τῶν ἀνηκέστων συμφορῶν ἐπόπται γενόμενοι· ὡς μὲν εὐσεβοῦς οὐδὲν ἄτοπον περὶ αὐτοῦ ἐλογίζοντο· ἀγνοοῦντες δὲ

ὡς πέρα τῆς καὶ βάσανος ἀξίας ἡ πληγή. ἄμεινον τὸ κρῖναι καταδικάζειν μὲν τὸν Ἰώβ, ὡς ἐφ' ἁμαρτίαις παθόντα· δίκαιον δὲ τὸν θεὸν ἀποφῆναι ὡς οὐκ ἀδίκως αὐτὸν τιμωρησάμενον. ὁ δὲ ἀνδρειότατος Ἰώβ, οὐδὲ οὕτως μὲν ἀδικοῦντι περὶ θεοῦ ἐλογίζετο· οὐδὲ ἀπεμφαίνουσαν εἴληφε δόξαν· περὶ τῆς πάντα καλῶς καὶ δικαίως διεπούσης προνοίας τοῦ θεοῦ· οὐδὲν δὲ ἑαυτῷ συνειδὼς τῆς τηλικαύτης τιμωρίας ἐπάξιον, οὐκ ἀνέχεται τῆς ἀδίκου τῶν φίλων καταγνώσεως. πολλῶν δὲ περὶ τούτου γενομένων αὐτοῖς διαλέξεων, καὶ νῦν τοῦ σωφάρ ἐπ' ἀσεβείᾳ πάλιν αὐτοῦ καταδικάσαντος. φησὶ πρὸς αὐτούς. ἀκούσατέ μου τῶν λόγων, ἵνα γνῶτε ὡς οὐ παρακλητικὸν προσηνέγκατε λόγον, ἀλλ' ἐσφαλμένως καὶ κατ' ἄγνοιαν προφάσεις προσφέρετε. διελέγχων δὲ τὴν ἄγνοιαν προβληματικῶς φησὶ πρὸς αὐτούς εἰ οἴδατε τῆς προνοίας τοὺς λόγους. ἀποκρίνασθέ μοι διατί ἀσεβεῖς εὐθηνοῦνται. καὶ πανταχόθεν αὐτοῖς ἀφθόνως ἐπιρρεῖ τὰ ἀγαθά, καὶ ἐν εὐπαθείᾳ διάγουσι, ὑπέρογκα φθεγγόμενοι ῥήματα. πλὴν ἀλλὰ καὶ αὐτῶν ἡ εὐημερία μεταπίπτει. πῶς δὲ καὶ ὁ μέν τις ἐν πλούτῳ καὶ πάσῃ τῇ παρ' αὐτοῖς τελευτᾷ τὸν βίον. ὁ δὲ ἐν πικρίᾳ ψυχῆς οὐδενὸς τῶν ἐν βίῳ μεταλαχὼν ἀγαθῶν. εἶτα διὰ μέσου παρενέθηκε· πότερον οὐχὶ ὁ κύριός ἐστιν, ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην, δεικνὺς ὡς ἀνέφικτα καὶ ἀκατάληπτα τὰ τοῦ θεοῦ κρίματα.

καὶ οὐ πάντες ἦσαν γνώριμοι· τῆς πάντα καλῶς διοικούσης προνοίας οἱ λόγοι:

†

† ἑβδόμη τοῦ Ἰὼβ πρὸς τοὺς φίλους διάλεξις:

κε ιε·

†

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει· ἀκούσατε ἀκούσατέ μου τῶν λόγων· ἵνα μὴ ᾖ μοι παρ' ὑμῶν αὕτη ἡ παράκλησις· ἄρατέ με ἐγὼ δὲ λαλήσω· εἶτ' οὐ καταγελάσετέ με· τί γάρ; μὴ ἀνθρώπου μου ἡ ἔλεγξις:

:: ε καὶ γνώσεσθε τοῦτο μετὰ βουλεύματα ὑμῶν·

:: θ ὑπενέγκατε. ε ἀνάσχεσθε· :: ε καὶ κ

τοὺς λόγους μου ἐπόσεται: Ὀλυμπιοδώρου:

ξγ Δέξασθε φησὶ λέγοντά με, ὡς ἂν γνῶτε μὴ παρακλήσει τῆς ἀγνοίας αἴροντες λόγους, ὡς πρὸς ἀπαθεῖς μὲν ἀποκινδύνως λέγει· ἐπειδὴ καὶ μίαν περὶ τῶν λεγομένων εἶχον τὴν γνώμην· ὁ δὲ διπλασιασμὸς τῆς ψυχῆς τὴν ἀθυμίαν ἐμφαίνει: Τοῦ ἁγίου Ἰω:

ξγ Τουτέστιν ἵνα μάθητε ὅτι οὐ δεῖ παρακαλοῦμαι παρ' ὑμῶν· ὅτι οὐχ οὕτως ἔχει ταῦτα: Ὀλυμπιοδώρου:

δέξασθε

ἐξᾶσθε φησὶ λέγοντα καὶ μέ, ὡς ἂν γνῶτε μὴ παρακλή- ξστ. ^ ἀσάλευτον κεκρατήκατε, ὅτι καὶ οὐ καὶ γελάσετέ μου. οἶδα τὰ λεγόμενα:

σεως, ἀλλ' ἀγνοίας ἀφέντες λόγους: ^ διδύμου:

ἀντὶ τοῦ ἐνέγκατέ μου τοὺς λόγους· βαστάξατέ με λέγοντα, λογιζόμενοι ὅτι οὐχ ὑβριστικῶς χρῶμαι τῷ ἐλέγχῳ, ἀλλὰ πρὸς ἐπίστασιν: τοῦ αὐτοῦ: ξζ

Ἔγωγε ἐπισπεύδετε τοῖς παρ' ἐμοῦ λεγομένοις, καὶ γνῶτε ὡς οὐ δι' ἀμαρτίαν ταῦτα πάσχω, καὶ τοῦ καταγελᾶν παύσασθε: ὀλυμπιοδώρου:

τί φησὶν αὐτῶν ἐλέγξαι με δύνασθαι ἄτοπα πολὺ γεγονότα ἢ ἀσεβῶν ὡς ὑμεῖς ἀπεφήνασθε· ἐπεὶ οὖν μή ἐστι τίς, πῶς οὐ δικαίως θυμωθήσομαι κατ' ὑμῶν· εἰ καὶ τοῦτο λέγω· ὥσπερ ὁ λόγος. ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ· ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας. ὁ δὲ ἀνακρίνων με κύριός ἐστιν: ξε

ἢ πάλιν οὐ θυμωθήσομαι· εἰσβλέψαντες εἰς ἐμὲ θαυμάσατε, χεῖρα θέντες ἐπὶ σιαγόνι· ἐάν τε γὰρ μνησθῶ ἐσπούδακα· ἔχουσι δέ μου τὰς σάρκας ὀδύναι· πάλιν ἀσεβεῖς ζῶσιν: :: ἢ ἄφθονοι γίνεσθε· ἢ ἐξαπορήσατε, ἀναλογιζόμενοι τὰ κατ' ἐμέ· :: οἶδα ἐπὶ στόματι· ::: ἢ θορυβοῦμαι: ὀλυμπιοδώρου:

Μεθ' ἡσυχίας καὶ προσοχῆς ἀκούσατε φησὶν ἵνα θαυμάσητε τὰ λεγόμενα. ὁμοίως δὲ ἐπιμνησθήσομαι τῶν μελλόντων ῥηθήσεσθαι· οὐ γὰρ ἐῶσί με ἐμφιλοχωρεῖν τῷ λόγῳ αἱ πολιορκοῦσαι βάσανοι: ξς

τοῦ ἁγίου ἰω(άννου): ὅρα πανταχοῦ πῶς ἀπολογεῖται.

πῶς ταῖς ὀδύναις προστίθησι· πῶς λέγει τῶν αἰτιαντῶν ἐπι-
θησομένων ἐκείνων, ὅτι οὐκ οἴκοθεν, οὐδὲ ἀπὸ καταστά-
σεως τινός, ἀλλὰ ἀπὸ ταραχώδους ψυχῆς καὶ ἐσκοτισμένου
λογισμοῦ ταῦτα φθέγγεται: Ὀλυμπιοδώρου:
ἐξ Ἐπειδήπερ οἴεσθε σοφοί τινες εἶναι· καὶ φατὲ ὑπὲρ ἀσε-
βείας τινὸς τά με δίκην ταῦτα ὑπομένειν, ἐρῶ μὲν σοι
φράσατε· πόθεν πολλοὶ πολλάκις ἀσεβεῖς, οὐ μόνον
ζῶσιν, ἀλλὰ καὶ καταγηρῶσιν ἐν τῷ πλούτῳ. καὶ τί φησι
λέγω τὸν πλοῦτον· αὐτὴ ἡ γῆ ἀφθόνους αὐτοῖς τοὺς καρποὺς
πορεύεται· ἐφείπονται τῇ εὐπαιδείᾳ πάντα πανταχόθεν
αὐτοῖς συντρέχειν τὰ ἀγαθά· καὶ οὐδὲ ἡ ἄλογος αὐτοῖς
φύσις ποτὲ ἐδυσπέτησεν· μένουσι δὲ ἐν ταῖς εὐπαθείαις
ὥσπερ πρόβατα, αὐτίκα ἀμέριμνοι καὶ ἀφρόντιδες· αἰ-
ωνίας δέ, οἱονεὶ θείας τινὸς καὶ ἀθανάτου μοίρας ἀπει-
λημμένοι, ἵνα εἴπῃ ὅτι τῆς ἀνθρωπίνης ταλαιπωρίας ἔξω
τυγχάνοντες· τὸ δὲ ἐν ἀναπαύσει ᾅδου ἐκοιμήθησαν.
τουτέστι συντελευτῶσι τοῖς ἀγαθοῖς μηδὲν λυπηρὸν ὑπο-
στάντες πώποτε· καὶ ταῦτα προφανῶς θεομαχοῦντες·
καὶ οὐδεμίαν τῶν θείων εὐλογιῶν λαμβάνοντες ἔννοιαν:
ἐξ Τοῦ ἁγίου Ἰω(άννου): Οὐ τοῦτο μόνον θαυμάζει
χρή· ὅτι αὐτοὶ πονηρίας τοιαύτας λαμβάνουσι τὰς ἀμοι-
βάς· ἀλλ' ὅτι καὶ αὐτὴ ἡ εὐπραγία χείρους αὐτοὺς ποιεῖ:
ἐξ Φατὲ σοφοὶ εἶναι· καὶ εἰδέναι διατί ταῦτα πάσχω,
ὡς τοῦ θεοῦ μὴ κοιμωμένου ἐπὶ τοῖς ἁμαρτήμασι

τῶν ἀνθρώπων· καὶ ἐτόλμησάν με λέγειν ἁμαρτωλὸν εἶναι·
καὶ δικαίως εἰς ταῦτα ἐφθακέναι:

Πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ· ὁ σπόρος αὐτῶν κατὰ
ψυχήν· τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς· οἱ οἶκοι αὐτῶν
εὐθηνοῦσι· φόβος δὲ οὐδαμοῦ· μάστιξ δὲ παρὰ
κυρίου οὐκ ἔστιν ἐπ' αὐτοῖς· ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησε:
:: ἐ διαμένει ἔμπροσθεν αὐτῶν· :: ἃ οὐκ ἐξέ-
βαλε οὐκ ἐξέτρωσε: τοῦ ἁγίου Ἰω(άννου):

Θῶμεν γάρ φησιν εἶναι καὶ πονηρὸν καὶ ἀσεβῆ· ἀλλ' οὐδὲν ἀπὸ
τούτων κερδαίνει· καὶ οἴδαμεν ὅτι καταλιμπάνεται πᾶσι
οὐ φείδομαι: Ὠριγένους: Οὐκ εἰσὶ
νεόπλουτοι, ἀλλὰ πολλὰ ἔτη πεποιήκασι πλουτοῦντες,
καὶ ἀεὶ τὸν πλοῦτον αὔξοντες: τοῦ αὐτοῦ:

Τοῦ μὲν δικαίου ὁ σπόρος κατὰ πνεῦμά ἐστι· σπείρει γὰρ
εἰς τὸ πνεῦμα, καὶ ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον·
τῶν δὲ οὐ τοιούτων· ἐπεὶ ψυχικὸς ὁ ἄνθρωπος, οὐ δέχεται
τὰ τοῦ πνεύματος, μωρία γὰρ αὐτῷ ἐστιν, ὁ σπόρος ἐστὶν οὐ
κατὰ πνεῦμα, ἀλλὰ κατὰ ψυχὴν τὸ ὑποδέστερον:

τοῦ αὐτοῦ: Πάντα ὅσα ποιοῦσι, πρὸς
τὸ θεαθῆναι ὑπὸ τῶν ἀνθρώπων ποιοῦσι· τέκνα γὰρ τὰ ἔργα
ποιοῦσιν ἑκάστου· οὐκ ἔστι τέκνα τῶν ἐνδόξων ἐν
καρδίᾳ· ἐν λογισμοῖς ἀγαθοῖς· ἀλλ' ἐν ὀφθαλμοῖς πρὸς
τὸ θεαθῆναι ὑπὸ τῶν ἀνθρώπων: τοῦ αὐτοῦ:

εἰσέλθῃ

Ὅταν ἔλθῃ εἰς συναγωγὴν αἱρετικῶν, καὶ ἴδῃς ἐκεῖ πλῆθος

σεσωφρονισμένων, βλέπε ὅτι οἱ οἶκοι αὐτῶν εὐθηνοῦσιν:

υε τοῦ αὐτοῦ: Φόβοι εἰσίν, οὐ φοβοῦνται τὸν θεόν,
καταφρονοῦσι τῆς θεότητος τοιαῦτα λέγοντες περὶ θεοῦ.
οὐ φοβοῦνται ὅτι περὶ θεοῦ λαλοῦσιν: τοῦ αὐτοῦ:

υϛ Ἐὰν ἴδῃς ἄνθρωπον τοιαῦτα κατὰ θεοῦ λαλοῦντα, ὑγιαίνοντα
τῷ σώματι, βλέποντα, τὰ ἀθλητικὰ σώζοντα, καὶ
προκόπτοντα ἐν τοῖς καὶ ἄλλοις κοσμικοῖς εὐτυχεῖν, ὅρα ὅτι
πεπλήρωται ἐπ' αὐτοῦ ἀσεβοῦς οὗτος. τὸ μάστιξ θεοῦ
οὐ γέγονεν ἐπ' αὐτοῖς: τοῦ αὐτοῦ:

υζ Βοῦς ἐστιν ἐπὶ γεωργικόν, καὶ ἐπιτήδειον εἰς γεωργίαν,
καὶ αὐτοὶ γεωργοῦσιν· γεωργοῦσι δὲ σόδομα καὶ γόμορρα,
γεωργοῦσιν αἴγυπτον. ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησεν, ἀλλὰ
καὶ αὐτὴ ἀπεκύησε, καὶ ἐγέννησε τέκνον. ἵνα γεωργηθῇ
αὐτῶν ἡ πονηρὰ γῆ:

Διεσώθη δὲ αὐτῶν ἐν γαστρὶ ἔχουσα καὶ οὐκ ἔσφαλε. μένουσι
δὲ ὡς πρόβατα αἰώνια· τὰ δὲ παιδία αὐτῶν προσπαί-
ζουσιν, ἀναλαβόντες ψαλτήριον καὶ κιθάραν· καὶ εὐφραί-
νονται φωνῇ ψαλμοῦ: :: ἃ σάμαλις αὐτοῦ:
:: ταῖς ἐπιγοναῖς :: ἃ ὀργάνου, ἢ κιθάρα:

ὠρίζμους: Ὅτε συλλαμβάνουσι ταῦτα καὶ κύου-
σιν, οἱ κατὰ τὸ τοῦ φόβου τοῦ θεοῦ συλλαμβάνοντες, ἀλλ' ἀπὸ
τῆς κακίας. ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον
καὶ ἔτεκεν ἀνομίαν: τοῦ αὐτοῦ:

Ποῖος νοῦς ἐστι τοῦ μένουσιν ὡς πρόβατα αἰώνια· περὶ

τῶν φησὶν ὁ χριστός· τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκού-
ουσιν· καὶ ἐγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς καὶ τὰ ἑξῆς.
ταῦτα ἐστὶ τὰ αἰώνια πρόβατα· ἐπεὶ οὖν μιμοῦνται οἱ ἑ-
τερόδοξοι, καὶ θέλουσι μιμεῖσθαι τὴν ποίμνην τοῦ χριστοῦ, ἐπι-
σκόπους ἑαυτοὺς χειροτονοῦντες, πρεσβυτέρους, διακό-
-νους, διδασκάλους, λαόν, κατηχουμένους· μιμούμενοι
τὰ αἰώνια πρόβατα, σπεύδουσι· τὸ μένουσι δὲ ὡς πρό-
βατα αἰώνια· οὐκ εἰσὶ δὲ πρόβατα αἰώνια, ἀλλὰ
μένουσιν ὡς πρόβατα αἰώνια: τοῦ αὐτοῦ:
Οἱ ἡμέτεροι ἀναλαμβάνουσι ψαλτήριον καὶ κιθάραν,
ὑμνοῦντες τὸν θεὸν καὶ δοξολογοῦντες αὐτόν· ἐκείνων δὲ
τὰ παιδία οἱ ἄδηλοι ἐν ἑαυτοῖς προσπαίζουσιν, ἀ-
ναλαμβάνοντες ψαλτήριον καὶ κιθάραν· ὅταν ἀναλα-
βῶσι τοὺς λόγους τῆς παλαιᾶς διαθήκης· προσπαίζου-
σι καὶ γελῶσι τὰ λόγια τοῦ νόμου· καὶ τῶν προφητῶν
ἀναλαμβάνοντες τὰ ἐναρμόνια· ψαλτήριον τοῦ νόμου·
κιθάραν τὴν προφητικὴν προσπαίζουσιν αὐτοῖς:
τοῦ αὐτοῦ: Καὶ αὐτοὶ λέγουσι ψαλμοὺς οὐαλεντίνου,
καὶ λέγουσιν ᾠδὰς βασιλίδου, καὶ τοιαῦτα τινὰ φθέγγονται,
εὐφραινόμενοι φωνῇ ψαλμοῦ:
› Συνετέλεσαν δὲ ἐν ἀγαθοῖς τὸν βίον αὐτῶν· ἐν δὲ ἀναπαύσει
› ᾅδου ἐκοιμήθησαν· λέγει δὲ κῳ· ἀπόστα ἀπ᾽ ἐμοῦ· ὁδούς
› σου εἰδέναι οὐ βούλομαι· τί ἱκανὸς ὅτι δουλεύσομεν
› αὐτῷ· καὶ τίς ὠφέλεια ὅτι ἀπαντήσομεν αὐτῷ· εὐχερ

ἔχει τὴν αὐτῷ τὰ ἀγαθά· ἔργα δὲ ἀσεβῶν οὐκ ἐφορᾷ:

∵ ※ ἐν θ' οἱ β' ἵνα ∴ ※ ἐὰν καὶ ταῦτα

κεῖται ἐν τῷ ἑβραϊκῷ: Ὠριγένους:

στο Ἐν δὲ ἀναπαύσει οὐκ ὄντως· ἀλλ' ἅδου ἐκοιμήθησαν·
ἡμεῖς δὲ εὐχόμεθα, οὐκ ἐν ἀναπαύσει ἅδου ἐκοιμή-
θησαν· ἀλλ' ἐν ἀναπαύσει βασιλείας θεοῦ ἐν τοῖς ὁσίοις
τοῖς ἁγίοις μετὰ Χριστοῦ βασιλεύοντος ἡμῶν ἐν ᾗ δόξα καὶ
τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:

στο Ἀβασάνιστοι εἰς ᾅδην κατέρχονται: Ἰουλιανοῦ:

φ Τί παρενοχλεῖς ἡμῖν νόμου ἐπιτάττων: οὐ ἁγίῳ τῷ:

Καὶ πάλιν ἐπάγει ὅτι ἐν χερσὶν τὰ αὐτῶν ἀγαθά:

ξη Ὀλυμπιοδώρου: Ὡς ἐκ προσώπου τῶν ἀσεβῶν
ὁ λόγος τί πλέον φησὶν ἰσχύει θεὸς παρ' ἡμῖν ἵνα δουλεύ-
σωμεν αὐτῷ ἢ ἀπαντήσωμεν· τουτέστιν εἰς τὴν αὐτοῦ προ-
σευχήν, καὶ προσκύνησιν ἔλθωμεν: Τοῦ αὐτοῦ:

ξθ Ταῦτα οἱ ἀνόητοι διανοοῦνται φησίν, ἐν ὅσῳ μὴ κολάζονται· ἀλλ' ἐν
ἀφθόνοις διάγουσι τοῦ θεοῦ τέως ἀνεξικακοῦντος καὶ μὴ
ἐπιβλέποντος εἰς τὰ αὐτοῖς πεπλημμελημένα:

ο Ἀλλ' ἐρεῖτέ μοι φησίν, ὅτι οὐχὶ θεὸς ἐφορᾷ αὐτούς· ἀλλὰ μὴν
καὶ ἀσεβεῖς τιμωροῦνται· ἢ οὕτως ἄρα ἐπειδὴ ταῦτα τοῦ θεοῦ
κατεχόμενοι, οὐκ ἐφορᾷ αὐτῶν τὰ ἔργα:

ο̄ Δὴ μὴν δὲ ἀλλὰ καὶ ἀσεβῶν ἄλγος ὀψιαθήσεται· ἐπελεύ-
σεται δὲ αὐτοῖς ἡ καταστροφή· ὠδῖνες δὲ αὐτοὺς ἕ-
ξουσιν ἀπὸ ὀργῆς· ἔσονται δὲ ὥσπερ ἀλγοῦ ἐκ-θεῖς ἀ-

νέμου· ἢ ὥσπερ κονιορτὸς ὃν ὑφείλετο λαῖλαψ· ἐκλείποι
υἱοὺς τὰ ὑπάρχοντα αὐτοῦ· ἀνταποδώσει πρὸς αὐτὸν καὶ
γνώσεται· ἴδοισαν οἱ ὀφθαλμοὶ αὐτοῦ τὴν ἑαυτοῦ σφαγήν:
:: θ ὁ θεὸς καταλείψει τοῖς υἱοῖς αὐτοῦ ἀδικίας αὐτοῦ:
:: θ ※ ::: ε πλῶσιν: Ὀλυμπιοδώρου:
Ἀλλ' ὥσπερ φησὶν ὁρῶμεν μέχρι τέλους εὐπαθήσαντας ἀσε- ο
βεῖς· ὁρῶμεν καὶ ἑτέρους ὁμοίως ἀσεβεῖς ὧν ἀπέσβη
ἡ τοῦ βίου λαμπρότης καὶ οὐ κατὰ τέλος ἡ εὐπάθεια διή-
γον, οὐδὲ τοῖς υἱοῖς ἔσχον, ὃ παρεπέμψοιεν:
τοῦ αὐτοῦ: Ἐπειδή φησιν ἀφθόνοις πάσχων οα
ὁ ἀσεβὴς ἐξύβρισεν εἰς θεὸν τιμωρεῖται αὐτόν· ὥστε
γνῶναι διὰ τῆς πληγῆς, ἐπιγνῶναι τὴν ἑαυτοῦ ἀσέβειαν.
τοῦ αὐτοῦ: Σφαγὴν λέγει τὴν ἀπώλειαν
ἁπλῶς· αὐτόπτης οὖν φησὶ τῆς ἰδίας ἀπωλείας κατα- οβ
στήσεται· οὐδεμίαν ἔχων ἐκ θεοῦ βοήθειαν· ἐπειδὴ τὸ
θέλημα ἑαυτοῦ τουτέστι τὴν ἀσέβειαν οὐ μόνον κατὰ
ψυχὴν ἐβουλεύετο, ἀλλὰ καὶ διὰ σώματος ἐπεράττετο· τοῦτο
γὰρ δηλοῖ τὸ ἐν οἴκῳ αὐτοῦ μετ' αὐτοῦ· ἀλλὰ καὶ πρὸ καιροῦ
τελευτήσει φησὶν, ἄωρον ὑποστὰς τὸν θάνατον:
Ἀπὸ δὲ κῦ μὴ διασωθείς· ὅτι τὸ θέλημα αὐτοῦ ἐν
οἴκῳ αὐτοῦ μετ' αὐτοῦ· καὶ ἀριθμοὶ μηνῶν αὐτοῦ διῃ-
ρέθησαν· πότερον οὐχὶ ὁ κς ἐστὶν ὁ διδάσκων σύνεσιν
καὶ ἐπιστήμην· αὐτὸς δὲ φόνους διακρινεῖ· οὗτος ἀπο-
θανεῖται ἐν κράτει ἀφροσύνης αὐτοῦ· ὅλος δὲ εὐθηνῶν

, καὶ ἐκπαθῶν : ※ ἐν θ' οἱ β' οὕτω
τοῦ θεοῦ. λε' ἐπεὶ ἐν τοῦ θεοῦ ἐβεβαίωσεν. τίς γὰρ ἐλέγξει τῆς οἰ-
κίας αὐτοῦ μαθεῖν ἐξ αὐτοῦ : ※ α' θ' ἡμίσευ θεοῦ.
::: ἦ μὴ τῷ θεῷ διδάξει τις ἐπιστήμην : ::: οἱ γ' ὕψιστος.
::: ※ ἐν θ' οἱ ς' :::: οἱ γ' ἰσχύων ἄμωμος :

ργ Ὀλυμπιοδώρου : Ἐπειδὴ ἀνωτέρω εἶπε τοὺς μὲν τῶν ἀσεβῶν παραυτὰ κολάζεσθαι· τοὺς δὲ παρ' ὅλον τὸν βίον ἀτιμωρήτους μένειν. ἔτι δὲ ὅτι καὶ τοὺς οὐδὲν ἡμαρτηκότας συγχωρεῖσθαι πάσχειν. τίνι λόγῳ φησὶ θεὸς ταῦτα ποιεῖ, οὐχ ἡμέτερον εἰδέναι· εἰ μή γε αὐτὸς ὁ τοῦ θεοῦ θελήσοι συνεῖναι τινά. καὶ τὴν ἐπὶ τούτων ἐπιστήμην χαρίσασθαι :

οϛ Τοῦ αὐτοῦ : Μόνος οὖν φησὶ τὰς τούτων αἰτίας οἶδεν ὁ πάνσοφος θεός, ὁ καὶ τοὺς σοφοὺς διακρίνων. καὶ τοὺς μὲν ὑποσόφους ἐλέγχων· τοὺς δὲ τὴν ἀνθρωπίνην μετιόντας σοφίαν ἀποδοκιμάζων :

οϛ Ἆρα οὖν μὴ δυνάμεθα συνιέναι τὰ ἔργα τοῦ θεοῦ :

σ Ὀλυμπιοδώρου συντόμως : Ὁ μὲν τελευτᾷ ἐπίκεται ἀπολαύσεως αὐτοῦ τῆς ἁμαρτίας. ὁ δὲ τοὐναντίον. καὶ ὁμοίως ἀμφότεροι ἀποθνήσκουσι :

, Τὰ δὲ ἔγκατα αὐτοῦ πλήρης στέατος· μυελὸς δὲ αὐτοῦ
, διαχεῖται· ὁ δὲ τελευτᾷ ὑπὸ πικρίας ψυχῆς, οὐ φαγών οὐδὲν
, ἀγαθόν· ὁμοθυμαδὸν δὲ ἐπὶ γῆς κοιμῶνται· σκωλήκεια
, δὲ αὐτοὺς ἐκάλυψεν· ὥστε οἶδα ὑμᾶς ὅτι τόλμῃ ἐπίκεισθέ
, μοι. ὅτι ἐρεῖτε ποῦ ἐστιν οἶκος ἄρχοντος :

∴ καὶ τῶν μυελωτῶν ὀστέων αὐτοῦ ἀρδευόμενος· ∴ α

ὅπη· ∴ ε οἶδα τὰς ἐνθυμήσεις ὑμῶν τὰς ἀθέμους κατ' ἐμοῦ. ※ ἐν β οἱ ιγ: Ὀλυμπιοδώρου:

Πῶς φησίν, ὁ μέν τις ἄφρων ἐν τῇ ἐπιτελευτίᾳ τῆς ἀφροσύνης ἀποθνήσκει πλήρης πάσης σαρκικῆς εὐημερίας· τοῦτο γὰρ σημαίνει διὰ τῆς πιότητος τῶν σαρκῶν καὶ μυελῶν· ἕτερος δέ τις ἴσως που καὶ δίκαιος μὴ γεύσας τινὸς μηδενὸς ἀγαθοῦ τῶν ἐν τοῖς ἀνοις τελευτᾷ τὸν βίον· καὶ ἀμφότεροι τὸν κοινὸν ὑπομένουσι θάνατον· καὶ τὴν αὐτὴν τοῦ σώματος σῆψιν καὶ ἀνάλυσιν: οε

Ἰουλιανοῦ: Οὐχ οἷόν τε οὖν ἐκ τοῦ κοινοῦ τὸ ἴδιον συνιδεῖν· κοινὰ γὰρ ἀμφοῖν τὰ τῇδε συμβαίνοντα: Ὀλυμπιοδώρου:

Ταῦτα φησὶν ἐννοῶ δῆτα ὅτι ἀποτολμᾶτε, καὶ τὴν θείαν προτρέχετε δίκην, ἀποφαινόμενοι κατ' ἐμοῦ, ὡς δι' ἁμαρτίας ἐξηφανίσθη μου τὰ ὑπάρχοντα: οϛ Τοῦ αὐτοῦ:

Ὥστε οὐ γνώσει, ἀλλὰ θράσει καὶ ἐπεμβαίνεταί μου τοὺς τῆς προνοίας οὐκ ἐπιστάμενοι λόγους, καὶ λέγοντες ὡς ἀπημμόνευτοι ὑπάρχοντες οἱ ἀσεβεῖς καθάπερ καὶ σύ: οϛ

Καὶ ποῦ ἐστιν ἡ σκέπη τῶν σκηνωμάτων τῶν ἀσεβῶν, ἐρωτήσατε παραπορευομένους ὁδόν· καὶ τὰ σημεῖα αὐτῶν οὐκ ἀπαλλοτριώσετε· ὅτι εἰς ἡμέραν ἀπωλείας κουφίζεται ὁ πονηρός· εἰς ἡμέραν ὀργῆς αὐτοῦ ἀπαχθήσονται· τίς ἀπαγγελεῖ ἐπὶ πρόσωπον αὐτοῦ τὴν ὁδὸν αὐτοῦ: οζ

Ὀλυμπιοδώρου: Πλὴν φησὶν εἰ καὶ ἀνωμαλία τις

ὁρᾶται ἐν τῷδε τῷ βίῳ. ἀλλ' οὐ δίδωμι πλέον ἔχειν αὐτοὺς

τῆς κακίας. ἐὰν γὰρ φησὶν ἐξετάσητε τοὺς παρὰ τοὺς πορευομένους

ὁδόν· τουτέστι τοὺς ἔξω τῆς θείας ὁδοῦ βαδίζοντας· γνώ-

ριμον ἔσται ἐξ αὐτῶν ἃ περιποιοῦσιν. ὅτι τὴν θείαν οὐκ ἐκ-

φεύξονται δίκην· τὸ γὰρ τὰ σημεῖα αὐτῶν οὐκ ἀπαλλοτρι-

ωθήσεται. ἀντὶ τοῦ γνώριμα ἔσται τὰ κατ' αὐτούς. ποῖα

δὴ ταῦτα, ὅτι εἰ καὶ κουφίζεται καὶ μετεωρίζεται τῇ

προσκαίρῳ δόξῃ ὁ πονηρός, ἀλλ' ἡ μέλλει τις αὐτὸν ἀπώλεια

καὶ θείας ὀργῆς ἀπεκδέχεται:

θ Κουφίζεται· ἀντὶ τοῦ εὐκόλως ὡς κόνις ἀποφέρεται:

ση Ὀλυμπιοδώρου: Τίς ἐλέγξει τὸν ἀσεβῆ εἰς πρό-

σωπον παρανομοῦντα καὶ ἀμυνεῖται. οὕτω φοβερός φησιν

ἐστὶν ἐν τῇ εὐπραγίᾳ· ἵνα εἴπῃ ὅτι τὰς συμφορὰς μοι ἐπε-

μβαίνετε, οὐδείς μοι σιωπήσετε. αὐτίκα γοῦν ἐν εὐημε-

ρίᾳ ὄντα, οὐδεὶς οὐδὲ πώποτε ἐμέμψατο· ἢ οὖν τοῦτο λέ-

γει· ἢ μᾶλλον ἀπολοφύρεται τοὺς ἀσεβεῖς, ὡς μὴ αἰσθανομένους

τῆς ἀπεκδεχομένης αὐτοὺς κολάσεως· καὶ ὅτι ὁ θεὸς τὸ κατ' ἀ-

ση ξίαν ὧν ἔπραξαν ἀπονέμων αὐτοῖς: Καὶ αὐτοῖς

ὅτι οὐχ ὁρῶσι τὸ μέλλον: —

Καὶ αὐτὸς ἐποίησε, τίς ἀνταποδώσει αὐτῷ· καὶ αὐτὸς εἰς τά-

φους ἀπηνέχθη· καὶ ἐπὶ σορῶν ἠγρύπνησεν· ἐγλυκάνθησαν

αὐτῷ χάλικες χειμάρρου· καὶ ὀπίσω αὐτοῦ πᾶς ἄνθρωπος ἀπε-

λεύσεται· καὶ ἔμπροσθεν αὐτοῦ ἀναρίθμητοι:

∴ ⁜ ∴ ⁜ ∴ ⁜ λθ θεωρίας. ∴ ⁜

::: ※ ::: ※ μή τι ταῦτα, οὐ ξένον οὖν ἐπ' αὐτῷ ὁ θάνατος:

Ὀλυμπιοδώρου:

Κατὰ κοινοῦ τὸ τῆς ἐπαγγελίας αὐτῷ, καὶ εἰς συναίσθησιν ἐλθεῖν αὐτόν, ὅτι τε εἰς τάφους ἀπενεχθήσεται. καὶ μετὰ πάσας τὰς ἐπηγγελμένους μερίμνας, πρὸς αὐτὸν καὶ τάφος ἐπιδέχεται, καὶ αἱ φροντίδες αὐτοῦ τελευτῶσιν. οθ̄

Ἰουλιανοῦ: Ταύτην γὰρ ἡγεῖται μόνην ἀξίαν τὸ ζῶντα μὲν τρυφᾶν, ἀποθανόντα δὲ λαμπρὸν ἔχειν τὸν τάφον. καὶ τοῦτο φρουροὺς παραμένειν: Ὀλυμπιοδώρου: οθ̄

Πρὸς μὲν ῥητὸν εἰ καί φησι τοσαύτης αὐτῷ προσεῖναι εὐφορίαν ὡς καὶ τὴν ἄπειρον γῆν, καρποφόρον αὐτῷ γενέσθαι. ὅμως οὐδὲν ἧττον θνητός ἐστι. πρὸς δὲ διάνοιαν ἐν ἡδονῇ φησὶν ἕξειν ὁ ἀσεβὴς τὴν τοῦ βίου τούτου ἀνωμαλίαν, τοῦ πάντων χειμάρρου παρελθόντος. οὐκ ἐννοήσας ὅτι θνητός ἐστι. πολλοὶ ἐπαγγελόμενοι ὡς ἄπειροι μὲν οἱ πρὸ αὐτοῦ τελευτήσαντες, καὶ τοὺς μετ' αὐτὸν δὲ πάντας τοῦτο περιμένει. ταῦτα δὲ εἰπὼν ὁ δίκαιος, αἰνιττόμενος μὲν ἀσέβειαν, ἐνδιαβάλλων δὲ καὶ τῶν παραλεγόντων ὡς ἐσχάτων ἀπεχθῶς: π̄

πα ::

Πῶς δὲ με παρακαλεῖτε κενά. τὸ δὲ ἐμὲ καταπαύσασθαι ἀφ' ὑμῶν οὐδέν: :: αἱ γὰρ ἀντιρρήσεις ὑμῶν ἐλείφθησαν ἀνεπιστημόνως:

Ὀλυμπιοδώρου. Ὑμεῖς δέ φησι ματαίως ὡς παρακλητικοὺς τοὺς ἑαυτῶν προσηγάγετε λόγους. οὐ χρησίμως οὐδὲ εὐκαίρως αὐτοὺς προσκομίσαντες. ἀλλ' ὥστε μὴ μόνον πα

ἐπιξένειν τὰ τραύματα· καίτοι γε ἐμοῦ πολλοῖς καὶ ἄλλοις ἔ-
χοντος ἐξελέγχειν τὰ παρ' ὑμῶν· οὐ μὴν διὰ σπουδῆς τιθεμένου
τὸν ἔλεγχον· διὸ καὶ καταπαύω τὸν λόγον : οὐ αὐτοῦ :
πδ ἔτι τὸ παύσασθαί με τῆς λύπης ἐξ ὑμῶν οὐ παρεγένετό μοι
εἰς τὰ αὐτά· τούτων οὕτως ἀποδεδειγμένων πῶς ὑμεῖς
ἀξιοῦτε εὐλόγως μοι ἐπιπλήττειν, ἀλλ' οὐ παρακαλεῖν· τί δὲ ἰσχυ-
ρὸν εἴρηται· ὅπως σιωπήσω ὡς σιγῶν καὶ ἡσυχάζειν ἀφῦμεν :

+

+

+ προθεωρία κεφαλαίου ιϛ :

+

Ἐσκοπον μὲν οἱ φίλοι τοῦ Ἰώβ, ἐφ' ἁμαρτίαις τὰς κακώσεις
ἐξ ἀνάγκης ἕπεσθαι τοῖς πλημμελοῦσιν ἀποφηνάμενοι· ὁ δὲ
τοῖς παρ' αὐτῶν ἀντικαθιστάμενος, προβληματικῶς αὐτοὺς
ἠρώτησεν, εἰ ταῦτα οὕτως, ὡς ὑμεῖς φατέ, πάντη τε καὶ παν-

τως γίνεται· ἐπὶ τῷ τέως πολλοὺς ὁρῶμεν τῶν ἀσεβῶν μέχρι τέλους εὐθηνηθέντας, καὶ τὸν βίον σὺν εὐημερίᾳ καταλύσαντας· πρὸς ταῦτα ὁ Ἐλιφὰζ ἀπορεῖ μὲν ἀνταποκρίνασθαι, εἰς ἔλεγχος δὲ τρέπεται καὶ ἀπηνεστέρας ὕβρεις:

τρίτη τοῦ Ἐλιφὰζ πρὸς τὸν Ἰὼβ ἀντίρρησις· κεφ ιϛ:

Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει· πότερον οὐχὶ ὁ
κς ἐστὶν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην:

Ὀλυμπιοδώρου: Τοῦτο τοῦ Ἰὼβ εἰρηκότος συν-
τρέχει τῷ λόγῳ καὶ ὁ Ἐλιφὰζ καί φησιν, οἶδα κἀγὼ ὅτι τοὺς
λόγους κατὰ τοῦ θεοῦ ὁ μὲν ἀσεβὴς εὐθύνεται, ὁ δὲ κολάζεται, ὁ
πάνσοφος θεὸς ἐξετάζεται: Τοῦ αὐτοῦ:

Θεὸς μὲν οὖν, ὡς καὶ αὐτὸς ἔφησθα τῶν ἀγαθῶν πηγή· ἤδη πτ

κακία τὰς κολάσεις δίδωσιν: ὠρίγλώους:

πῦ τὰ οἰκοδομούμενα ὑπὸ τοῦ ἁγίου πνεύματος ἀναγραφῆς ἀξιω-
θῆναι χρή, διὰ τοῦτο ἀναγέγραπται ὑπὲρ τούτων ἄγαν ὡς ἐντυγ-
χάνοντα ὠφελεῖσθαι τῶν ἀναγινωσκομένων. εἰ μὴ οὖν
χρήσιμοι ἦσαν οἱ λόγοι τῶν φίλων τῶν παραγενομένων πρὸς
τὸν Ἰώβ, ὡς τὸν ἐντυγχάνοντα λαβεῖν τι ἀπὸ τῶν εἰρημένων
ὑπ' αὐτοῦ πρὸς τὸν Ἰώβ, οὐκ ἂν ἡ πρόνοια εἰς τὴν βίβλον τοῦ
Ἰὼβ ἐποίησεν ἀναγραφῆναι. καὶ τοὺς λόγους τῶν φίλων. ἔστιν
οὖν ὠφεληθῆναι μὲν ἀπὸ τῶν λόγων αὐτοῦ συμφωνοῦντα τοῖς πράγ-
μασιν. παρὰ δὲ τὸ σύνολον τῶν λόγων ἐπεὶ οὐ μόνον ὅτι αἰ-
τιῶνται τὸν Ἰὼβ οἰόμενοι αὐτὸν πάσχειν διὰ τὰ ἁμαρτήματα
αὐτοῦ, οὐχ ὁρῶντες ὅτι καὶ ἄλλα πολλὰ αἴτια ἐστὶ τοῦ συμβαίνειν
ἀνθρώποις τοιαῦτα ἐπὶ νενομισμένα εἶναι κακὰ ἢ χαλεπά. ἢ
ὅπως ποτὲ βούλεταί τις αὐτὰ ὀνομάζειν: καὶ μετ' ὀλί-
γα: π ὅθεν οὐχ ὅ τις ἐστὶν ὁ διδάσκων σοφώτερον
καὶ ἐπιστήμην, τὸ δόγμα ὑγιές ἐστιν. ὅτι ἀληθὴς διδάσκαλος
ἀκριβὴς οὐ δύναται εἶναι ἄνθρωπος. ὁ διδάσκων γὰρ
αὐτὸν γνῶσιν καὶ ἐν τοῖς ψαλμοῖς ἀναγέγραπται. ὅτι οὐκ ἄλλος
ἐστὶν ἢ θεός. καὶ δίδαξόν με φησὶ τὰ δικαιώματά σου ὁ
προφήτης. εἰκὸς διδάσκαλον εἶναι ἀληθῆ καὶ τέλειον τὸν θεόν.
διδάσκει δὲ ὁ θεός, ἐλλάμπων τῇ ψυχῇ τοῦ μανθάνοντος ὑπ'
αὐτοῦ, καὶ τὴν διάνοιαν αὐτοῦ φωτίζων τῷ φωτὶ τῷ ἀληθινῷ
λόγῳ ἑαυτοῦ :

τί γὰρ μέλει τῷ κῷ ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος· ἢ ὠφέλεια

ὅτι ἁπλώσεις τὴν ὁδόν σου· ἢ λόγον σου ποιούμενος ἐλέγξει σε· καὶ συνεισελεύσεταί σοι εἰς κρίσιν·

:: ε΄ μὴ χρήζει ὁ ἱκανὸς ἵνα δικαιωθῇς· :: ※· θ μ̊ ἢ κ. σ΄ ἢ κερδαίνει καὶ ἄμωμος ἡ ὁδός σου· :: διαλεχθήσεταί σοι: μετ. ἢ διὰ τὸν φόβον σου: ὀλυμπιοδώρου:

Ἀλλ' ἐπειδὴ μέγα ἐπὶ σεαυτῷ φρονεῖς φησὶν ὡς ἄμεμπτος, δε- πόθω εἶναι σε καθαρόν· τί οὖν εἰπέ μοι περιεποίησας θεῷ δίκαιος ὤν, καὶ εἰς ἀγαθοεργίαν ἐξαπλῶν τὴν σὴν ὁδόν· τίς ἐντεῦθεν ὄνησις τῷ θεῷ· νομίζεις ὅτι πολύν τινα ποιούμενός σου λόγον τιμωρεῖταί σε ἢ κρίνει, ὡς ὄνησιν ἐκ τῆς σῆς δικαιοσύνης ὠφελῆσθαι μέλλων· ἕτεροι δὲ οὕτως ἀνέγνωσαν· τί γὰρ εἶτα ἀποστήξαντες ἐπὶ ἔργον ἀποφαντικῷ μέλει τῷ κυρίῳ, ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος· τουτέστιν οὐ φροντίδα ἢ χρείαν τὸ ἀμέμπτους ἡμᾶς εἶναι, καὶ ἀπροσδεὴς ὤν, ὠφέλειαν ἡγεῖται τὸ τοὺς αὐτοὺς ἐξηπλωμένους καὶ σαφῶς μετιέναι τὸ ἀγαθόν· διὰ τοῦτο καὶ σοῦ πολλὴν ποιούμενος πρόνοιαν ἐλέγξει σε· καὶ ὥσπερ εἰς κρίσιν αὐτίκα καθεζόμενός σοι δικαίως σε κρίνει· τὸ γὰρ ἢ πολλαχοῦ καὶ παρ' ἄλλοις ἔξω παρείληπται ἀντὶ τοῦ καί: τοῦ α῀ ἰω:

Μὴ γάρ τι εἰς τὴν αὐτοῦ ὠφέλειαν συντελεῖ φησὶν ἐπειδὴ ἄνω καὶ κάτω ἔλεγεν ὅτι θεὸς ταῦτα ἐποίησεν, καὶ διὰ τοῦτο πάσχω θέλει δεῖξαι, ὅτι οὐ παρ' αὐτοῦ θεοῦ, ἢ λόγον μὴ ποιούμενος φησὶν ἐλέγξει σε συνελεύσεταί σοι εἰς κρίσιν:

Φροντίζων μήποτε αὐτός τι βλαβῇ, ἐλέγχει τὸν ἀσεβῆ,

ἀπὸ τῶν εὐεργετῶν αὐτοῦ: Ὠριγένους:

Θ Λόγον ποιούμενος ὁ θεὸς τοῦ προνοουμένου ὑπ' αὐτοῦ ἐλέγχει αὐτόν. καὶ ζῶν εἰσελεύσεταί σοι εἰς κρίσιν πολλάκις εἴπομεν· εἴ ποτε εὑρίσκεις τὸ ῥῆμα τοῦτο ἐν ἄλλαις λέξεσιν. ὅτι οὗτος ἐστὶν ὁ θεὸς ὁ φιλάνθρωπος· ὥστε καὶ χρηστῶς κρίνων ἡμᾶς, ἐπιτρέπειν λέγειν ἡμᾶς πρὸς αὐτόν, ὡς κρινόμενον μεθ' ἡμῶν περὶ ὧν βουλόμεθα· ἐχρησάμην οὖν τοῖς ἀπὸ τοῦ Ἡσαΐου· δεῦτε καὶ διαλεχθῶμεν λέγει κύριος. τί γὰρ διαλεχθῶμεν λέγει κύριος. τὸ γὰρ διαλεχθῶμεν τοιοῦτον ἐστίν. εἴ τι με ἔχεις ἐλέγξαι καὶ τὴν πρόνοιάν μου, ὡς ἀμελήσαντός μου, ὡς μὴ τὰ δέοντα πεποιηκότος λέγε κἀγὼ ὅτι ποτὲ ἔχω ἐρῶ· πείσω σε καταδικάσω σε ἄξιον ὄντα τοῦ καταδικασθῆναι: —

Πότερον οὐχ ἡ κακία σου ἐστὶ πολλή· ἀναρίθμητοι δέ σου εἰσὶν αἱ ἁμαρτίαι· ἠνεχύραζες τοὺς ἀδελφούς σου διακενῆς· ἀμφίασιν δὲ γυμνῶν ἀφείλου: Ὀλυμπιοδώρου:

πβ Ἡ τοῦ πλήθους τῶν συμφορῶν εἰκάζει τῶν ἁμαρτημάτων τὸ πλῆθος· σπεῦδε οὖν ἐπὶ τὰ κατὰ σαυτόν, μὴ ἥττω πάσχεις ὧν ἠδίκησας: Ὠριγένους:

πβ Εἰκότως οὐχ ἁπλῶς γεγονέναι ἄδικον. ἐπεὶ πάσχει τοιαῦτα, ὁποῖα οὐδεὶς τῶν κακῶν· δῆλον ὅτι τὸ πλείονα κακίαν τῶν κακῶν ἐσχηκέναι ἐν τούτοις γεγένησαι. πάνυ πολλοὺς ὁρῶ ἁμαρτωλούς, καὶ οὐδεὶς αὐτῶν τηλικούτοις πέπτωκεν οἵοις σύ. εἰκὸς διὰ τὸ ἀναρίθμητον σου τῶν ἁμαρ-

τημάτων, καὶ τὸ πλῆθος σου τῶν πταισμάτων, ταῦτά σοι ἐπελη-
λύθεναι: Τοῦ αὐτοῦ: Ὃ πρότερον ὠνόμασε πδ
τὴν ἁμαρτίαν, εἶτα τὴν κακίαν· ἀλλὰ ὁρῶν τὴν κακίαν τὴν
φαύλην ἕξιν· εἶτα μετὰ τοῦτο τὰ ἀπὸ τῆς φαύλης ἕξεως
ἁμαρτανόμενα, ἅπερ εἶπεν ἀναιρεθησομένους εἶναι ἁμαρτ:
Ἰουλιανοῦ: Οὐ κατὰ φαινομένου ταῦτα, ἀλλ' ἀμφι- πε
βάλλοντος, ὡς ἐὰν εἴποι τις ὡς σφόδρα κακὸς ἴσως, οὕτως
ἀπέλαβες: Ὠριγένους: Ὑπολαμβάνει τοῦτον πϛ
ὁ Ἐλίφαζ ἐπειδὴ τοῦ Ἰὼβ ᾔδει αὐτὸν πλούσιον καὶ φησὶν ἐ-
νεχύρια ἐλάμβανες ἀπὸ τῶν σῶν ἀδελφῶν, ὡς ὀφειλόντων μὴ
ὀφειλόντων· τὸ γὰρ ἠνεχύραζες διακενῆς τοιοῦτόν ἐστιν:
Προσεπιλέγει δὲ πάλιν ἄλλην αὐτοῦ ἁμαρτίαν οἰόμενος γεγονέναι. πζ
ἐπὶ τὸ λαβεῖν ἀμφιάσματα οὐ γυμνοῦ, ἀλλὰ πλουσίου ἔχον-
τος ἀποκειμένου ἐνδύματα πολλὰ λαβεῖν· ἴσα πῶς τῶν πολ-
λῶν ἔλαβον ἀμφίασιν· ἀλλὰ γυμνοῦ, ἀλλὰ πλουσίου· ἐὰν
μέντοι γε χιτῶνα ἔχῃ τις ἕνα καὶ τοῦτον τὸν χιτῶνα προ-
φάσει τοῦ ἀπαιτεῖν τὸ ἐμὸν ἐκδύσω μὴ ἐλεήσας ἐκεῖνον
τὸν γυμνόν, ἀμφίεσιν τοῦ γυμνοῦ ἀφειλόμην· πολλὰ δὲ
τοιαῦτα ἐν ἡμῖν γίνεται, ὅταν δανείζομεν, ὅταν πρὸς
ὀφειλέτας ἔχομεν, πολλάκις ὀφειλέτης ἡμῶν εἰς ὑπερ-
βολὴν πένεται μὴ δυνάμενος ἀποδοῦναι, καὶ ἡμεῖς τὰ
σπλάγχνα ἡμῶν ἀποκλείσαντες, ἀνηλεεῖς καὶ ὠμοὶ γι-
νόμεθα μὴ βλέποντες ὅτι γυναῖκα τρέφει καὶ τέκνα,
καὶ μόλις τρέφεται ἀπὸ τῶν πορίζομένων αὐτῷ ὀλίγων

ὀβολῶν, ἀπαιτοῦμεν πικρῶς· ἐπειδὴ ὅτε καὶ πλείονα ἔχοντες παρ' αὐτοῖς. ταῦτα οὖν λέγει, ἐγκαλῶν τῷ Ἰώβ, ὅτι ἀμφίασιν

2 γυμνῶν ἀφεῖλεν: Ἐπιτείνων αὐτοῖς τὴν πενίαν:

› Οὐδὲ ὕδωρ διψῶντας ἐπότισας· ἀλλὰ πεινώντων ἐστέρησας ψωμόν·

› ἐθαύμασας δέ τινων πρόσωπα· ᾤκισας δὲ πτωχοὺς ἐπὶ

› τῆς γῆς· χήρας δὲ ἐξαπέστειλας κενάς· ὀρφανοὺς δὲ ἐκά-

› κωσας: Ὀλυμπιοδώρου:

πς Ἄκουε οὐ μόνον τὸ ἀδικεῖν, ἀλλὰ καὶ τὸ μὴ εὐεργετεῖν ὑπεύθυνον:

Ὠριγένους: Ταῦτα πάντα κατηγορήματά εἰσι καὶ ἀληθῶς ψευδῆ· ἀλλ' οὖν κατηγορηθῆ περὶ τοῦ Ἰώβ, οὐδὲ καλῶς ἐλέγετο περὶ αὐτοῦ: Τοῦ αὐτοῦ:

δ Τοιαῦτα γίνεται ἐν ταῖς πικραῖς ἀπαιτήσεσιν· ἐνίοτε αὐτὸν τὸν ψωμὸν ἔχει τις ἕνα, κἂν μὴ ἔχει ἄρτον ὁλόκληρον· ἀφαιροῦμεν ἀπ' αὐτοῦ λέγοντες, ἀλλ' ὀφείλεις: Τοῦ αὐτοῦ:

πξ Ἐκπιέζων οὓς μὲν ἐξῆρες, οὓς δὲ ἐταπείνους: Ὠριγένους:

πξ Καὶ τοῦτο τὸ ἁμάρτημα ἄλλο τοῦ Ἰώβ· ἁμάρτημα γὰρ καὶ τὸ θαυμάζειν πρόσωπον· ἐπεὶ πλούσιός ἐστι, θαυμάζω αὐτοῦ τὸ πρόσωπον· τὸν δὲ πένητα καταπατῶ, ἐπειδήπερ ἀξίωμα οὐκ ἔχει: Ὀλυμπιοδώρου:

πη Ἀντὶ τοῦ τὴν πενίαν ἐπέτεινας· τινὰ δὲ τῶν ἀντιγράφων, ἐκοίμησας δὲ πτωχοὺς ἔχει· τουτέστι καὶ αὐτὴν τῶν πτωχῶν τὴν στρωμνὴν ἀφεῖλου, ὡς ἐπὶ τοῦ ἐδάφους αὐτοὺς κοιμᾶσθαι· διὰ ταῦτα φησὶ ταῖς πολλαῖς ταύταις περιπέπτωκας συμφοραῖς καὶ ταλαιπωροῦσιν οἱ πορθοῦντες

πεπείρασαν· τὰ ἀδίκως ἀλλότρια λαμβάνοντες:

Ὠριγένους: Προσέχωμεν ἐὰν χήρα ἡμῶν εἰσέλθῃ εἰς τὴν οἰκίαν, μήποτε κενὴν αὐτὴν ἐξαποστέλλομεν, κατὰ τὸ ὡς ἀμὴν ἕκαστος, πρὸς ὃ ἔχει πληρώσαντε τὸν κόλπον τῆς χήρας: Τοῦ αὐτοῦ: Οὐδένα μὲν δεῖ κακοῦν· ἐξαιρέτως δὲ χρὴ φείδεσθαι τῶν ὀρφανῶν· ἐπεὶ ὑπὲρ τῶν ἀβοηθήτων ψυχῶν πολεμεῖν ὁ θεὸς ἐνετείλατο. μάλιστα δὲ παρὰ τοὺς ἄλλους αὐτούς, πτωχοί, χῆραι, ὀρφανοί, δέοντα βοηθείας. τοιγαροῦν ἐκύκλωσάν σε παγίδες· παγίδας λέγει τὰ συμβεβηκότα αὐτῷ· ἐν αἷς ἐμπέπτωκεν, εἰς ἃς καὶ παγιδεύεται αὐτοῦ ἡ ψυχὴ ἀπὸ τῶν συμβεβηκότων αὐτῷ:

> Τοιγαροῦν ἐκύκλωσάν σε παγίδες, καὶ ἐσπούδασέ σε πόλεμος ἐξαίσιος. τὸ φῶς σοι σκότος ἀπέβη· κοιμηθέντα δὲ ὕδωρ σε ἐκάλυψε. μὴ οὐχὶ τὰ ὑψηλὰ νέων ἐφορᾷ· τοὺς δὲ ὕβρει φερομένους ἐταπείνωσε:

:: ε καὶ ταράσσει σε φόβος ἐξέφνης. :: α θ καὶ πλῆθος ὑδάτων καλύψει σε. ::: οἰκῶν:

Ὀλυμπιοδώρου: Οὗ μὲν φησὶν ἐμφωτὸς εἶ, σκότος μετέστη τὰ κατὰ σέ, καὶ κοιμηθέντα· ἀντὶ τοῦ ἀμεριμνοῦντα καὶ οὐ νήφοντα ὕδωρ σε ἐκάλυψε· τουτέστιν οἱ τῶν θλίψεων ἐπῆλθον πειρασμοί: Ὠριγένους: πθ

Ἐν φωτὶ ἦς ὅτε τὰ ὑπάρχοντά σοι ἦν· ὅτε τὰ τέκνα σου περιῆν. πθ ὅτε ὑγίαινέ σου τὸ σῶμα· νῦν δὲ ὅλον· εἰς σκότος καταβέβηκας εἰς τοὺς πειρασμοὺς ταύτας: τοῦ ἁγίου Ἰω(άννου):

πθ τουτέστιν ἐν ἐρημίᾳ καὶ αἴθριος ἀλήτης· καὶ φυγὰς ἀνέστιος
θ γέγονας: ὠριγένους: τὸ κοιμηθέντα σε ὕδωρ
ἐκάλυψε, τοιοῦτόν ἐστιν, ἐκάλυψέ σε ἡ ἀντικειμένη ἐνέρ-
γεια· ἐπεὶ οὐκ ἐγρηγόρεις· ἐπεὶ οὐχ ὕπνωσας· οἶδε δὲ καὶ
ἡ γραφὴ ὕπνον τινὰ ἁμαρτίας, ὅπου ἐντέταλται ἡμῖν λέγουσα·
μὴ δῷς ὕπνον σοῖς ὄμμασι· μηδὲ νυστάξῃς σοῖς βλεφάροις·
ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ
ἤ παγίδος: ἀλλὰ νομίζεις ὅτι οὐχ ὁρᾷ τὰ πραττό-
μενα ὁ ἐν ὑψηλοῖς κατοικῶν θεός· ὅτι τοίνυν ταῦτα ἐφρόνεις
τοὺς ὑπὸ τῆς ὑβριστικῆς ἕξεως ἐπηρμένους τὸ φρόνημα
καταφέρει: ὠριγένους:

+ Εἴτις φέρεται ὕβρει, καὶ οἱονεὶ κατασύρεται ὑπὸ τῆς ὑβριστι-
κῆς ἕξεως καὶ πράξεως, οὗτος ταπεινοῦται ὑπὸ τοῦ θεοῦ· εἰκὸς
οὖν ἐπεὶ καὶ σὺ ὕβρισας χήρας καὶ ὀρφανούς, καὶ ἐνεχυ-
ράσας μάτην τοὺς ἀδελφούς σου, διὰ τοῦτο ταῦτα πέπον-
θας, καὶ τεταπείνωσαι:

> Καὶ εἴπας τί ἔγνω ὁ ἰσχυρός· ἢ κατὰ τοῦ γνόφου κρινεῖ·
> νεφέλη ἀποκρυφὴ αὐτοῦ καὶ οὐχ ὁραθήσεται· καὶ γῦρον
> οὐρανοῦ διαπορεύσεται· μὴ τρίβον αἰώνιον φυλάξῃς,
> ἣν ἐπάτησαν ἄνδρες δίκαιοι:

∴ ⁜ ἐκ θ οἰ η· ∷ ⁜ ∷ ⁜ ∷ ⁜ πει-
γραφίω· ∷ ⁜ ∷ ⁜ Ὀλυμπιοδώρου:

ϛα Ἐγὼ φησὶν ἔπραττες τὰ ἄδικα, ὡς μὴ γινώσκοντος τὰ ἐπὶ
γῆς τοῦ θεοῦ, ἀλλ' ὡς γνόφῳ κρίνοντος· τουτέστιν ἐν τῷ κρίνειν

δὴ ὁρῶντος

συγχωροῦντας τὰ ἐπὶ γῆς· ἔλεγες γὰρ ὡς εἰκός, ὅτι ἀόρατος
ὤν, καίτοι νέφεσιν ἀποτειχίζων ἑαυτοῦ τὰ καθ' ἡμᾶς· καὶ
μόνον τὸν κύκλον τοῦ οὐρανοῦ περιπολῶν, οὐ προνοεῖται τῶν
ἡμετέρων: Ὠριγένους: Εἰκὸς ὅτι σὺ ἔλεγες ξα
κατὰ σαυτοῦ· τί ἔγνω ὁ ἰσχυρός, οἷον δύναται ἐγνωκέναι
πάντα ὁ θεός: Τοῦ αὐτοῦ: Δύναται δὲ οο
κρίνειν ὁ θεὸς καὶ ἐν χειμῶνι γινομένους: Τοῦ αὐτοῦ:
ποῖ ἐπέρχεται ἡ πρόνοια τοῦ θεοῦ: Ὀλυμπιοδώρου: ξ

Μὴ τὰ ἐξ ἀρχῆς περὶ τῶν ὀπίσω τῶν ἀσεβῶν ἔγνως, ἃς ὁδούς
φησιν, οἱ δίκαιοι κατεπάτησαν· οἱ δὲ ἀσεβεῖς οὗτοι καὶ ἄθε-
σμον βίον ἐτελεύτησαν, καὶ ἐν θεμελίων καταστάσει
ὥσπερ ὑπὸ χειμάρρου κατεστρέφετο· ἔλεγον γὰρ τί ἡμῖν δύ-
ναται ποιῆσαι ὁ θεός· καίτοι γε ἀφθόνων ἀγαθῶν παρ' αὐτοῦ
τυχόντες καὶ δέον εὐχαριστεῖν ἠχαρίστουν· πλήττει δὲ πάλιν
τοῦ Ἰὼβ ἐν τούτοις, ὡς ἀχάριστον περὶ θεὸν γεγονότα,
καὶ διὰ τοῦτο τιμωρούμενον: Ὠριγένους:

Μὴ δύναται οὖν τὴν τρίβον τὴν αἰώνιον, καθ' ἣν πορεύεται ἡ ξβ
πρόνοια τοῦ θεοῦ ἐπιτηρῆσαι: Τοῦ αὐτοῦ:

Τὴν τρίβον τὴν αἰώνιον ἐπάτησαν ἄνδρες δίκαιοι· κατὰ γὰρ ω
τρίβους αἰωνίας βαίνουσιν· ἐπεὶ ταῦτα αὐτοῖς πρόκειται πρά-
ττειν, ὥστε τυχεῖν τοῦ μέλλοντος αἰῶνος· κἂν δοκῶσιν οὐ
ἐπὶ γῆς βαδίζειν· ἀλλ' ἡ ψυχὴ αὐτῶν ἐπιβαίνει τῷ αἰῶνι:

Οἳ συνελήφθησαν ἄωροι· ποταμὸς ἐπιρρέων οἱ θεμέ-
λιοι αὐτῶν· οἱ λέγοντες, κύριε τί ποιήσει ἡμῖν· ἢ τί ἐπάξεται.

ἡμῖν ὁ παντοκράτωρ· ὃς δὲ ἐνέπλησε τοὺς οἴκους αὐτῶν

ἀγαθῶν· βουλὴ δὲ ἀσεβῶν πόρρω αὐτοῦ· ἰδόντες δίκαιοι ἐγέλασ(αν):

:: ⁘ ϛ ἀλώσονται πρὸ καιροῦ · :: ⁘ ::: θ ἐργάται.

::: λθ καὶ αὐτός : Ὠριγένους :

Πολλάκις δίκαιοι πρὸ καιροῦ ἐτελεύτησαν· τελειωθεὶς γὰρ ἐν ὀλίγῳ ὁ δίκαιος, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν τῷ κυρίῳ ἡ ψυχὴ αὐτοῦ: Τοῦ αὐτοῦ:

Τῶν δικαίων οἱ θεμέλιοι δίκην ῥιζῶν ἀεὶ αὔξουσιν ἐν τοῖς ἀγαθοῖς:

Τοῦ αὐτοῦ:- Ποταμὸς παρασύρει τὸν θεμέλ(ιον) αὐτῶν: Τοῦ αὐτοῦ: Τῶν δικαίων ἐνέπλησε τοὺς οἴκους ἀγαθῶν· ἐγὼ οὐκ ἀκούω τοὺς οἴκους τούτους, ἀλλὰ τοὺς οἴκους αὐτῶν τοὺς κατὰ τὸ ἡγεμονικὸν ἐνέπλησεν ἀγαθῶν· ποίων ἀγαθῶν, σωφροσύνης, δικαιοσύνης, ἀνδρείας, φρονήσεως τῶν ἀπὸ τῶν ἔργων· τουτέστι τὸ πληρωθῆναι οἴκους ἀγαθῶν: Καὶ οὐκ ᾔδησαν παρ' αὐτοῦ λαβόντες τὰ ἀγαθά: Ὀλυμπιοδώρου: Πόρρω αὐτοῦ δηλονότι τοῦ θεοῦ· ἤγουν ἵνα τῶν ἀσεβῶν ὁρῶντες οἱ δίκαιοι καταγελῶσιν ὡς φαύλης· καὶ γὰρ ἄρδην φησὶν ἀπόλλυνται, τῆς τιμωρίας ἐπινεμομένης, καὶ τοὺς ὑπολειφθέντας αὐτῶν:

Ὠριγένους: Οἱ ἀσεβεῖς βουλεύονται πόρρω εἶναι ἀπὸ τοῦ θεοῦ: Ἰδόντες τὴν βουλὴν τῶν ἀσεβῶν κατεγέλασαν αὐτούς:

Ἄμεμπτος δὲ ἐμυκτήρισεν αὐτούς· εἰ μὴν ἠφανίσθη ἡ ὑπόστασις αὐτῶν· καὶ τὸ κατάλειμμα αὐτῶν καταφάγεται

πῦρ. γενοῦ δὲ σκληρὸς ἐὰν ὑπομείνῃς· εἶτα ὁ καρπός σου
ἔσται ἐν ἀγαθοῖς. ἔκλαβε δὲ ἐκ στόματος αὐτοῦ ἐξη-
γορείαν: ∴ ※ ἐν τ(οῖς) ο΄ ιϛ. τινῶν αὐτῶν
τῶν ἀσεβῶν. ∴ ※ Ὠριγένους:

Τίνα ἡ τὴν βουλὴν τῶν ἀσεβῶν. οἷον βουλεύονται τινὰ διδάσκειν
τὰ ἐναντία τῇ ἀληθείᾳ, ἐν τῷ λέγειν ἃ λέγουσι δόγματα μοχθη-
ρὰ ἔχοντες. ταῦτα ἀμέμπτως ὁρῶν μὴ πληρίξῃ: τοῦ αὐτοῦ:
οὕτω ὁ καταλέγει πῶς καὶ τοὺς ἀσεβεῖς τῶν προτέρων ἀπο-
θανόντων τὸ πῦρ καταφάγεται: Ὀλυμπιοδώρου:

Ἀπόδειξίς φησι τῶν λεγομένων τὰ κατὰ σέ· ἐπειδὴ γὰρ ἐπέ- ϛα
μεινας βλασφημῶν εἰς θ(εό)ν· καὶ ἀσεβῶς τὰ κακὰ διατρεπτό-
μενος, οὐκ ἔμεινας ἐπὶ τῆς προτέρας εὐπραγίας. τὸ δὲ γενοῦ [illegible]
τὸ καθόλου εἴρηται: τοῦ αὐτοῦ:

Ἀλλὰ μεταβαλοῦ, γνῶθι τὸν τρόπον καὶ ἐξαγόρευσον τὰ ἁ- ϛε
μαρτήματά σου τοῦτο παρὰ θ(εο)ῦ διδασκόμενος, καὶ φύ-
λαξ λοιπὸν τῶν θείων γενοῦ νόμων: Ὠριγένους:

Τὴν ἐξηγορείαν ἐξήτουν καὶ ἔμαθον τί σημαίνει, καὶ ϛε
εὗρον ἐν ἄλλῃ ἐκδόσει, ἀντ᾽ αὐτοῦ ἐξομολόγησιν· φη-
φησὶ οὖν μᾶλλον ἐξομολόγησαι περὶ τῶν ἁμαρτημάτων
σου. ἔκλαβε ἀπὸ τοῦ στόματος τοῦ θ(εο)ῦ ἐξηγορείαν· ἐκ
ἐξομολογήσει. ἀνάλαβε δὲ τὰ ῥήματα αὐτοῦ ἐν
καρδίᾳ σου. ταῦτα δὲ ἔλεγεν ὁ Ἐλίφαζ νουθετῶν ὡς
ᾤετο τὸν Ἰώβ: α΄ θ΄ νόμον. σ΄ ἐξομολόγησιν:

Καὶ ἀνάλαβε τὰ ῥήματα αὐτοῦ ἐν καρδίᾳ σου. ἐὰν δὲ

ἐπιστραφῇς καὶ ταπεινώσῃς σεαυτὸν ἔναντι κυ· πόρρω ἐποίησας ἀπὸ διαίτης σου τὸ ἄδικον· θήσει ἐπὶ χώματι ἐν πέτρᾳ· καὶ ὡς πέτρα χειμάρρου σωφείρ· ἔσται οὖν σοι ὁ παντοκράτωρ βοηθὸς ἀπὸ ἐχθρῶν :

:: ※ Στίχοι ϛ· :: ※ ϛ̅ καὶ ἐν τῷ αἰγολόμενῳ ὡς ὀχελοὺς χρυσίου πρωτείου : Ὀλυμπιοδώρου:

Ἐὰν δὲ ἐπιστραφῇς φησὶ γνησίως σαυτοῦ· ὥστε ἱκετεύειν τὸν θεόν, ἀλλὰ μὴ ἀνθίστασθαι αὐτῷ εἰς δικαιολογίαν ἐγκαλούμενον· ἀπορρίψεις ἀπὸ σαυτοῦ πᾶσαν ἀδικίαν. τεθήσῃ οὖν ἐπὶ τῆς γῆς ἐν ἀσφαλείᾳ, ἀντὶ τοῦ ἀσφαλῶς οἰκήσεις τὴν γῆν· οὕτω δὲ καὶ χρυσὸς ἐπιρρεύσει σοι, ὡς χειμάρρους ῥέων ἐν σωφείρ· σωφεὶρ δέ ἐστι τόπος ἐν ᾧ χρυσὸς κάλλιστος καὶ λίθοι τίμιοι γίνονται· κέκληται δὲ τῷ σωφεὶρ ἡ γραφή, ὅτε περὶ πλούτου διαλέγεται· τὴν δὲ ὕπον, σωφεὶρ τὴν ἀφρικὴν εἶναι : Ὠριγένους:

Νουθετεῖ αὐτὸν πρὸς τὸ ἐπιστρέψαι, οἰόμενος αὐτὸν ταυτὰ ἡμαρτηκότα · πεπονθέναι : Τοῦ αὐτοῦ:

Λαλεῖ εἰς γῆν καὶ οἱονεὶ καταχώσεις αὐτόν : Τοῦ αὐτοῦ:

Ἐκ τοῦ τόπου οὗ γίνεται τὸ χρυσίον ἐλεύσεται ἐπὶ σέ· οἷον εἰ ἔσται πόρος ποικίλος καὶ καλός : Ὀλυμπιοδώρου:

Καὶ τῶν διδομένων σοι φησίν, ἀσφαλῆ τὴν κτῆσιν παρέξει θεός· καὶ οὐ μόνον σε ἀπαλλάξει πενίας· ἀλλὰ καὶ τῆς τοῦ σώματος ἐλευθερώσει λώβης· προσέσται δέ σοι καὶ ἡ πρὸς θεὸν παρρησία, καθαρῷ τῷ συνειδότι τὰς ἱκετείας ποιουμένῳ :

ὠριγένους: Ἐὰν ὑποτάξῃς ἑαυτὸν ἐὰν ἐξομολογήσῃ: ξξ

Καθαρὸν δὲ ἀποδώσει σε ὥσπερ ἀργύριον πεπυρωμένον· εἶτα
παρρησιασθήσῃ ἐναντίον κυρίου· εὐξαμένου δέ σου πρὸς αὐτὸν
εἰσακούσεταί σου· δώσει δέ σοι ἀποδοῦναι τὰς εὐχάς· ἀπο-
καταστήσει δέ σοι δίαιταν δικαιοσύνης:

:: τῷ σώματι :: ἀναβλέψας εἰς τὸν οὐρανὸν ἱλαρῶς.

::: θ καὶ θείεις ῥῆμα καὶ σταθήσεταί σοι:

Ὑγιαὲς δόγμα ἐνθάδε ὁ Ἐλιφὰζ λέγει, οἴεται αὐτὸν διὰ τὰ ἁμαρτήματα πάσχειν· οἶδε δὲ ὅτι πᾶς δι' ἁμαρτήματα πάσχων καθαίρεται ὑπομένων δι' αὐτοῦ τοῦ πάσχειν, καὶ καθαιρόμενος ὥσπερεὶ χρυσὸς ἐν χωνευτηρίῳ γενόμενος. καὶ καθαρθεὶς δόκιμος ἀποδείκνυται, πᾶν τὸ ἀχρεῖον ἀποθέμενος· φησὶν οὖν ὅτι καὶ σὺ ἐὰν ὑπομένῃς τὰ συμβεβηκότα σοι, ἀποδώσει σε καθαρὸν ὡς ἀργύριον πεπυρωμένον ὁ θεός: ο
τοῦ αὐτοῦ:

Μετὰ τὸ κολασθῆναι ἐξομολογησάμενος καθαρὸς γενόμενος ἐπάρας τὸ πρόσωπον εἰς τὸν οὐρανὸν ἱλαρὸς εἶ:

τοῦ αὐτοῦ: Ἐὰν ταπεινώσῃς ἑαυτὸν ὑπομένων τὰ συμβεβηκότα, παρρησιασθήσῃ ἐνώπιον κυρίου· παρρησίαν ἔχεις ὡς ἀποθέμενος τὰ ἁμαρτήματα:

Ὀλυμπιοδώρου: Ὅμοιον τούτῳ τὸ ἀποστολικόν· αὐτὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν, καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας: ξη
τοῦ αὐτοῦ:

Καὶ ἁπλῶς εἰπεῖν· ἀπαιτεῖ σοι φησὶ τὴν ἁρμόζουσαν δικαιο ξθ

παρέξει διαγωγήν· ὥστε σε λαμπρὰς καὶ ἐπιδόξους ἔ-
χειν τὰς πράξεις:

Ἐπὶ δὲ ὁδοῖς σου ἔσται φέγγος. ὅτι ἐταπείνωσεν ἑαυτόν
καὶ ἐρεῖ ὑπερηφανεύσατο· καὶ κύφοντα ὀφθαλμοῖς σώσει·
ῥύσεται ἀθῶον, καὶ διασώθητι ἐν καθαραῖς χερσί σου:

:· ✱ τὰ β΄ οἱ δ΄. :: ✱ ::: ✱ ::: ✱ ε΄ καὶ δια-
φυλάξεται καθαρότητι χειρῶν ἕκαστος: Ὠριγένους:

Ἐπὶ τῶν ὁδῶν σου ἔσται φῶς, ἐὰν τηρήσῃς τὴν νουθεσίαν
τὴν ἐμοῦ· καὶ ἐπιστρέψῃ καὶ ἐξομολογήσῃ· ταῦτα μὲν οὖν
πρὸς τὸν Ἰὼβ ἔλεγεν, οὐ δικαίως δὲ ἔλεγεν· οὐ γὰρ ἡ-
μαρτήκει· πρὸς ἡμᾶς δὲ ἐὰν λέγηται, δικαίως λέγεται:

ρ̄ Ὀλυμπιοδώρου: Ὡς μὲν περὶ ἑτέρου δοκεῖ λέ-
γειν· πρὸς δὲ τὸν Ἰὼβ ὁ λόγος· διὰ τοῦτο φησὶν ἔσται ταῦτα
τῷ μετανοοῦντι, ὅτι ἐταπείνωσεν ἑαυτὸν καὶ ἐρεῖ, ὅτι
ὑπερηφανεύσατο ἡ καρδία μου ἐνδίκως ὑπέστης ἃ πέ-
λ̄ πονθα: Τοῦ αὐτοῦ: Κύφοντα ὀφθαλμοῖς·
τουτέστι τὸν ταπεινόφρονα:

+

+

+ προθεωρία κεφαλαίου ιζ:

+

Οἱ φίλοι τοῦ Ἰὼβ ἐλθόντες ἐπὶ παράκλησιν, καὶ τῶν ἀνηκέστων
συμφορῶν αὐτόπται γενόμενοι, ὡς μὲν εὐσεβῆ, οὐδ' ἐν
ἄλλο περὶ αὐτοῦ ἐλογίζοντο· ἀγνοοῦντες δὲ ὡς πεῖρα τίς ἐστι
βάσανος ἀρετῆς ἡ πληγή· ἄκμην ἐκεῖναι καταδικά-
-ζειν μὲν τὸν Ἰώβ, ὡς ἐφ' ἁμαρτίαις πάσχοντα· δίκαιον δὲ
τὸν θεὸν ἀποφῆναι, ὡς οὐκ ἀδίκως αὐτὸν τιμωρησάμενον.
ὁ δὲ ἀνδρειότατος Ἰώβ, οὐδὲ οὕτω μὲν ἄδικόν τι περὶ θεοῦ
ἐλογίζετο, οὐδὲ ἀπεμφαίνουσαν εἶχε δόξαν, περὶ τῆς
πάντα καλῶς καὶ δικαίως διεπούσης προνοίας τοῦ θεοῦ· οὐδὲν
δὲ ἑαυτῷ συνειδώς, τῆς τηλικαύτης τιμωρίας ἐπάξιον.
οὐκ ἀνέχεται τῆς ἀδίκου τῶν φίλων καταγνώσεως· πολλῶν
δὲ περὶ τούτων γινομένων αὐτοῖς διαλέξεων, καὶ νῦν τοῦ
σωφὰρ εἰς ἀσέβειαν πάλιν αὐτὸν καταδικάσαντος, φησὶ
πρὸς αὐτούς, ἀκούσατέ μου τῶν λόγων, ἵνα γνῶτε ὡς
οὐ παρακλητικὸν προσηνέγκατε λόγον· ἀλλ' ἐσφαλμένως
καὶ κατ' ἄγνοιαν προφάσεις φέρετε· διελέγχων δὲ τὴν
ἄγνοιαν προβληματικῶς φησὶ πρὸς αὐτούς· εἰ οἴδατε

τῆς προνοίας τοὺς λόγους ἀποκρίνασθέ μοι διατί ἀσε-
βεῖς εὐθηνοῦσιν, καὶ πανταχόθεν αὐτοῖς ἀφθόνως πε-
ριρρεῖ τὰ ἀγαθά, καὶ ἐν εὐπαθείᾳ διάγουσιν, θεόμαχα
φθεγγόμενοι ῥήματα· πλὴν ἅμα καὶ αὐτῶν ἡ εὐημερία
μεταπίπτει· πῶς δὲ καὶ ὁ μέν τις ἐν πλούτῳ καὶ πάσῃ
τῇ παρ' αὐτοῖς τελευτᾷ τὸν βίον· ὁ δὲ ἐν πικρίᾳ ψυχῆς,
οὐδενὸς τῶν ἐν βίῳ μετασχὼν ἀγαθῶν· εἶτα διαμέσου
παρενέθηκεν, πότερον οὐχὶ ὁ κ(ύριο)ς ἐστὶν ὁ διδάσκων σύ-
νεσιν καὶ ἐπιστήμην δεικνύς, ὡς ἀνέφικτα καὶ ἀκατάληπτα
τὰ τοῦ θ(εο)ῦ κρίματα· καὶ οὐ πάντες ἡμῖν γνώριμοι τῆς
πάντα καλῶς διοικούσης προνοίας οἱ λόγοι: +

+

† ἀπόκρισις τοῦ Ἰὼβ πρὸς τοὺς φίλους διαλεχθείς· κε(φάλαιον) ιξ:

+

› Ὑπολαβὼν δὲ Ἰὼβ λέγει· καὶ δὴ οἶδα ὅτι ἐκ χειρός μου ἡ
› ἔλεγξίς μου ἐστί· καὶ ἡ χεὶρ αὐτοῦ βαρεῖα γέγονεν ἐπ' ἐ-
› μῷ στεναγμῷ: τοῦ ἁγίου Ἰω(άννου):

β Οἶδα φησὶν ὅτι ἐκ τῶν ἐμῶν χειρῶν· τουτέστιν ἐκ τῆς πληγῆς·

καὶ οὐ καταφρονῶν ἔπραξα δοκεῖ τοὺς ἐλέγχους ἐπάγειν· καὶ γὰρ βαρέως ἐπέκειτό μοι ὁ θεός, ἐχρῆν με στένειν: ἄλλως:

Οἶδα φησὶν ὅτι ἐκ τῶν πράξεων τῶν αὐτοῦ αἱ κρίσεις αὐτοῦ, πλὴν ὑπὲρ τὴν ἰσχύν μου, ἐπελέχθη μοι ἤτοι ἔξω τῆς πράξεώς μου ὁ ἔλεγχος: τοῦ αὐτοῦ: τουτέστι τὸν κατή- 6

γορον μετ' ἐμαυτοῦ περιφέρω τὸν ἔλεγχον, τὴν ἀπόδειξιν τῶν κακῶν οἴκοθεν ἔχων: τοῦ αὐτοῦ:

Εἰ δὲ ἐκεῖ φησὶ παρ' ἄλλα τῶν τιμωριῶν τὴν ψῆφον φέρεται, τὸ εὑρεῖν αὐτόν· εἴθε ἐκεῖ ἦν δικάσασθαι φησὶ καὶ ἐντυχεῖν αὐτῷ καὶ μαθεῖν τίνα ἦν ἃ ἤμελλόν μοι πρὸς τοῦτον ἐρεῖν ἃ ἤμελλον λέγειν· ὅπερ πῶς ἐπέτυχεν ὅπερ ηὔχετο· τοῦτο γὰρ ἔσχατον γέγονεν ἐν τῷ βιβλίῳ· ἤθελον μαθεῖν τί μοι ἤμελλον ἐρεῖν· καὶ εἰ ἔμελλέ με ὁμοίως κολάζειν· ταῦτα δὲ εἶπεν, οὐχ ὡς καταγινώσκων ἀδικίαν:

Τίς δ' ἄρα γνοίη ὅτι εὕροιμι αὐτόν, καὶ ἔλθοιμι εἰς τέλος· εἴποιμι δὲ ἐμαυτοῦ κρίμα· τὸ δὲ στόμα μου ἐμπλήσω ἐλέγχων· γνοίην δὲ ἰάματα ἅ μοι ἐρεῖ· αἰσθοίμην δὲ τίνα μοι ἀπαγγελεῖ· καὶ εἰ ἐν πολλῇ ἰσχύϊ ἐπελεύσεταί μοι:

Ὀλυμπιοδώρου: Ἀλλ' εἴθε φησὶ τῷ θείῳ παρέστην F

θρόνῳ, καὶ τὴν ἐκεῖθεν ἐδεξάμην ἀπόφασιν· τὸ γὰρ ἔλθοιμι εἰς τέλος, τοῦτο σημαίνει· ἀντὶ τοῦ ὅπως τὸ πέρας τῶν κατ' ἐμὲ γνωρίμων γένηται, καὶ ἵνα γεγονὼς παρὰ τὸ θεῖον ἐκεῖνο βῆμα ἀπολοφύρωμαι πάντα τὰ κατ' ἐμέ· τοῦτο γάρ ἐστι τὸ εἴποιμι δὲ ἐμαυτοῦ κρίμα, ἀντὶ τοῦ

ἃ ἐκρίθην ἀπέπονθα· εἴποιμι δὲ καὶ τὰ ἐμοὶ βεβιωμένα,
ὃ δηλοῖ τὸ στόμα μου ἐμπλήσω ἐλέγχων, ἵνα τί ποτε μά-
θω ποίαν ἐπιφέρει τὴν κρίσιν. πόθεν ἰσχυρὸς ἐπεξελ-
χεταί μοι σφοδρότερόν με τιμωρούμενος· ἢ ἀντικοπὴ τῆς
ἀπειλῆς. καὶ γὰρ πέποιθα ὡς ἀληθής ἐστιν ὁ θεός, καὶ ἀ-
προσωπολήπτως τοὺς ἐλέγχους τουτέστι τὰς κρίσεις ἐξάγει·
καὶ πέπεισμαι λίαν ἔκ γε τούτων ἐλέγχων. ὡς νενικημένην
αὐτὴν καθ' ὑμῶν ἔλαβον ψῆφον. τὸ γὰρ εἰς τέλος, ἀντὶ
τοῦ τετελειωμένου λέγεται. ταῦτα δὲ φάσκει τοὺς φίλους ἐλέγ-
χων ὡς οὐχ ὑγιεῖς τὰς περὶ αὐτοῦ περὶ ποιουμένους δόξαν:

Τοῦ ἁγίου Ἰω: Τίς δ' ἄρα μοι δῴη αὐτὸν ἀκού-
οντά μοι καὶ ἀποκρινόμενόν μοι:

Εἴπερ σὺ ἀπειλῇ μοι οὐ χρήσεται· ἀλήθεια γὰρ καὶ ἔλεγχος
παρ' αὐτοῦ. ἐξαρθείη δὲ εἰς τέλος μου τὸ κρίμα· εἰς γὰρ πρῶ-
τα πορεύσομαι καὶ οὐκέτι εἰμί· τὰ δὲ ἐπ' ἐσχάτοις τί οἶδα·
ἀριστερὰ ποιήσαντος αὐτοῦ καὶ οὐ κατέσχον:
ἐὰν μόνον αὐτὸς μὴ ἐπιτιθέσθω μοι:: ※ ἐκ β̅
οἱ β̅: Τοῦ ἁγίου Ἰω: Καὶ γὰρ εἰ πολλὴ ἰσχὺς
χρήσεταί μοι καὶ ἀπειλῇ, ἀλλ' ὅμως οἶδα ὅτι ἀλήθεια παρ' αὐτῷ
ἐστί: Τοῦ αὐτοῦ: Τοῦτο ηὔξατο. τοῦτο ὅ φησιν,
ὥστε πέρας ἐπιτεθῆναί μου τοῖς δεινοῖς. εἶτα φησὶν ὅτι ταῦτα
ἤθελον γενέσθαι, ὥστε ἀποθανεῖν, οὐχ ὡς νῦν μέλλοντος
αὐτοῦ κρίνειν: Ἰουλιανοῦ: Ἀλλ' ὥσπερ αὐτὸν
οὐκ αἰνίττεται ὥσπερ εἶπεν· ἀλλὰ γὰρ γυμνὴν αὐτήν μοι σημαί-

κατὰ τὴν ἀκρίβειαν· οἷον μὴ μόνον ὅτι ἥμαρτες, ἀλλὰ καὶ τὸ εἶδος αὐτό: Παρ' Ἑβραίοις τὸ τέλος καὶ ἡ νίκη διὰ μιᾶς σημαίνεται λέξεως: Ὀλυμπιοδώρου:

Ἀριστερὸν ὁ σύμμαχος ἐκδέδωκεν· ἰδοὺ ἐὰν προέρχομαι αὐτόν, ἀφανής ἐστι, κἂν ἀκολουθῶ οὐκ αἰσθηθήσομαι· ὃ δὲ λέγουσιν οὗτος· ἡδέως μὲν φησὶν ὑπὸ τοῖς θείοις ὀφθαλμοῖς ἔχω κρίνεσθαι τὰ κατ' ἐμέ, ἀλλά τί πάθω· ἀόρατός ἐστι τὴν φύσιν ὁ θεός· εἴτε γὰρ ἔμπροσθεν ἢ ὄπισθεν, ἢ εἰς τὰ δεξιὰ καὶ εὐώνυμα αὐτὸν ἐπιζητήσω, ἀφανής ἐστι πανταχῶς· τὸ δὲ οὐκέτι εἰμί· ἀντὶ τοῦ ἐὰν ἐπὶ πλέον ἐπεκτείνω τὴν ἔρευναν, ἔξω ἐμαυτοῦ γίνομαι καὶ ὡς σκοτοδινιῶ λοιπὸν ζητῶν καταλαβεῖν τὸν ἀκατάληπτον· ταῦτα δὲ ἔφη οὐχ ὡς σωματικῶς ἢ μεταβατικῶς τοὺς τόπους τοῦ θεοῦ περινοστοῦντος· ἀλλὰ δεῖξαι θέλων ὡς πανταχοῦ μὲν ὁ θεὸς πάρεστιν· ἡμῖν δὲ ἀνέφικτος καὶ ἀόρατος τυγχάνει:

Τοῦ ἁγίου Ἰω(άννου): Οἶδε φησὶ τὴν ὁδόν μου, καὶ ὅτι ἐσπούδασα ἀεὶ ὑπακούειν αὐτῷ· ἀλλά τις ὅταν κρίνῃ ἀντερεῖ αὐτῷ:

Περιβαλεῖ δεξιὰ καὶ οὐκ ὄψομαι· οἶδε γὰρ ἤδη ὁδόν μου. διέκρινε δέ με ὥσπερ χρυσίον· ἐξελεύσομαι δὲ ἐν ἐντάλμασιν αὐτοῦ· ὁδοὺς γὰρ αὐτοῦ ἐφύλαξα καὶ οὐ μὴ ἐκκλίνω· ἀπὸ ἐνταλμάτων αὐτοῦ καὶ οὐ μὴ παρέλθω· ἐν δὲ κόλπῳ μου ἔκρυψα τὰ ῥήματα αὐτοῦ:

∴ ※ ∴ Ἃ ἐπονήκασιν· παλοῦτο ἐπ' αὐτῶν

θέλω κριθῆναι. ::: ※ ::: ἐν τῷ ἐξετάσαι ὁδούς μου.

::: ἐν τῷ διανοητικῷ. Ὀλυμπιοδώρου:

ε Διὰ τοῦτο δέ φησιν ἐπὶ τοῦ θαρρῶ τὸ κρίνεσθαι, ὅτι καὶ πρὸ τῶν ἐμῶν λόγων, τὰς ἐμὰς ἐπίσταται πράξεις. καὶ εἰ τούτου γε ἔτυχον, ἀπέφηνεν ἄν με καὶ χρυσίῳ καθαρόν. καὶ γὰρ ὁδεύσα πάντων ἐντολῶν αὐτοῦ. ἐντολὰς δὲ λέγει, οὐ τὰς ἐγγράφους· πρὸ νόμου γὰρ ἐτύγχανον, ἀλλὰ τὰς τῇ φύσει συνεσπαρμένας, τὰς κατὰ διάνοιαν ὑπὸ θεοῦ λαλουμένας. τὸ δὲ καὶ οὐ μὴ ἐκκλίνω, θαυμάτων ἄξιον. καὶ γὰρ μυρία πάσχων φησίν, οὐ παραιτήσομαι τῆς εὐθείας ὁδοῦ. ὅμοιον τῷ λέγοντι. τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ:

ε̄ Διὰ τοῦτο ἐπ' αὐτοὺς θέλω κριθῆναι: Τοῦ αὐτοῦ:

ϛ̄ Ἐν δὲ τῷ βάθει τῆς διανοίας μου φησὶ τὰς θείας ἐντολὰς ἐφύλαξα. καὶ ὥσπερ τινὸς ἀνθυπενηνοχότος· τίνος οὖν ἕνεκα τούτοις περιέπεσας τοῖς πόνοις, ὀξέως ἐπάγει· εἰ δὲ θεὸς ἐδοκίμασε ταῦτά με ὑπομεῖναι, τίς ἂν ἀντειπεῖν ἔχοι:

Εἰ δὲ καὶ αὐτὸς ἔκρινεν οὕτως, τίς ἐστιν ὁ ἀντειπὼν αὐτῷ. ὃ γὰρ αὐτὸς ἠθέλησε καὶ ἐποίησε. διὰ τοῦτο ἐπ' αὐτῷ ἐσπούδακα. νουθετούμενος δὲ ἐφρόντισα αὐτοῦ. ἐπὶ τούτῳ ἀπὸ προσώπου αὐτοῦ κατασπουδασθῶ:

:: ἀντὶ τοῦ οὐδείς. :: ※. ἐκ τῶν ἀκυ καὶ θ' οἱ β' τετάρακται:

Εἰ δὲ καὶ δικαιοπραγοῦντα κατέχειν:

Συντρέχουσαν ἔχει τῇ θελήσει τὴν δύναμιν: Ὀλυμπιοδώρου:

Διὰ τοῦτο φησὶν ἀντὶ τοῦ καὶ ἔμαθον ἀνάσχεσθαι τὰ-

-ρατηκα οὐκ εἰδὼς ἐφ' οἷς ἐπλήξέ με ὁ θεός, πλὴν καὶ ἐλεγχόμενος εὐχαρίστως φέρω καὶ διὰ φροντίδος ἄγω μηδέν τι περὶ αὐτοῦ παλίμφημον ἐννοεῖν· ἐπαναλαμβάνει δὲ πάλιν τὸ αὐτὸ νόημα ὅπερ τῶν ἀθυμούντων ἴδιον καὶ λέγει, ὅτι τοιαῦτα ἐμαυτῷ συνειδώς· εἶτα πληγεὶς ἀμηχανῶ καὶ θορυβοῦμαι· πολλαχοῦ γὰρ ἐνταῦθα τῶν ῥημάτων ἐναλλάττουσιν οἱ χρόνοι: ~

ιε
> Κατανοήσω καὶ πτοηθήσομαι ἐξ αὐτοῦ· κύριος δὲ ἐμα-
> λάκυνε τὴν καρδίαν μου· ὁ δὲ παντοκράτωρ ἐσπούδασέ
> με· οὐ γὰρ ᾔδειν ὅτι ἐπελεύσεταί μοι σκότος· πρὸ προ-
> σώπου δέ μου ἐκάλυψέ μοι γνόφος· διατί δὲ κύριον ἔλαθον
> ὧραι· ἀσεβεῖς δὲ ὅριον ὑπερέβησαν, ποίμνιον σὺν
> ποιμένι ἁρπάσαντες:

※ σ' ἐθορύβησέ με· α' θ' καιροί· α' προσέλαβον: τοῦ ἁγίου Ἰω(άννου):

Οὐχ ἥμαρτον φησὶ καὶ τί τοῦτο· οὐ γὰρ μόνον ἀπὸ τῆς τῶν ἁμαρτημάτων ἐξουσίας ἔξεστι κολάζειν θεῷ, ἀλλὰ καὶ τούτων χωρὶς τῶν ἁμαρτημάτων λέγων: Ὀλυμπιοδώρου: ιε

τ ὁ μὲν ἐμαλάκυνε, ἀντὶ τοῦ τῆς ψυχῆς τοὺς τόνους ἐξέλυσεν· τὸ δὲ οὐ γὰρ ᾔδειν, ἀντὶ τοῦ οὐ προσεδόκων. σκότος δὲ καὶ γνόφον πρὸ προσώπου λέγει, τὸ τῶν συμφορῶν ἀδιεξόδευτον: τ ὅ τῶν μαστίγων ἄδηλον, ἀδιεξόδευτον: Ὀλυμπιοδώρου: ιη

Εἰκὸς τοίνυν πάλιν τοὺς φίλους πρὸς τὰ ῥηθέντα τῷ Ἰὼβ ἀντιλέγ(ειν) ζ

ὡς ταῦτα πάσχεις, οὐ καθαρὸς ὢν ὡς σὺ φῄς· ἀπὸ τῶν πλημμε-
λημάτων σου τίνων τὰς δίκας, προσγνοὺς οὖν ἀπήλυσω τῶ ἀντιπό-
νων, ἐπάγει· πῶς τοίνυν τινὰς ἀνήκεστα πεπονθότων· ὁ
δὲ θεὸς ὥσπερ τῶν καιρῶν ἐπιλελησμένος ἀνέχεται τὰς ἀντα-
ποδόσεις. τὸ διατί οὖν προβληματικῶς ὡς πρὸς τοὺς φίλους
εἴρηται. τὸ δὲ ἐξέκλιναν ἀδυνάτους ἐξ ὁδοῦ δικαίας,
τουτέστι τοὺς ἀσθενεῖς καταδικάζουσι, τὰς τοῦ δικαίου ψήφους
ἐπ᾽ ἄλλοις παρατρέποντες: Ὧραι οἱ καιροὶ τῆς
κρίσεως τῶν ἀσεβῶν· διατί οὖν κατὰ θρόνου ἀνταποδίδωσιν
ἔπαθε: τοῦ ἁγίου ἰω(άννου): Ὃ καὶ ἀκολουθεῖ
ἀνθρωπίνως γέγονε τοῦτο φησίν, ἀπροσδόκητον κακόν· στο-
μάχομαι τῆς τοῦ θεοῦ χειρὸς εἶναι τὴν πληγήν. καὶ καλῶς
εἶπε πρὸ προσώπου μου· οὐ γὰρ κοινὸν τὸ σκότος ἐστίν, ἀλλὰ
τῆς ἐμῆς ἀθυμίας: ~

ὑποζύγιον δὲ ὀρφανῶν ἀπήγαγον καὶ βοῦν χήρας ἠνεχύρασαν.
ἐξέκλιναν ἀδυνάτους ἐξ ὁδοῦ δικαίας· ὁμοθυμαδὸν δὲ
ἐκρύβησαν πραεῖς γῆς· ἀπέβησαν δὲ ὥσπερ ὄνοι ἐν ἀγ-
ρῷ, ὑπὲρ ἐμοῦ ἐξελθόντες τὴν ἑαυτῶν πρᾶξιν· ἡδύνθη
αὐτῶν ἄρτος εἰς νεωτέρους:

οἱ γ´ ὄνον· :: σ´ παρέτρεψαν πενήτων ὁδόν:
θ´ ※, σ´ ὁμοῦ ἀφανεῖς ἐποίησαν πραεῖς γῆς·
α´ ἐξέρχονται ἐμπορευταί, ἀπεῶς καταπατοῦντες
τοὺς ἀνθρώπους. ::: τάξιν· οὐ κεῖται ἐν τῷ ἑβραϊκῷ:
θ´ ※ σ´ ἡδὺς ἑκάστῳ αὐτῶν ἄρτος εἰς νεανίσκους:

Διωκόμενοι ὑπ' αὐτοῦ ἢ φεύγοντες τὸ ἄδικον :

ὀλυμπιοδώρου : Οἱ ἀσεβεῖς φησὶν ἐν ὑποκρί- ι
σει τοῦ πονεῖν ὑπέρ τινος λαλῶν. ὥσπερ ἐξερχόμενοι τῶν
ἑαυτῶν πράξιν, τουτέστιν ἐπικρύπτοντες τὴν φανερὰν πο-
νηρίαν, ἐγκαθέτους τοὺς πτωχοὺς ἐξελέγχοντι. ἀποβαί-
νουσι δὲ λοιπὸν, καθὰ καὶ ὄντες μετ' ἐξουσίας τὰ προσόντα
ληϊζόμενοι : τοῦ ἁγίου ἰω :

Τουτέστι πάντων καταφρονῆσαι. πάντων καταγελάσαι. ι
οὐδεὶς αὐτοὺς ἀδικεῖ. οὐδὲ κακῶς ποιεῖ. αὐτὸς δὲ οὕτω πεπεῖ-
σται τὴν περιουσίαν τούτων, ὥστε ποιῆσαι μετὰ ταῦτα, καὶ
ἐξετάσει τὰ πεπλημμελημένα τούτοις, καὶ οὐ παρόψεται :
ἐπιθυμητικῶς καὶ ἔκφρον ὀξέως : ὀλυμπιοδ : ια

Ἐπί φησι τοῖς ἀσεβέσι τὸ τρέφειν νεανικούς τινας, ἐφ' ὧν ια
διωκομένων αὐτῶν τὰς ἐπηρείας ἐργάζεσθαι :

Ἀγρὸν πρὸ ὥρας οὐκ αὐτῶν ὄντα ἐθέρισαν. ἀπόλαυσι δὲ
ἀμπελῶνες ἀσεβῶν ἀμισθὶ καὶ ἀσιτὶ ἠργάσαντο. γυ-
μνοὺς δὲ πολλοὺς ἐκοίμησαν ἄνευ ἱματίων. ἀμφίασιν
δὲ ψυχῆς αὐτῶν ἀφείλοντο. ἀπὸ ψεκάδων ὀρέων ὑγραί-
νονται, παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σκέπην πέτρας
περιεβάλοντο : λιπτεῖ : τῆς
παλαιᾶς ... :: θ ⁂

Ὁ μὲν ἀκύλας οὕτω φησίν. ἐπέρχονται ἐν καιρῷ τῷ ofo
αὐτῶν ὀρθρίζοντες εἰς ἄγραν. ὑπὲρ ἐμοῦ δὲ. ὑπὲρ
οὗ ἐγὼ πάσχω. τὸ κοινὸν γὰρ ἀναλαμβάνει πρόσωπον;

ἀπόλιδες γινόμενοι: ἄλλως: ὑπερβάντες τὴν ἑ-
αυτῶν ἀξίαν ὑπὲρ ἄνω μου: καὶ ἄλλως: ὥσπερ ἐγώ
φησὶν ἐν τοῖς ἰδίοις ἐξηρχόμην αὐτοῖς, οὕτως οἱ ἀσεβεῖς ἐν τοῖς
ἐμοῖς χωρίοις εἰσιόντες, τὰ ἐμὰ ἐπλεονέκτουν: Ὀλυμπιοδώρου:
ιβ Γυμνοὺς ἐκοίμησαν, αὐτοὺς γυμνώσαντες ἡσυχάσαι παρεσκεύ-
ασαν· ὑπὸ γὰρ τοῦ δέους οὐκ ἀντέλεγον οἱ γυμνούμενοι· ἀμ-
φίασιν δὲ ψυχῆς λέγει τὸν ἔσχατον χιτῶνα: τοῦ αὐτοῦ:
ιγ Ληστρικὸν ὑποβάλλει βίον· οἱ γὰρ τοιοῦτοι τὴν ἐρημίαν καταλαμβά-
νοντες· αἴθριοι δὲ τὰ πολλὰ διατρίβουσιν· εἰ δὲ ποτὲ καὶ
σκέπεσθαι δέοι· φωλεοὶ τούτοις ἡ σκέπη καὶ πέτραι καὶ φάραγγες:
Ἥρπασαν ὀρφανὸν ἀπὸ μαστοῦ· ἐκπεπτωκότα δὲ ἐταπείνω-
σαν· γυμνοὺς ἐκοίμησαν ἀδίκως· πεινώντων δὲ τὸν ψωμὸν
ἀφείλαντο· ἐν στενοῖς ἀδίκως ἐνήδρευσαν· ὁδὸν δὲ δικαίων
οὐκ ᾔδεισαν· οἳ ἐκ πόλεως καὶ οἴκων ἰδίων ἐξεβάλλοντο· ψυχὴ
δὲ νηπίων ἐστέναξε μέγα· αὐτὸς δὲ διατί τούτων ἐπισκοπὴν οὐ
πεποίηται: ∵ καὶ πτωχὸν ἠνεχύρασαν.
:: ἐπὶ τοῖς πονηρίας· ::: ἐξ ἀληθείας· ::: ὁ θεὸς
δὲ οὐ πεποίηκεν ἐπισκοπὴν: Ὀλυμπιοδώρου:
ιδ Μεγίστης ὠμότητος, τὸ μηδὲ τῶν ὑπομαζίων φείδεσθαι,
καὶ τοῖς ἀπόροις ἐπιτίθεσθαι, ἐκπεπτωκότα γὰρ πτωχὸν
σ ὁ σύμμαχος ἐκδέδωκεν: Ἐκπειράσει ποιήσαντες
θ τῶν ὑπαρχόντων: τοῦ αὐτοῦ: Ἵνα ἤδη ὅ-
τι φόβῳ συνέστελλον, ὡς μηδὲ τὴν βίαν ἀποδύρεσθαι
ιε τοὺς ἀδικουμένους: τοῦ αὐτοῦ: Ἐν γὰρ ταῖς

πλατείαις ἴσως ἦν ποῦ καὶ διαδρᾶναι τὸν ὕπαιθρον ἐνε-
δρευόμενον: **Τοῦ αὐτοῦ:** Τοῦτο πρὸς τὸ γυμνοὺς ιε
δὲ ἐκοίμησαν ἀδίκως· οὗτοι γὰρ οἱ γυμνοί φησιν ὑπὸ
τῶν παρανόμων ταῦτα πεπόνθασιν· ἤγουν οἱ πρώην φυ-
γάδες ταῦτα ἔπραττον: **Τοῦ αὐτοῦ**
Ὡς πρὸς τοὺς φίλους πάλιν διαπορῶν λέγει· εἰ ἁμαρτή- ιζ
ματα πάντως αἱ κολάσεις, διατί τοὺς ταῦτα πράξαντας
πολλάκις ἀνεπιστρόφους εἴασεν ἐνταῦθα ὁ θεός:
Ἐπὶ γῆς ὄντων αὐτῶν καὶ οὐκ ἐπέγνωσαν· ιη ὁδὸν δὲ δικαιο-
σύνης οὐκ ᾔδεισαν, οὐδὲ ἀτραποὺς αὐτῆς ἐπορεύθησαν.
κ γνοὺς δὲ αὐτῶν τὰ ἔργα, παρέδωκεν αὐτοὺς εἰς σκότος.
καὶ ιθ νυκτὸς ἔσται ὡς κλέπτης· καὶ ὀφθαλμὸς μοιχοῦ ἐ-
φύλαξε σκότος· λέγων οὐ προνοήσει με ὀφθαλμός, καὶ
ἀποκρυβὴν προσώπου ἔθετο:

⁘ ✳ ⁘ ✳ ⁘ ✳ **Ὀλυμπιοδώρου:**

Τὴν μετάνοιαν κρεῖττον ἐμφαίνει· ἔθος δὲ τῇ θείᾳ γραφῇ τὰ ιη
μηδέπω γινόμενα, ὀφείλοντα δὲ γενέσθαι, ὡς πα-
ρόντα πολλάκις ἐξηγεῖσθαι: **Τοῦ ἁγίου Ἰω:**
Τουτέστι μαθὼν τὰ ἔργα, ἢ ὅτι ἐξετάσας καὶ βασανίσας κ
τουτέστι γνούς: **Ὀλυμπιοδώρου:**
Πάλιν ἐπαναλαμβάνει καὶ φησὶν ὅτι καὶ ὁ κλέπτης καὶ ὁ μοι-
χὸς, καὶ ὁ τοιχωρύχος τὴν νύκτα συνεργὸν ἔχουσιν,
ὡς μηδενὸς αὐτοὺς ἐφορῶντος· ἐπειδὴ καὶ σκότους ἄ-
ξια πράττουσιν: **Ἰουλιανοῦ:**

ιϛ Πάλιν ὡς κλέπτης, οὐχὶ δὲ κλέπτης, ὅτι τοὺς μὲν ἀνθρώπους ἔκλεπτεν· τὸν δὲ θεὸν οὐκ ἐλάνθανεν: ιως:

Ὥσπερ πρὸς αὐτόν, ὡς κλέπτης· ὡς δὲ πρὸς ἡμᾶς κλέπτης: καὶ ἄλλος δὲ σκέπασιν προσώπου περιθέμενος:

Διώρυξεν ἐν σκότει οἰκίας· ἡμέρας ἐσφράγισαν ἑαυτούς, οὐκ ἐπέγνωσαν φῶς· ὅτι ὁμοθυμαδὸν τὸ πρωῒ αὐτοῖς σκιὰ θανάτου· ἐλαφρός ἐστιν ἐπὶ πρόσωπον ὕδατος· καταραθείη ἡ μερὶς αὐτῶν ἐπὶ γῆς:

※ ※ ὡς ἐν σφραγῖδι κρύπτουσιν ἑαυτούς.

※ ὅτι γνώσεται ταραχὰς σκιᾶς θανάτου·

※ καὶ ἐὰν γένηται αὐτοῖς ὄρθρος σκιὰ θανάτου:

※ Ὀλυμπιοδώρου:

κ Ἐναποκλείουσι φησὶν ἑαυτοὺς τὴν ἡμέραν, προϊέναι δεδοικότες εἰς φῶς, ἵνα μὴ ἁλῶσιν· ὥσπερ γὰρ ἡ σκιὰ προτρέχει τοῦ σώματος, καὶ πλησίον εἶναι τοῦτο δηλοῖ· οὕτω καὶ οὗτοι διαυγαζούσης ἡμέρας τῷ συνειδότι βαλλόμενοι, πλησίον εἶναι προσδοκῶσι τὸν θάνατον· ἡ δὲ τοιαύτη προσδοκία, ταραχῆς αὐτῶν ἐμπίπλησι τὰς ψυχάς:

τοῦ αὐτοῦ: Πῶς ἀσεβὴς φησὶν οὕτως ἐλήλαται ὑπὸ τῶν πειρασμῶν, ὡς ὑπὸ φορᾶς ὑδάτων, ἐλαφρόν τι καὶ κοῦφον παρασυρόμενον· εἶτα ὁ φιλόθεος Ἰώβ, οὐ διὰ τὴν ἀνοχὴν τοῦ θεοῦ ἀνέχεται τῷ πλέον ἔχειν. ἀρετῆς κακίαν· ἀλλὰ καταρᾶται τὴν μερίδα τῶν ἀσεβῶν. καί φησι τὰ αὐτοῖς συμβησόμενα: τοῦ αὐτοῦ:

ἀντὶ τοῦ ἅπαξ ποιησαμένοιν μὴ δὲ εἰς παῖδας τοὺς ἐξ ἀ- κϐ
δικίας παραπέμψωσι πλοῦτον· εἰς τὸ ποῦ τὸν γὰρ ἀσεβεῖ
φησὶν ἐλήλακασιν ὡς καὶ τῶν κεκακωμένων παίδων
ὀρφανῶν, μετὰ τὰ μελείαν ἁρπάξειν:

ἀναφανείη δὲ τὰ φυτὰ αὐτοῦ ἐπὶ γῆς ξηρά· ἀγκαλί-
δα γὰρ ἀσεβῶν ὀρφανῶν ἥρπασαν· εἶτα ἀνεμνήσθη
αὐτοῦ ἡ ἁμαρτία, ὥσπερ δὲ ὁμίχλη δρόσου ἀφανὴς
ἐγένετο, ἀποδοθείη δὲ αὐτῷ ἃ ἔπραξεν· συντρι-
βείη δὲ πᾶσα ἄδικος ἴσα ξύλῳ ἀνιάτῳ· στεῖραν γὰρ
οὐκ εὖ ἐποίησε· καὶ γύναιον οὐκ ἠλέησεν· θυμῷ δὲ κα-
τέστρεψεν ἀδυνάτους: Ὀλυμπιοδώρου:

τουτέστιν εἰς μνήμην ἐλεύσεται, καὶ ἀναπόδραστος αὐτῶν κε
ἔσται ἡ τιμωρία· εἰ καὶ ἐν τῷ τέως ὁ θεὸς διὰ χρηστότητα
τὰς κολάσεις ὑπερτίθεται· ὥσπερ οὖν φησὶν ἡ ἐκ τῆς δρό-
σου συμβαίνουσα ὁμίχλη τῆς ἡλιακῆς θέρμης ἀναλι-
σκούσης τὴν ἰκμάδα ῥᾳδίως ἐξαφανίζεται, οὕτω
καὶ τῆς θείας δίκης ἐπελθούσης οἱ ἀσεβεῖς παραναλί-
σκονται: Εἰ δὲ καὶ ὑπομνήσει ὁ πτωχὸς περὶ τῶν κϛ
ἰδίων εὐθὺς ἀφανίζεται: Ὀλυμπιοδώρου:

τὸν ἐπιμένοντα τῇ κακίᾳ λέγει· συντριβὲν γὰρ ξύλον,
θεραπείαν οὐκ ἐπιδέχεται πρὸς τὸ ὑγιασθῆναι, ἀχρεῖον
γινομένου μετὰ τὴν συντριβήν: Τοῦ αὐτοῦ:

στεῖραν εἶπε καὶ γύναιον, ἵνα εἴπῃ τοὺς ὀλίγου ἀξίους:

κζ
ἀναστὰς τοιγαροῦν οὐ μὴ πιστεύσῃ κατὰ τῆς ἑαυτοῦ

ζωῆς, καταπιασθεὶς μὴ ἐλπιζέτω ὑγιασθῆναι, ἀλλὰ πεσεῖται νόσῳ· πολλοὺς γὰρ ἐκάκωσε τὸ ὕψωμα αὐτοῦ· ἐμαράνθη δὲ ὥσπερ μολόχη ἐν καύματι· ἢ ὥσπερ στάχυς ἀπὸ καλάμης αὐτομάτως ἀποπεσών· εἰ δὲ μή, τίς ἐστιν ὁ φάμενος ψευδῆ με λέγειν, καὶ θήσει εἰς οὐδὲν τὰ ῥήματά μου:

:: ἀντὶ τοῦ οὐκ ἐλπίζει ἀποβλέπουσιν εἰς τὰς ὁδοὺς αὐτοῦ· :: πό πεσεῖται· ::: ἀντὶ τοῦ μαρανθείη· ::: ὁ ἀλλά γε· ::: ὁ καὶ τάξει παρὰ τῷ θεῷ τὸν λόγον ὑπὲρ ἐμοῦ:

κε Ὀλυμπιοδώρου: Ταῦτα οὖν φησὶν ἀσεβὴς καθ᾽ ἑκάστην ἡμέραν ἀντιστάμενος, οὐ πιστεύει ὅτι ζήσεται, ἀλλὰ μένει ὑπόδικος καὶ περίφοβος ὤν· οὐδὲν γάρ ἐστι φόβος, εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμοῦ βοηθημάτων, ὡς ὁ σοφὸς εἴρηκε Σαλομών. τὸ δὲ μὴ ἐλπιζέτω, ἀντὶ τοῦ δύσελπίς ἐστιν ὑπὸ τῆς ἰδίας συνειδήσεως τιτρωσκόμενος:

Τοῦ αὐτοῦ: Ἐμαράνθη ἀντὶ τοῦ μαρανθείη, ὅμοιον τὸ τοῦ Δαβίδ, ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. μάλιστα δὲ εὖ ἔθηκε τὸ αὐτομάτως ἀποπεσών· ἑκάστῳ γὰρ ἡ ἰδία ἁμαρτία τιμωρὸς γίνεται·

κη Τοῦ αὐτοῦ: Ἑπόμενος οὖν φησι ταῦτα πράξω, παρεὶς τὰς τῶν ἀσεβῶν ἀδικίας, καὶ τῆς θείας ἀνεξικακίας, καὶ τῆς δικαίας ἀνταποδόσεως. εἰ δὲ ψευδῆ τὰ λεχθέντα, ὁ βουλόμενος παρελθέτω, καὶ ἐλεγξάτω τὸν λόγον. τί δὲ ἐκ τῶν εἰρημένων συνάγει; ὅτι πρέπει τοῖς φησὶν ἐκ τῶν συμφορῶν ἀσεβέσι

μου καταψη-

μοι καταψηφίζεσθαι καὶ καταλιπόντες τὴν αὐτῶν ἔργων
ἐξέτασιν : +

+

## + προθεωρία κεφάλαιον ιη

+

Ὥσπερ ὁ Ἐλίφαζ ἀπορήσας πρὸς τὰ προβληματικῶς ὑπὸ τοῦ
Ἰὼβ εἰρημένα, οὐκ εὐθυδικίαν ἠγωνίσατο, ἀλλ' ἐπὶ τὰς
κατὰ τοῦ δικαίου διαβολὰς ἔτρεψε τὸν λόγον, οὕτω καὶ ὁ Βαλ-
δάδ, οὐκ ἔχων ἐλέγχειν τοῦ Ἰὼβ τοὺς λόγους, μετοχετεύει
τὴν ἀπολογίαν ὡς ἐπαιρόμενον κατὰ θεοῦ καὶ μέγα φρο-
νοῦντα ἐπὶ τῇ οἰκείᾳ θεοσεβείᾳ διαβάλλει, θαυμα-
στῶς μὲν τὰ περὶ θεοῦ φιλοσοφῶν· ἐξευτελίζων δὲ τὴν
αὐτοῦ φύσιν, καὶ μηδὲν τῶν καθαρωτάτων καθαρὸν εἶναι διο-
ριζόμενος, συγκρίσει τῆς θείας καθαρότητος :

+

+

+ Τρίτη τοῦ βαλδὰδ πρὸς τὸν ἰὼβ ἀντίρρησις

κε(φάλαι)ον ιη :

+

› Ὑπολαβὼν δὲ βαλδὰδ ὁ σαυχίτης λέγει· τί γὰρ προοίμιον
› ἢ φόβος παρ' αὐτοῦ· ὁ ποιῶν τὴν σύμπασαν ἐν ὑψίστῳ· μὴ
› γάρ τις ὑπολάβοι ὅτι ἐστὶ παρέλκυσις πειραταῖς :

∴ α' θ' ἐξουσίας· :: οἱ λ' εἰρήνην· ∴ ε' καὶ
ἔστιν ἀριθμὸς τῶν στρατιῶν αὐτοῦ : Ὀλυμπιοδώρου :

κθ Ἐπειδὴ μέγα φησὶν ἐπὶ θεοσεβείᾳ φρονεῖς, μάνθανε
ὡς ἀρχὴ σοφίας καὶ θεοσεβείας, ὁ θεῖος τυγχάνει φόβος,
σὺ δὲ ἀφόβως λαλεῖς· ὅτι τοίνυν τὸ προοίμιον τῆς θεοσε-
βείας μὴ κτησάμενος, πῶς τοῖς ἄλλοις αὐτῆς μέρεσι ἐγκαυ-
κθ χᾶσθαι ἐπιχειρεῖς : Ἄλλο : Πρὸς τὸ εἰρηκέναι
τὸν ἰὼβ· τίς γὰρ ἂν γνοίη ὅτι πορεύσομαι πρὸς αὐτόν φη-
σὶν ὅτι πρὸ πάντων καὶ τὸ μνησθῆναι θεοῦ φοβερόν :
κθ Τοῦ ἁγίου Ἰω(άννου) : Τουτέστι πάντα φόβου καὶ τρόμου
καὶ οὐκ ἔστιν οὐδεὶς ὃς διαφεύξεται τὴν χεῖρα διαφυγεῖν ἐ-
κθ κείνην : Μεθοδίου : Ἤκουσεν ὁ φόβος αὐτοῦ,

ἀλλ' ὁ φόβος παρ' αὐτοῦ· ὁ οὖν αὐτοῦ φόβος ἔργον ἡμέτερ(ον)
αὐτοῦ ἐφ' ἡμῖν ἐρχόμενος· ἡ δὲ παρ' αὐτοῦ χάρις καὶ δω-
ρεά ἐστιν, αὐτοῦ τὸ λεῖπον ἡμῖν ἀναπληροῦντα ὁμοίως
ἔχει καὶ τὸ πρόσθεν ἡμῖν ἐστιν· λείπει γὰρ ἡμῖν φησὶ τὸ
ἀπὸ τῆς ἐπὶ δωρεᾶς, ἀλλ' οὐ τὸ ἐφ' ἡμῖν: Ὀλυμπιοδώρου:

Εἰς φόβον ἐνάγων ὡς οἴεται τὸν Ἰώβ, τοῦ θεοῦ τὴν δύ- λ̄
ναμιν ἐξηγεῖται καὶ φησίν, ὅτι ὁ θεὸς ὑπεράνω πάντων
ὢν τὰ πάντα ἐδημιούργησεν: [illegible] καὶ ἄλλως:

Τῷ ἐν ὑψίστῳ αὐτὴ τοῦ εἶναι τῷ θεῷ· καὶ οὕτως ὁ πατὴρ νοῦς. πάντα
ἄνω φησὶ πεποίηκεν ἐπὶ τῷ ἐν ὕψει εἶναι:

Ἐν ἀπορρήτῳ μετ' οὐδενὸς συσκοπήσας: τοῦ αὐτοῦ: λ̄

Μὴ γάρ τις ἐννοήτω φησὶν ὡς εἰς τέλος ὑπερτιθέμενος δια- λᾱ
μένει θεὸς τὰς κατὰ τῶν ἀδίκων τιμωρίας· εἰ καὶ τέως μα-
κροθυμεῖ· ἀλλ' ὥσπερ οἱ ἐνεδρεύοντες, οὕτως ἀπροσδοκήτως
αὐτοῖς ἐπέρχεται· καὶ οὐκ ἔστι τινὰ τῶν ἀσεβῶν τὴν θεοῦ
διαδρᾶναι δίκην: Παρέλκυσις ζωῆς, ἢ ὑπερ- λᾱ
θέσις τιμωρίας :

λβ̄ Ἐπὶ τίνας δὲ οὐκ ἐπελεύσεται ἔνεδρα παρ' αὐτοῦ· πῶς γὰρ
ἔσται δίκαιος βροτὸς ἔναντι κυρίου. ἢ τίς ἀποκαθαριεῖ ἑαυτὸν
γυναικὸς γεννητός· εἰ σελήνῃ συντάσσει καὶ οὐκ ἐπι-
φαύσκει : :: ὃ ἐπιτάγματα ἐπὶ
τίνας δὲ τῶν πειρατῶν εὔδηλον· :: δαλῖνος ἄξι-
ος ἔσται τεχθεὶς ὑπὸ γυναικός· ::: ἐν τῷ συντελεῖν
προστάσσει αὐτῇ μὴ φαίνειν :

λδ Ὀλυμπιοδώρου: Εἰ καὶ τῇ ἀνθρωπίνῃ κρίσει φησὶ πολλοὶ δίκαιοι φαίνονται, ἀλλά γε τῷ πανεπισκόπῳ τοῦ θεοῦ ὀφθαλμῷ, οὐδεὶς δυνάμενος εἰπεῖν ὅτι καθαρός εἰμι· ἀμήχανον γὰρ καὶ ἐν τοῖς γενέσθαι παραπτώμασι· τίς γὰρ ἀνθρώπων ἑαυτὸν καθᾶραι δύναται· εἰ μὴ τῆς θείας τύχῃ καθάρσεως:

λδ Μεθοδίου: Ἀπολογεῖται περὶ τοῦ θεοῦ διατὶ τοὺς πειρατὰς ἀφῆκε πειράζειν ἡμᾶς, καὶ φησὶν ὅτι οὐκ ἠδύνατο δίκαιος εἶναι ἄνθρωπος, καὶ οὗτος αὐτοῦ ἀνταγωνιστοῦ: Ἄλλως: Οἱονεὶ καὶ ἦν ταῦτα τὰ ἀνταγωνίσματα: Τοῦ ἁγίου Ἰω:

λδ Ὅτι πάντα ἀνόμημα κολάζεται· ἐπειδὴ γὰρ ὁ Ἰὼβ ἔλεγεν ὅτι ἐβουλόμην ἐλθεῖν εἰς κρίσιν· καὶ εἰ μὴ ἥμαρτον· ἀλλ' ὅμως κολάζομαι, πρὸς τοῦτο πάλιν οὗτος φησίν, δίκαιον τὸν ἄνθρωπον εἶναι καθόλου, ὡς τὸ παντελῶς ἐκφεύγειν τὴν κρίσιν καὶ τὴν ἐξέτασιν:

λε Ὀλυμπιοδώρου: Εἰ τὴν σελήνην φησὶν ἐπιτάσσειν δύναται, δῆλον ὅτι θεός, ὥστε τὸ οἰκεῖον μὴ ἐκλάμπειν σέλας· καὶ τὰ ἄστρα δὲ οὐ καθαρὰ ὡς πρὸς τὴν θείαν καθαρότητα· καὶ πρὸς ὅτι λαμπρὰ οὐ πολιτεύεται λόγῳ· πῶς γὰρ ἂν ὡς πρὸς τὴν ἀξίαν τοῦ πεποιηκότος, τὰ δὲ αὐτὰ τοῦ καὶ περιττὸν καὶ λογίζεσθαι περὶ ἀνθρώπου τοῦ δίκην σκώληκος περὶ τὴν σαπρίαν εἰλουμένου· καὶ γὰρ ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος· ταῦτα δὲ εἶπεν ἐκ τοῦ παρόντος κατασκευάζων τὸν λόγον, καὶ πλήττων τὸν Ἰὼβ, ὡς ἐπὶ καθαρότητι σεμνυνόμενον:

στρα δὲ οὐ καθαρὰ ἐναντίον αὐτοῦ· ἔα δὲ ἄνθρωπος σαπρεία·
καὶ υἱὸς ἀνθρώπου σκώληξ:

Ἰουλιανοῦ: Ταῦτα λέγει, οὐ τὴν φύσιν φαυλίζων, ἀλλὰ τοῦ θεοῦ ὑψῶν, ὡς πρὸς αὐτὸν ἡμεῖς σαπρεία καὶ σκώληξ· ἐφήμεροί τινες ὄντες καὶ ὀλιγοχρόνιοι:

Μεθόδιος ὁ πάτης εἰς τοῦ χριστοῦ συλλαμβάνει καὶ φησὶν αὐτοῦ ἄκουε λέγοντος· ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος· σκώληκα οὖν λέγει, οὐ διὰ κακίαν, ἀλλὰ διὰ ταπεινοφροσύνην· εἰ καὶ ὅτι φησὶν ὁ σκώληξ οὐκ ἐκ συνδυασμοῦ γίνεται· ἀλλ' ἐκ παρακειμένης ὕλης: +

+

+ προθεωρία κεφαλαίου ιθ:

+

Ἐπειδὴ περὶ τῆς τοῦ θεοῦ σοφίας καὶ δυνάμεως ὁ Βαλδὰδ διε-
λέχθη, οἷα τις τοῦ θεοῦ συνήγορος, πρὸς τοῦτο ὁ μακάριος
Ἰὼβ ἀπαντᾷ καί φησι· τί συνηγορεῖν σπουδάζεις θεῷ,
ὡς δεομένῳ τῆς ἐκ λόγων κατασκευῆς, ἵνα δειχθῇ σοφὸς
καὶ δυνατός· εἶτα ἵνα δείξῃ ὅτι κρεῖττον αὐτῶν καὶ ὑψηλό-
τερον δοξάζει τὰ περὶ θεοῦ, περὶ τῆς αὐτοῦ σοφίας διεξο-
δικώτερον διαλέγεται, καὶ ὑμνεῖ τὴν ἀκατάληπτον τοῦ
θεοῦ δύναμιν· καὶ προφητεύει περὶ τοῦ μονογενοῦς, καὶ
τὴν τυραννικὴν τοῦ διαβόλου καθαίρεσιν προλέγει·
ταῦτα δὲ προοιμιασάμενος φησίν, ὅτι ἀμήχανον μὲν
πᾶν ὅτι ἂν πάθω, ἄνομά τινα λαλῆσαι περὶ θεοῦ, ἕως
ἂν εἰς θάνατον φθάσω· καὶ ὅρκῳ πιστοῦται τὴν ὑπό-
σχεσιν· εἶτα καὶ μετὰ καθαρᾶς συνειδήσεως παρρησι-
ασάμενος λέγει· ὅτι αὐτὸς μὲν οὐδὲν ἑαυτῷ σύνοιδα
ἄτοπον πράξαντι· διαλήψεται δὲ ἡ θεία δίκη τοὺς ἀ-
σεβεῖς, καὶ πάλιν ἀναλαμβάνει περὶ τῆς θείας σοφίας
τῆς ἐν τοῖς δημιουργήμασι φαινομένης· καὶ ἐν τοῖς λογικοῖς
κατεσπαρμένης· καὶ τὸ σοφὸν εἶναι πάντων ἀποφαίνει

τιμιώτερον· πολλὰ δὲ περὶ τῆς θεοδωρήτου ταύτης σοφί-
ας διεξελθών, καὶ ὡς οὐδὲν αὐτῇ παραβληθήσεται διδά-
ξας· καὶ τοῦτο φησίν, ὡς τὸ μὲν κλέος τῆς σοφίας εἰς πάν-
τας διέσπαρται· τοὺς δὲ περὶ αὐτῆς λόγους εὑρεῖν ἀμήχανον·
καὶ μάθημα παραδίδωσι κάλλιστον, ὅτι ἀρκεῖ αὐτῷ εἰς
τὸ εἶναι σοφόν, οὐ τὸ ζητεῖν τὰ ἀνεξερεύνητα, ἀλλὰ
τὸ θεοσεβεῖν, καὶ παντὸς εἴδους κακίας ἀπέχεσθαι·
καὶ ταύτην ἀνάληψιν σοφίας καὶ ἐπιστήμης εἶναι ὁ-
ρίζεται· ταῦτα δὲ διεξῆλθεν ὁμοῦ μὲν τὰ περὶ θεοῦ
δοξάζων καλῶς· ὁμοῦ δὲ καὶ τοὺς φίλους πείθων μὴ
πάντως οἴεσθαι δι᾿ ἁμαρτίας αὐτὸν πάσχειν· ἀλλὰ τοὺς περὶ
τούτων λόγους τοῖς ἀνεξιχνιάστοις τοῦ θεοῦ καταλιμπάνειν
κρίμασιν· διαλέγεται δὲ ὡς ἔφην περὶ σοφίας, οὐ τοῦ
ἐνυποστάτου λόγου τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ· εἰ γὰρ
καὶ αὐτὸς σοφία καλεῖται καὶ ἔστι τοῦ πατρός· ἀλλ᾿ οὐ περὶ
αὐτοῦ νῦν ὁ λόγος· ἀλλὰ περὶ τῆς ἐν ταῖς κατὰ φύσιν ἐνερ-
γείαις τῶν ὑπὸ θεοῦ πεποιημένων λογικῶν συνισταμένης
φιλόθεον καὶ φιλάγαθον προαίρεσιν, ἣν ἐν τοῖς λογικοῖς
κατέσπειρεν ὁ δημιουργός· εἰ δὲ αὕτη ἀσύγκριτος, καὶ
τοσούτου ἀξία ἡ κατὰ μετοχὴν ἡμῖν διδομένη· τί ἐννο-
ῆσαι προσήκει περὶ τῆς αὐτοσοφίας τῆς οὐσιώδους σο-
φίας τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τοῦ ὁμοουσίου τῷ
πατρί τῆς πατρικῆς σοφίας τοῦ λόγου τοῦ ἐνυποστάτου,
δι᾿ ὃν καὶ ἡμεῖς λογικοὶ καὶ σοφοὶ κατὰ μετάληψιν καὶ μετ-

-τοχῇ τοῦ ἁγίου πνεύματος γινόμεθά τε καὶ καλούμεθα, τῇ θείᾳ χάριτι σοφιζόμενοι:

†

† ἐνταῦθα τοῦ ἰὼβ πρὸς τοὺς φίλους διάλεξις κεφ ιθ:

†

Ὑπολαβὼν δὲ ἰὼβ λέγει· τίνι πρόσκεισαι[λόγ], ἢ τίνι μέλλεις βοηθεῖς· πότερον οὐχ ᾧ πολλὴ ἰσχύς, καὶ ὁ βραχίων κραταιός ἐστι· τίνι συμβεβούλευσαι οὐχ ᾧ πᾶσα σοφία· ἢ τίνι ἐπακολουθήσεις. οὐχ ᾧ μεγίστη δύναμις. τίνι ἀνήγγειλας ῥήματα: ᾧ συμβεβούλευσας:

Ὀλυμπιοδώρου:

λόγ Τίνι τῶν παρὰ σαυτοῦ φησὶ δύναμιν εἰσφέρεις. ἢ τίνι συνηγορεῖν σπουδάζεις. ὡς δῆθεν τῆς σῆς ἐπικουρίας δεομένῳ τῷ θεῷ, ἅπαντες ἴσμεν ὡς ἀνενδεής τε καὶ παντοδύναμος ἐστὶν ὁ θεός· ἀλλὰ καὶ ὡς πάνσοφος πρόδηλον· τίσιν ὡς κοινωνῷ αὐτῷ τῶν βουλευμάτων. τοὺς ὑπὲρ αὐτοῦ ποιεῖσθαι λόγους ἐσπούδακας, ἢ ἐδίδαξας αὐτόν τι ὧν οὐκ ᾔδει· τί δέ φησι λέγω, ὅτι οὐ δεῖται τῆς σῆς συμβουλῆς, αὐτὸ τὸ φθέγγεσθαι παρά τινος λαβὼν ἔχεις, ᾧ

παρ' αὐτοῦ. ταῦτα δὲ πρὸς τὸν Βαλδὰδ σκωπτικῶς εἰρη-
κώς. τρέπει τὸν λόγον ἐπὶ τὴν τοῦ θεοῦ δύναμιν, δεικνὺς ὡς
ἄμεινον αὐτῶν τὰ περὶ τῆς ἰσχύος ἀπέδειξε τοῦ θεοῦ:
Τοῦ ἁγίου Ἰω(άννου): Τουτέστιν οὐδὲ ἐγὼ ἐγκαλῶ, λε
ὅτι τοῦ θεοῦ τὸ μέρος ἀνεδέξω. καὶ γὰρ οὕτως ἔδει, τὸ
μὴν ἐμὲ καταδικάζειν ἐλέγχειν. καὶ γὰρ ἐπὶ καιροῦ ὑπὲρ
τοῦ θεοῦ λόγον εἰπεῖν, καὶ τοῦτον μετὰ ἀφεῖναι γενέσθαι,
ἐγκλήμασιν ὑπεύθυνον: Ἰουλιανοῦ:
Ἐκ δὲ τούτου δείκνυσιν. ὡς οὐ τῷ εὐλόγῳ προσέσχεν ὁ λε
Βαλδάδ, ἀλλὰ μόνῃ τῇ ἐξουσίᾳ:
Πνοὴ δὲ τίνος ἐστὶν ἡ ἐξελθοῦσα ἐκ σοῦ. [λε] μὴ γίγαντες
μαιωθήσονται. [λϛ] ὑποκάτωθεν ὕδατος καὶ τῶν γειτόνων
αὐτοῦ. καὶ οὐκ ἔστι περιβόλαιον τῇ ἀπωλείᾳ. [λζ] ἐκτείνων βο-
ρέαν ἐπ' οὐδέν. κρεμάζων γῆν ἐπὶ μηδενός:
:: ※ ἐνθοῖα, ἀραφαεῖν. ὁ θεόμαχος. :: ※ γυ-
μνὸς ὁ ᾅδης ἐνώπιον αὐτοῦ, ὁ καὶ οἱ γειτνιῶντες αὐτοῖς.
::: ※ ::: ※ ἃ ἐπικενώματι. :::: ※ αὐτί
τοῦ εἰς ἀπέραντον: Ὀλυμπιοδώρου:
Μὴ δύνανται φησὶν αἱ δυνάμεις αἱ ὑπὸ γῆν, αἱ μετὰ τὰ λε
ὕδατα καὶ τὴν γείτονα γῆν τουτέστιν ἐν τῷ ᾅδῃ, ὥσπερ
ἐκ μήτρας τῇ μαιωτικῇ τέχνῃ τοὺς τεθνεῶτας ἐξαγαγεῖν
καὶ ζωοποιῆσαι. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. μὴ δύνανται
αἱ ἐν τῷ ᾅδῃ δυνάμεις ἀνάστασιν ποιῆσαι. θεὸς δὲ καὶ
νεκροὺς ἀνίστησιν ἐξουσιαστικῇ δυνάμει χρώμενος:

Ἢ καὶ ἄλλως: Οἱ θεομάχοι φησὶν ἐκεῖνοι γίγαντες, οἱ πάλαι κατακλυσθέντες, μὴ αὖθις μαιωθῆναι δύνανται· ἢ ἰδίᾳ δυνάμει ἑαυτοὺς ἀναστῆναι, μήτε ἄλλους ὀνῆσαι ἢ πολλὴν συμμαχίᾳ αὐτῇ περιέξοντας τῇ ἀμάχῳ ἰσχύϊ καὶ τῇ βουλῇ

λϛ τοῦ θεοῦ: Τοῦ αὐτοῦ: Μόνον φησὶ περιστάτην θεοῦ, καὶ τοὺς ἀποθανόντας ὁ ᾅδης ἐρεύγεται· καὶ οὐδὲν τῶν ἀπολλυμένων κρυβῆναι δύναται τῆς ἀνικήτου δυνάμεως τοῦ θεοῦ· πάντα καὶ τὰ πώποτε διαφθαρέντα εἰς μέσον ἀγούσης· ταῦτα δὲ προφητικῶς εἰς τὴν διὰ σαρκὸς οἰκονομίαν τοῦ μονογενοῦς εἴρηται:

λϛ Καὶ ἐν παροιμίαις ᾅδης καὶ ἀπώλεια φανερὰ παρὰ τῷ

λζ θεῷ: Ὀλυμπιοδώρου: Βορέαν τὸ βόρειον κλίμα φησίν, ἵνα εἴπῃ ὅτι τοσοῦτο γῆς μῆκος ὑπερτέταται μηδενὸς ἐρείσματος ὑποκειμένου, καὶ τί τοῦτο λέγω φησίν, ὅπου γε τὴν ἅπασαν γῆν ἀοράτῳ δυνάμει κατέχει· τῷ γὰρ θείῳ βουλήματι κρέματαί τε καὶ ὑπεστήρικται:

λη Δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ καὶ οὐκ ἐρράγη νέφος ὑποκάτω αὐτοῦ· λθ ὁ κρατῶν πρόσωπον θρόνου· ἐκπετάζων ἐπ' αὐτὸν νέφος αὐτοῦ· μ πρόσταγμα ἐγύρωσεν ἐπὶ πρόσωπον ὕδατος· μέχρι συντελείας φωτὸς μετὰ σκότους:

∵ ※ ∷ ※ ἔζανε· ∷ ※ ∷ ※ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· ∷ ※ ὅρον περιέλεψεν ∷ ※ Ὀλυμπιοδώρου:

λη Εἰ μὴ γὰρ ταῖς νεφέλαις προστάξει θεός, οὐκ ἐπαφιᾶσι καθό-

-σον ἂν κελευσθῶσι μέτρον τῇ γῇ τοῦ ὑετοῦ· ὑποκάτω δὲ
αὐτοῦ δηλονότι τοῦ ὕδατος: Τοῦ αὐτοῦ
Τὸ παράδοξον ὅτι ὁ μανώτατος ἀήρ, καὶ ἀνέμοις διαρ- λη
-ρηγνύμενος φέρει τῶν ὑδάτων τὸ βάρος, καὶ ἐλαυνόμενος
ὑπὸ ἀνέμων, συνέχει αὐτό· εἰ δὲ καὶ ῥαγῇ, οὐκ ἀθρόως,
ἀλλ᾽ ἰσομέτρως: Τοῦ αὐτοῦ: Θρόνος τοῦ θεοῦ λθ
ὁ οὐρανὸς πολλαχοῦ τῆς γραφῆς εἴρηται, κατὰ πρόσωπον
δὲ κεῖται τοῦ οὐρανοῦ ὁ ἀήρ· φησὶν οὖν ὅτι διακρατεῖ τὸν
αἰθέρα, καὶ ἐκπεταννύει τὰς νεφέλας: Ἔθετο σκότος σ
ἀποκρυφὴν αὐτοῦ: Ὀλυμπιοδώρου:
Διὰ καὶ τὸ οἰκεῖον πρόσταγμα φησί, κυκλοτερῶς περιέστησα
τοῖς ὕδασιν, ὑπερβαίνειν καὶ ἐπικλύζειν τὴν γείτονα γῆν οὐ-
κέτι· παραμένει δὲ ἡ θεία πρόνοια μέχρι συντελείας φωτὸς
μετὰ σκότους· τουτέστιν αὐτὴ παραχωρεῖν ἀλλήλαις τοὺς δρόμους
τῆς νυκτὸς καὶ τῆς ἡμέρας παρασκευάζουσα· τὸ γὰρ μετὰ ἀντὶ τοῦ καί·
Στῦλοι οὐρανοῦ ἐπετάσθησαν· καὶ ἐξέστησαν ἀπὸ τῆς ἐπιτιμή-
σεως αὐτοῦ· ἰσχύϊ κατέπαυσε τὴν θάλασσαν· ἐπιστήμῃ δὲ
ἔτρωσε τὸ κῆτος· κλεῖθρα δὲ οὐρανοῦ δεδοίκασιν αὐτόν:
∴ ἀ(ντὶ τοῦ) διεκινήθησαν· ∴ ἀ(ντὶ τοῦ) θαμβοῦνται· ∴ ἀ(ντὶ τοῦ) [illegible]
ἀλαζονίαν· ∴ αἱ ὑπερκόσμιοι δυνάμεις ∴
Ὀλυμπιοδώρου: Καὶ τοῦ οὐρανοῦ τὰ στηρίγματα
φησίν, οὐ κατὰ φύσιν αὐτῶν ἐρείδουσι καὶ ἀναβαστάζουσιν· ἀλ-
λ᾽ ἄνω που τυγχάνουσι· τοῦτο γὰρ σημαίνει τὸ ἐπετάσθησαν,
ἵνα εἴπῃ ὅτι καὶ ὁ οὐρανὸς θείῳ λόγῳ σαλεύεται· πλὴν καὶ

αὐτοὶ τοῦ οὐρανοῦ οἱ θεμέλιοι, ἐξίστανται καὶ σαλεύονται,
ὅταν αὐτὸς ἐπιτάξῃ· γίνεται δὲ τοῦτο ἐν τῇ συντελείᾳ· ὡσ-
εὶ περιβόλαιον γάρ φησιν ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται:

μβ Τοῦ αὐτοῦ: Εἰς τὸν περὶ τῆς θαλάττης συμβεβληκὼς λόγον
τοῦ νοητοῦ κήτους ἐμνημόνευσε· τὸ δὲ αὐτὸ καὶ δῆλον ποι-
φαίνεται· εἰρηκὼς γὰρ αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύ-
χωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός· εἶτα ἐπήγαγε·
δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ· φησὶν οὖν ὅτι
θεϊκῇ δυνάμει τὴν νοητὴν ἔπαυσε θάλατταν· τουτέστι τὴν
ἁμαρτίαν ἐξηφάνισε διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας·
τὸν δὲ διάβολον ὑπέστρωσε καὶ πατεῖσθαι παρεσκεύασε,
δεδωκὼς ἡμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπί-
ων· σὺ τῇ παναλκεῖ δυνάμει χρησάμενος ὁ θεός· αὐτοεπιστή-
μη καὶ σοφία διὰ ταπεινοφροσύνης ἄνθρωπος γεγονώς, ὁ τῶν
ἁπάντων δημιουργός, καὶ ταπεινώσας ἑαυτὸν μέχρι θα-
νάτου· θανάτου δὲ σταυροῦ· οὕτω τε ἀναστὰς ἐκ νεκρῶν καὶ τοὺς
οὐρανοὺς ἀνελθών, ἤνοιξεν ἡμῖν αὐτόν· ὅτε καὶ αἱ ἄνω δυ-
νάμεις θεώμεναι μετ' ἐκπλήξεως ἔλεγον· οὐ γὰρ σύμβουλοι
γεγόνασι θεοῦ περὶ τὴν ἑκούσιον αὐτοῦ κένωσιν· τίς ἐστιν
οὗτος ὁ βασιλεὺς τῆς δόξης· καὶ ἀντεβόων αἱ ἐξυπηρε-
τησάμεναι τῇ αὐτοῦ σαρκώσει, κύριος τῶν δυνάμεων αὐτός
ἐστιν οὗτος: Συνάγει γὰρ τὸν ἀέρα, καὶ πάλιν δια-
λύει ὡς ἂν ἐθέλῃ:

μγ Προσάπτει δὲ ἐθανάτωσε δράκοντα ἀποστάτην· ἰδοὺ ταῦτα

μέρη ὅσου αὐτοῦ· καὶ ἐπεὶ ἰκμάδα λόγου ἀκουσώμεθα ἐν
αὐτῷ· σθένος δὲ βροντῆς αὐτοῦ τίς οἶδεν ὁπότε ποιήσει:
:: Ε τοῦ ὄφιν τὸν συγκλείοντα· :: Ε τί δὲ ψιθυρισμὸν
λόγων αὐτοῦ ἀκούσωμεν, ὅπου βροντὴν δυναστείας αὐτοῦ
οὐδεὶς ἐννοήσει: Ὀλυμπιοδώρου:

Σύμφωνα τούτοις ὁ ἀπόστολος λέγει, περὶ τοῦ ἀντιχρίστου λέγων, κσ̄
ὃν ὁ κ̄ς ἀνελεῖ τῷ ῥήματι τοῦ στόματος αὐτοῦ· εἰ δὲ καὶ αὐτὸν
διάβολον ἐκλάβοις διὰ τὸ μέγεθος αὐτοῦ παραπέμπεσθαι τῷ
ἡτοιμασμένῳ πυρί, οὐχ ἁμαρτήσεις τοῦ σκοποῦ:

Τοῦ αὐτοῦ: Ἐξεπλάγη μέν φησιν ἐπὶ τοῖς ῥήμασιν, ἀλλὰ κᾱ
τὰ ταῦτα μοῖρα τίς ἐστι μικρὰ τῶν τοῦ θ̄ῡ ἐνεργειῶν, καὶ
μικράν τινα ἰκμάδα τοῦ περὶ τούτων λόγου ἀκηκόαμεν:

Τοῦ αὐτοῦ: Τὴν ἐσχάτην σάλπιγγα λέγει, ὅτε σαλ-
πίσει, καὶ οἱ νεκροὶ ἀναστήσονται· ὡς γὰρ αὐτός φησιν ὁ χ̄ς, με̄
οὐδὲ οἱ ἄγγελοι ἴσασι τὴν ἡμέραν ἐκείνην: +

† ἐπανάληψις τοῦ Ἰὼβ πρὸς τοὺς φίλους διάλεξις

μϛ Ἔτι δὲ προσθεὶς Ἰὼβ εἶπε τῷ προοιμίῳ· ἔτι πῶς ὃς οὕτω με κέκρικεν· :: Ζ ὃς παρεῖδε τὴν κρίσιν μου:

Ὀλυμπιοδώρου· Μετὰ τὸ ὀλίγα εἰπεῖν τὸν βαλδάδ, ὀλίγα καὶ ὁ Ἰὼβ ἀπεκρίνατο. εἶτα μηδενὸς τῶν φίλων ἀντιλέγοντος, πάλιν ὁ Ἰὼβ τῷ λόγῳ προστίθησιν, ὡς πρὸς τὰ ἐφεξῆς τοίνυν τὰ πρότερον εἰρημένα προοίμιον εἶπεν:

μϛ Τοῦ αὐτοῦ: Τῶν τειῶν φίλων πρὸς τὰ εἰρημένα τὴν ἡσυχίαν ἀγαγόντων, ἅμα τοῖς προτέροις ἐπισυνάπτων τὰ ἐφεξῆς ὁ μακάριος Ἰώβ, ἐπιφέρει· προοίμιον δὲ ὡς πρὸς τὰ ἐφεξῆς τὰ πρότερον εἰρημένα εἶπεν:

μζ Ἴστε φησὶν πόθεν κεκίνηται εἰς τὸ ἐρεθίσαι με. ὄμνυμι δὲ κατὰ τοῦ ζῶντος θεοῦ τοῦ δοκιμάσαντός με ταῦτα παθεῖν κατὰ τοὺς ἀνεφίκτους αὐτοῦ λόγους· καὶ παραδόντος ἐν πικρίᾳ τὴν ψυχήν μου· ἄχρις ὅτου ζῶ καὶ ἐμπνέω παρὰ θεοῦ τοῦτο λαβών· ὅτι κἂν ἐπὶ πλεῖον βασανίζομαι χρόνον, οὐ μὴ φθέγξομαι κατὰ τοῦ θεοῦ ἀπηχές τι ἢ παλίμφημον. ἀλλὰ μηδὲ γένοιτό με φησὶ δυσωπούμενον ὑμᾶς παραχαράττειν τὸ ἀληθές, καὶ φάσκειν ὡς δικαίως μου καταψηφίζεσθαι: Τοῦ αὐτοῦ:

Τινές ἔφασαν ὡς ἐνταῦθα τῆς θειάδος μέμνηται. ζῇ γάρ κύριος μζ
φησί καί ὁ παντοκράτωρ καί τό πνεῦμα τό θεῖον. καί γάρ τῶν
ἑβδομήκοντα τό ἐνεφύσησεν ὁ θεός εἰς τό πρόσωπον τοῦ ἀν-
θρώπου πνοήν ζωῆς ἐκδεδωκότων, ἐπί τοῦ πνεύματος τοῦ ἁ-
γίου, οἱ λοιποί τῶν ἑρμηνευτῶν, καί ἐνεφύσησεν εἰς
τούς μυκτῆρας αὐτοῦ πνοήν ζωῆς ἐκδεδώκασι:

μζ
Ζῇ κύριος ὅς οὕτω με κέκρικε. καί ὁ παντοκράτωρ ὁ πικράνας
μου τήν ψυχήν. εἰ μήν ἔτι τῆς πνοῆς μου ἐνούσης:
:· Σ ἔτι μέχρις οὗ ἡ ἀναπνοή μου ἐν ἐμοί:

Ὠριγένους: Ἔλαβεν ἐξουσίαν τοῦ Ἰώβ ὁ διά- μζ
βολος, καί ἤλασεν αὐτόν νύκτος καί ἡμέρας. πρότερον
διά τῶν ἐκτός. ὕστερον δέ δι' αὐτοῦ τοῦ σώματος. μετά
ταῦτα καί διά τῶν φίλων. ὅτε γάρ αὐτόν ἐπεκώμασε
διά τῆς γυναικός, καί οὐ νενίκηται ὁ Ἰώβ, τρεῖς φίλους
ἤνεγκεν ὁ διάβολος, οὐκ ἐχθρούς, οὐκ ἐπίβουλα δόγ-
-ματα ἔχοντας. ἀλλ' ἀληθείας μέν λόγους, οὐ καλῶς δέ,
οὐδέ ἐν καιρῷ προσφερομένους. καί ἐβούλετο ὁ διά-
βολος διά τῶν φίλων τούτων ποιῆσαι τόν Ἰώβ φθέγξα-
-σθαι τί κατά τῆς προνοίας, ἀσεβῆσαι διά τούς πόνους,
ἐκκακῆσαι διά τάς ἀλγηδόνας. ἀλλ' ὁ ἅγιος οὗτος ἀθλη-
-τής ὁ ἀληθῶς ἀνδρεῖος, ὁ καρτερικός. ὅρα τί λέγει μετά
τούς λόγους τῶν τριῶν. ὅτε ἐτελεύτησεν ὁ Ἐλίφαζ τρεῖς
διαλέξεις, ὁ Βαλδάδ τρεῖς διαλέξεις, ὁ Σωφάρ δύο διαλέ-
ξεις. τούτων γάρ τελεσθεισῶν σιωπησάντων ἐκείνων.

ὥσπερ τί ἀποκρίνεται μετὰ τὸ προειρημένον ὑπ' ἄλλου προ-
οίμιον, οὕτως ἀπὸ τῆς γραφῆς ὠνομασμένον· τί ἀποκρίνεται
προσῳδόμενον τῇ λέξει· ἔτι δὲ πειραθεὶς ὁ Ἰὼβ εἶπε τῷ προοι-
μίῳ, ζῇ κύριος ὃς οὕτω με κέκρικεν· καὶ ὁ παντοκράτωρ ὁ
πικράνας μου τὴν ψυχήν, καὶ τὰ ἑξῆς· οἶδα πόθεν κεκίνη-
σθε εἰς τὸ ἐρεθίσαι με· ὀμνύμι δὲ ὑμῖν, καὶ ὀμνύμι
κατὰ τοῦ ζῶντος κυ, αὐτοῦ τοῦ κρίναντός με ταῦτα παθεῖν·
αὐτοῦ τοῦ παραδόντος με ταύταις ταῖς πειράσεσι· τοῦ
δόντος ἐξουσίαν τῷ διαβόλῳ τοιούτοις με ἐξετασμοῖς ἐξετά-
ζεσθαι καὶ βασανίζεσθαι. ὀμνύμι κατὰ τοῦ κυ καὶ φημί·
ὅτι ζῇ κύριος ὃς οὕτω με κέκρικεν, καὶ ὁ παντοκράτωρ ὁ πικρά-
νας μου τὴν ψυχήν:

Πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥισίν· μὴ λαλήσει τὰ
χείλη μου ἄνομα· οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα· μή μοι
εἴη δικαίους ὑμᾶς ἀποφῆναι ἕως ἂν ἀποθάνω:

Πνα θεῖον ὁ Μεθόδιος φασὶν αὐτοῖς ὑπὸ θυ δοθέν· εἴτε δικαί-
-οις εἴτε ἀδίκοις, τὸ συνειδὸς ἐκλαμβάνει. κωλύον ἐπὶ
τοῖς ἁμαρτήμασι τὴν ψυχήν, καὶ μὴ συνευδοκοῦντος τοῖς παρὰ
τὸν ὀρθὸν λόγον γινομένοις· περιοῦ φησὶ καὶ τὸν Ἰωάννην
ἐν τῇ ἐπιστολῇ λέγοντα, ἐὰν ἡ συνείδησις μὴ καταγινώσκῃ
ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν θν· τί οὖν φησὶ τὸ κατα-
γινωσκόμενον· οὐ γὰρ ἑαυτὴ ἡ συνείδησις καταγινώσκει,
ἀλλὰ τῆς ψυχῆς ἁμαρτανούσης· περὶ τούτου καὶ ὁ Σαλομὼν
ἔφασκεν· τὸ γὰρ ἄφθαρτόν σου πνα ἐστὶν ἐν πᾶσιν:

Ἐν ὅσῳ τὸ ἐμφύσημα τοῦ δημιουργοῦ ἀναπνέω:

Σημειοῦ τὸ μὲν εἰς τὴν ἀναπνοὴν τὸ δὲ εἰς τὸ πνεῦμα τὸ ἅγιον: τουτέστιν ὃ λέγομεν ἡγεμονικὸν νοῦν ὑπάρχειν: τοῦ ἁγίου Ἰω: τουτέστιν ἐπὶ τῆς αὐτῆς τῆς ὁμοψήφου, οὐδείς με παρασαλεῦσαι δυνήσεται, οὐδεὶς ἐκφοβῆσαι. οὐδεὶς ἀπαγαγεῖν τοῦ προκειμένου: τουτέστιν οὐ κατηγορήσω ἐμαυτοῦ, οὐδὲ μεταθήσομαι κἂν μυρία λέγητε, οὐ προήσομαι τῆς ψήφου: Ὠριγένους: μξ

Ἐὰν συγκαταθῶμαι οἷς λέγετε ὅτι κενὸν ἠπάτηκε [illegible] δικαίους ὑμᾶς ἀποφηνάμην ἕως ἂν ἀποθάνω:

Οὐ γὰρ ἀπαλλάξω τὴν ἀκακίαν μου· δικαιοσύνῃ δὲ προσέχων οὐ μὴ προῶμαι· οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπα πράξας· οὐ μὴν δὲ ἀλλὰ εἴησαν οἱ ἐχθροί μου, ὥσπερ ἡ καταστροφὴ τῶν ἀσεβῶν, καὶ οἱ ἐπ' ἐμὲ ἐπανιστάμενοι, ὥσπερ ἡ ἀπώλεια τῶν παρανόμων: ∵ ε οὐκ ἐπιστήσομαι τῆς ἀπολείπτος: ∷ θ οὐκ ἀφήσω. Ὀλυμπιοδώρου:

Κἂν φησὶ μεταμεληθείη τῆς ἐμαυτοῦ ὀρθότητος, οὐδὲ προδώσω τὸ δίκαιον πώποτε, οὐδὲ ἀνέξομαι μηδὲν ἐμαυτῷ συνειδώς, ὧν ὑμεῖς κατηγορεῖτε, δίκαιον φαῦλος δοκεῖν· ὅθεν οἱ τοιοῦτοι γνώμῃ μεμφόμενοι, ἀσεβεῖς ἂν εἶεν, καὶ σὺν τοῖς ἀσεβέσι κατακριθήσονται: Ὠριγένους: μη

Οὐκ ἀφήσω τὸ προσέχειν τῇ δικαιοσύνῃ, μεμνήσομαι ἀεὶ περιέχεσθαι αὐτῆς: τοῦ ἁγίου Ἰω: μη

Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι φησὶν ὁ ἀδικῶν, οὐκ ἔχει παρρησ

οὐδὲ φθέγξασθαι, οὐδὲ εἰπεῖν ταῦτα, ἅπερ ἐγὼ νῦν· ἀλλ' ἀφῆ-
κεν καὶ ἀποστομίσαι· ἐγὼ δὲ τοῦτο οὐκ ἔπαθον· ἀλλὰ λέγω καὶ
ἀντιλέγω· οἱ δὲ ἄδικοι οὐχ οὕτως:

μη Ἀκαπόσσομαι τὴν ἀκακίαν μου· ἕνεκα νοῶν περὶ ὑμῶν καὶ
ἕνεκα λόγων: Ὠριγένους:

ν Πολλὴ ἡ παρρησία αὐτοῦ καὶ ἐπὶ τῷ προτέρῳ βίῳ, καὶ ἐπὶ τοῖς
κατὰ τοῦ καιροῦ τῆς περιστάσεως, ὥστε αὐτὸν εἰπεῖν, οὐ σιώπη-
-σα ἐμαυτῷ ἄλογα πράξας: Τοῦ ἁγίου Ἰω(άννου):

7 Ἀπόλλυμαι φησὶν οἱ ἐχθροί μου, συκοφαντοῦσι γάρ με:
μθ Αὐτίς γάρ ἐστιν ἐλπὶς ἀσεβεῖ ὅτι ἐπέχει· πεποιθὼς ἐπὶ κυρίου ἄρα
σωθήσεται· ἢ τὴν δέησιν αὐτοῦ εἰσακούσεται κύριος, ἢ ἐπελ-
θούσης αὐτῷ ἀνάγκης, μὴ ἔχει τινὰ παρρησίαν ἐναντίον
αὐτοῦ, ἢ ὡς ἐπικαλεσαμένου αὐτοῦ εἰσακούσεται αὐτοῦ.
ἀλλὰ δὴ ἀναγγελῶ ὑμῖν τί ἐστιν ἐν χερσὶ κυρίου, ἄξιον παρὰ
παντοκράτορι οὐ ψεύσομαι: :: οἱ δὲ ὅτι πλέον ἐκ τοῦ
:: οἱ δὲ μή· :: οἷαν ἔχω δόξαν περὶ τοῦ ἐρῶ:

μθ Ὀλυμπιοδώρου:

Ποίαν γὰρ ἔχει φησὶν ἐλπίδα ὁ ἀσεβής· κἂν τέως ἀντέχῃ με-
τανοίας πεποιθήσεως τῶν ἐν τῷ σωτηρίαν προσδοκᾷ·
πῶς δὲ ἀνάγκη περιπεσὼν σὺν παρρησίᾳ τὸν θεὸν ἐπικαλέ-
σηται, ὡς μηγούσης αὐτῷ τῆς φωνῆς εἰσακούεσθαι· ταῦτα
οὖν φησὶ πλέον ὑμῶν οἶδα: Τοῦ ἁγίου Ἰω(άννου):

μθ Καθάπερ ἐγὼ φησὶ προσδοκῶ σώζεσθαι: Ὀλυμπιοδώ(ρου):

ν Ἐγὼ δὲ ὑμῖν φησὶν ἀναγγελῶ σὺν ἀληθείᾳ καὶ τὰ ἐν χερσὶ

τῶν τοῖς ἀσεβέσιν ἐπιφερομένων. ὑμεῖς γὰρ οἴδατε, ὅτι
ματαίοις συνείρετε λόγους ἀσεβείας μεταχειριζόμενοι· φη-
μὶ δὲ ἔγωγε ποία τίς ἐστιν ἡ τοῦ ἀσεβοῦς μερίς, καὶ ποῖον κτῆ-
μα, καὶ τίς ὁ κλῆρος τῶν ἐπὶ κακίᾳ μέγα δυναμένων, ἢ
τί αὐτοῖς ἐπελεύσεται παρὰ τοῦ πάντα δυναμένου θεοῦ. εἶτα
ἐπάγει, ὅτι τὰ γεννήματα αὐτῶν, τουτέστιν αἱ κακίαι αὐτῶν
πρὸς κόλασιν ἄξουσιν, κἂν ἐπὶ πλεῖστον ἐξαρθῶσιν. ὥστε
ὅλον καταβληθήσονται. ὡς μηδὲ ἴχνος αὐτῶν σώζεσθαι.
μηδὲ τὰς ψυχὰς αὐτῶν χειρωθούσας ἀπὸ τοῦ ἀγαθοῦ τυχεῖν
ἐλέους τινός. καὶ τὰ μὲν εἰς θεωρίαν οὕτως. εἰκὸς δὲ ταῦτα
καὶ καθ' ἱστορίαν συμβαίνειν: Τοῦ ἁγίου Ἰω:
ουτέστι τί οἰκονομία, ἢ τί ἔργον αὐτῶν: ν

> Ἰδοὺ δὴ πάντες οἴδατε ὅτι κενὰ κενοῖς ἐπιβάλλετε. αὕτη
> ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ κυρίου. κτῆμα δὲ δυναστῶν
> ἐλεύσεται παρὰ παντοκράτορος ἐπ' αὐτούς. ἐὰν δὲ πολ-
> λοὶ γένωνται υἱοὶ αὐτοῦ εἰς σφαγὴν ἔσονται. ἐὰν δὲ καὶ ἀν-
> δρωθῶσι προσαιτήσουσιν. οἱ δὲ περιόντες αὐτοῦ θα-
> νάτῳ τελευτήσουσιν: ∴ ἡ δὲ καὶ
κληρονομία ἣν οἱ ἀκαμπεῖς παρὰ τοῦ ἱκανοῦ κομιοῦνται:
∴ αὕτη τοῦ προφήτου: Πῶς δὲ δυνατώτεροι
γίνονται οἱ ἀσεβεῖς: Ὀλυμπιοδώρου:

Τοῦτο γέγονεν, ὅτι διὰ τὰς ἁμαρτίας τῶν ἀμορραίων καὶ
χαναναίων, καὶ τῶν λοιπῶν ὁ ἑβραίων λαὸς τὰ αὐτῶν κα-
τεκληρονόμησεν: Ἰουλιανοῦ: να

να Οὐχ ὅτι τῶν δικαίων γέρας ὁ τῶν ἀσεβῶν ἔσται πλοῦτος, ἀλλ' ὅ-
τι εἰς δέον οὗτοι τὴν τῶν χρημάτων ποιήσονται χρῆσιν. τοῦτο
γάρ ἐστι κτήσασθαι τὸν ἐξ αὐτῶν καρπόν:

Χήρας δὲ αὐτῶν οὐδεὶς ἐλεήσει· ἐὰν συναγάγῃ ὥσπερ γῆν ἀργύ-
ριον· ἴσα δὲ πηλῷ ἑτοιμάσῃ χρυσίον· ταῦτα πάντα δίκαιοι πε-
ριποιήσονται· τὰ δὲ χρήματα αὐτοῦ ἀληθινοὶ καθέξουσιν·
ἀπέβη δὲ ὁ οἶκος αὐτοῦ ὥσπερ σῆτες καὶ ὥσπερ ἀράχνη, ἃ
συνετήρησε· νγ πλούσιος κοιμηθήσεται καὶ οὐ προσθήσει·
νδ ὀφθαλμοὺς αὐτοῦ διήνοιξε καὶ οὐκ ἔστιν:

:: α' θ' ἀθῷοι. σ' ἀναίτιοι :: ※ ἐκ τῶν σ'.
:: κοιμηθεὶς ἀνέστη πένης : Ὀλυμπιοδώρου :

νβ Ὑφ' ἑαυτῶν δαπανωμένων· ἡ γὰρ ἀσέβεια δίκην ἰοῦ κα-
ταναλίσκει τοὺς ἔχοντας: τοῦ αὐτοῦ:

νγ Κἂν συμβαίνῃ φησὶ τὸν ἀδίκως πλουτοῦντα ἐν εὐπραγίᾳ κα-
ταλῦσαι τὸν βίον, ἀλλά γε εἰς τὸν μέλλοντα αἰώνια κολα-
σθήσεται· τοῦτο γὰρ δηλοῖ τὸ οὐ προσθήσει: τοῦ αὐτοῦ:

νδ Διὰ τὸ ὀξύρροπον φησὶ τοῦ βίου· πρὸς βραχὺ γὰρ διαβλέ-
ψας εἰς τὸν ἑαυτοῦ πλοῦτον, οἰχήσεται τὰς δίκας ἐκτίσων
καὶ ὕδατος δίκην περιέξει αὐτὸν τὰ δεινά:

νδ οιμηθεὶς ἀνέστη πένης σ' :

Συνήντησαν αὐτῷ ὥσπερ ὕδωρ αἱ ὀδύναι· νε νυκτὶ δὲ
ὑφείλετο αὐτὸν γνόφος· νς ἀναλήψεται αὐτὸν καύσων καὶ
ἀπελεύσεται· καὶ λικμήσει αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ·
νζ καὶ ἐπιρρίψει ἐπ' αὐτὸν καὶ οὐ φείσεται· νη ἐκ χειρὸς αὐτοῦ φυγῇ
φεύξεται:

φεύξεται : ∴ ἀ̄ σ̄ ἀνυσταξία· ∴ ἀ θ̄ σ̄
γνόφος, ἐν πειράσει μὴ ἐκφύγοι· ∴ ※ ἐκ θ̄
οἱ ο̄, ὡς κονιορτός· ∴ ※ ∴ ※ ∴ ※

Ὀλυμπιοδώρου: Ἐν σκότῳ φησὶν οὔσης αὐτῷ τῆς διανοίας διὰ τὸν γνόφον, κυκλόθεν αὐτὸν περιΐ-στανται τὰ δεινά : νε
Τοῦ αὐτοῦ : αἰσχμώε- νς
ται φησὶν ὥσπερ ὑπὸ ἀνέμου καύσωνος ἀναρριπιζόμενος, καλῶς δὲ εἶπε καύσωνος· πυρὸς γὰρ αὐτοὺς ἄσβεστον δια-δέχεται· λικμᾶται δὲ τὸ τῶν πολλῶν τούτων βίον ἀναρπάζοντα, τὸ χνοῶδες καὶ ἐλαφρὸν τῆς τῶν ἀνέμων ῥύμης ἀπομε-είξειν τοῦ σίτου, ὡς καὶ εὐαγγελική φησί τις παραβολή:
ὁ λίκνος ἄφνω δῆλον, ὅτι ἡ τιμωρία καὶ ὁ καύσων, νζ
ἄνεμος ἐπιπίπτων ἐπὶ τὸν ἀσεβῆ : Τοῦ αὐτοῦ:
Εἴωθεν ἡ γραφὴ σχηματίζειν ὡς πολέμιον τὸν θεόν, νη
ὅταν βούληται τὴν κατὰ τῶν ἀσεβῶν θείαν ἐνδείκνυ-σθαι δίκην· λέγει οὖν ὁ δαβίδ, ἐπιλαβοῦ ὅπλου καὶ θυ-ρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου· τοῦτο τοίνυν κἀνταῦθα ποιεῖ· τὸν μὲν θεὸν δίκην πολεμίου καταδι-ώκοντα· φεύγοντα δὲ τὸν ἀσεβῆ· τὸν δὲ ἐπικροτοῦντα τὰ χεῖρε, καὶ αὐτὸν πτοοῦντα τῷ φόβῳ, καὶ ἐξέλκοντα τὸν ἀσεβῆ ἐκ τοῦ τόπου αὐτοῦ· τουτέστιν ἐκ τῆς παλαιᾶς εὐδαιμονίας :

Κροτήσει ἐπ' αὐτὸν χεῖρας αὐτοῦ· καὶ συριεῖ αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ· νθ
ἔστι γὰρ ἀργυρίῳ τόπος ὅθεν γίνεται· τόπος δὲ χρυσίῳ ὅθεν

, δηπυθεῖται· σίδηρος μὲν γὰρ ἐκ γῆς γίνεται· χαλκὸς δὲ ἴσα λίθῳ

, λατομεῖται : ※ ※ ἐ ἐκσουριεῖ·

οἱ γ̄ ὅθεν χωνευθῇ· ::: ὁ ἑβραῖος ἀπὸ λίθων χωνεύ-
εται ἔθη : Ὀλυμπιοδώρου :

νη Ὅτι τοιγαροῦν συνήκριτα τὰ παρὰ θεοῦ, καταφρονήσωμεν αὐτοῦ
τὴν δημιουργίαν καὶ θαυμάσωμεν. οὔτε γὰρ ἡ χρυσῖτις γῆ
ἄργυρον φέρει· οὔτε ἡ ἀργυρῖτις χρυσόν· καὶ ἐξ ἄλλης μὲν σί-
δηρος μεταλλεύεται· χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται, οὐχ ὅτι
χαλκᾶ τυγχάνουσιν ὄρη· ἀλλ' ὅτι λατομούμενα, κατὰ τὴν δο-
θεῖσαν ἀνθρώποις ὑπὸ θεοῦ μεταλλικὴν τέχνην χαλκὸν φέρουσι
τῶν προειρημένων ὑλῶν ἀπὸ γῆς εὑρισκομένων. καὶ τὸ
μὲν τῆς νυκτὸς σκότος παραχωρεῖ τῇ νυκτὶ τὸν δρόμον κατὰ
τὴν θείαν διάταξιν· πάντων δὲ τὰ πέρατα καὶ τὰς ἐκβά-
σεις σοφῶς ὁ θεὸς ἐξακριβάζεται, τῇ ἀπεριλήπτῳ προνοίᾳ
τὰ πάντα συμπεριλαμβάνων. ὅπου οὐδὲ τὰς τιμωρί-
ας κατὰ τῶν ἀσεβῶν ἢ διαμαρτάνει ὑπερτίθεται, ἢ κα-
τεπάγει, ὁ πάντα μέτρῳ καὶ τάξει καὶ ἁρμονίᾳ διατάτ-

νθ των : Τοῦ ἁγίου Ἰω : Τοῦτο φησίν
ὅτι ὁ ἐν τοῖς στοιχείοις τάξιν θείσας, πολλῷ μᾶλλον ἐν τοῖς ἀν-

ϙ θρωπίνοις : Τοῦ αὐτοῦ : Ὅτι προνοεῖ καὶ
μέλει τῶν πραγμάτων αὐτῷ, οὐδὲν ἁπλῶς οὐδὲ εἰκῇ πα-
ρέρχεται· ἢ ὅτι τὰ μὲν ἄγαν δῆλα ἐστίν· ἡ δὲ οἰκονομία ἄ-
δηλος τοῦ θεοῦ : Καὶ μετ' ὀλίγα : Καλῶς ἐπι-
τελέσειν οἶδε παραχωρεῖν καὶ ὑπερεξίσασθαι· τὰς ἀπελαύνοντ

τὸν ἔξωθεν ἐκεῖνον πόθεν εὐτεξία τοσαύτη ἐν πράγματι τοιού-
-τῳ· εἶτα τὴν δύναμιν, εἶτα τὴν σοφίαν αὐτοῦ διηγεῖται πείθων
μὴ θέλειν ἀπαιτεῖν αὐτὸν εὐθύνας:

˒ Τάξιν ἔθετο σκότει· καὶ πᾶν πέρας αὐτὸς ἐξακριβάζεται· λί-
˒ θος σκοτία καὶ σκιὰ θανάτου· διακοπὴ δὲ χειμάρρου ἀπὸ κο-
˒ νίας· οἱ δὲ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν ἠσθένησαν ἐκ
˒ βροτῶν ἐσαλεύθησαν: :: μᾶλλον ἕως τῆς
λείσου καθόδου :: ※ ἐν θ̅ τὸ ἡμιστίχιον ὁμοίως
καὶ οἱ θ̅: Ὀλυμπιοδώρου: Καὶ μὴν φησὶν ξ
οὗτοι οἱ λίθοι οἱ μεταλλευόμενοι, ἐν βάθει που κεῖνται, ὡς
ὑπ' αὐτὴν τοῦ θανάτου τὴν σκιάν, ἵνα εἴπῃ ὅτι ἐν τοῖς κα-
τωτάτω καὶ ἐν σκοτίᾳ βαθείᾳ: Τοῦ αὐτοῦ:

Ἐκ τῆς γῆς φησι τοιάδε κόνις εἰς χωνευτήριον ἐμβληθεῖσα, καὶ
διυλισθεῖσα τῷ πυρὶ πολύτιμον ἐκφέρει, εἴτε τὸν χρυσόν, εἴτε
τὸν ἄργυρον, εἴτε τὸν χαλκόν, εἴτε τὸν σίδηρον· λέγει δὲ ταῦ-
τα ἀποθαυμάζων ἅμα τὴν παρὰ θεοῦ δοθεῖσαν τοῖς ἀνθρώποις
σοφίαν· οἱ οὖν φησι μὴ καλῶς χρησάμενοι τοῖς ὑπὸ θεοῦ
δωρηθεῖσι λιμωκτήσονται: Ἄλλο: Καὶ τὰ πε- στο
περαιωμένα σκότῳ ἀνερευνᾷ, ὡς τὸν ἐν σκότει λίθον ἀ-
φ' οὗ ὁ χαλκός καὶ τὸν ὑπὸ χειμάρρου καὶ κονίαν σίδηρον:
Ὀλυμπιοδώρου: Ὡς χειμάρρους διακόπτει τὴν
ἀστεικτον κονίαν· οὕτως ἡ τοῦ θεοῦ δίκη τοὺς μὴ ἴδρα-
σκλύους: Ἄλλο: Εἰ γὰρ ἀξιοῦνται αὐτῶν ξα
σταγόνες ὑετοῦ, πολλῷ μᾶλλον χειμάρρων φορεῖ μεμέτρηνται,

καὶ ἐξαίφνης ἐπιφοιτᾷ καὶ διακόπτουσι τὸν ὑποκείμενον χοῦν:

> Γῆ[ξβ] ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος· ὑποκάτω αὐτῆς ἐστράφη ὡσεὶ
> πῦρ· τόπος[ξγ] σαπφείρου οἱ λίθοι αὐτῆς· καὶ[ξδ] χῶμα χρυσίον
> αὐτῆς· τρίβος[ξε] οὐκ ἔγνω αὐτὴν πετεινόν, καὶ οὐ παρέβλεψεν
> αὐτὴν ὀφθαλμὸς γυπός:

:: ⁜ :: ⁜

::: × ::: ⁜ :::: ⁜ :::: ⁜ Ὀλυμπιοδώρου:

ξβ Ἀλλὰ καὶ ἑτέρα φησὶ γῆ ὑπὸ γεωργία καὶ γεωργικῇ τέχνῃ καλλι-
σπειρομένη, καὶ κάτωθεν ἐν τοῖς ἰδίαις κόλποις ὑποδεχομένη
τὰ σπέρματα· εἶτα ὥσπερ πυρὶ οἰκείᾳ θέρμῃ διαλύσασα τὰ
καταβληθέντα· καὶ τοῦτο τῇ ἑνώσει αὐτῶν σπερματικῇ δυνά-
μει πολυπλασιάσασα, ἀναδίδωσι τὸν ἄσταχυν εἰς ἄρτου ποί-
-ησιν· κατὰ δὲ θεωρίαν ἄλλη γῆ ἐστὶν ἡ ἐκκλησία· τοῖς μὲν
ἀξίοις τὸν ζωοποιὸν ἄρτον ὀρέγουσα· τοῖς δὲ ἀναξίοις
τὸ κάτωθεν· τουτέστι τὸ ἐν ᾅδου καὶ αἰώνιον εὐτρεπίζου-
ξγ σα πῦρ: Τοῦ αὐτοῦ: Ἡ μὲν αἰσθητὴ γῆ
τοὺς τιμίους ἀναδίδωσι λίθους· ἡ δὲ νοητὴ τοὺς ἁγίους,
περὶ ὧν γέγραπται· λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς, τῆς
σαπφείρου τὸ οὐράνιον ὑποδεικνύντος πολίτευμα διὰ τοῦ χρώ-
ξγ ματος: Τοῦ αὐτοῦ: Τῆς μὲν αἰσθητῆς γῆς ὡς καὶ
ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἐστὶ τὸ χῶμα, ὅπερ ἑψόμενον
εἰς χρυσοῦ συμβάλλεται γένεσιν· τῆς δὲ ἁγίας ἐκκλησίας
καὶ τὰ δοκοῦντα εἶναι εὐτελῆ ὡς χῶμα, τίμια τυγχάνει:
ξε Τοῦ αὐτοῦ: Πρὸς μὲν ῥητὸν τοῦτο λέγει, ὅτι ταύτην
τὴν ὁδὸν τῆς μεταλλικῆς τέχνης, οὐ γνοίη τοῖς ὀξυωπεστάτοις·

οὐδὲ τοῖς λοιποῖς πετεινοῖς ἐδωρήσατο ὁ θεός, ἀλλὰ τῇ λογικῇ τῆς αὐτοῦ φύσει. πρὸς δὲ διάνοιαν· τὰς ἁγίας ἐκκλησίας οἰκείως τῷ ὁδῷ δαίμων, πετεινὸν κληθείς, διὰ τὸ ἐναέριον εἶναι, οὐ γύψ. τουτέστι φιλοσώματος ὤν· σαρκοβόρον γὰρ ὁ γύψ:

Οὐκ ἐπάτησαν αὐτὴν υἱοὶ ἀλαζόνων, οὐ παρῆλθεν ἐπ' αὐτῆς λέων. ἐν ἀκροτόμῳ ἐξέτεινε χεῖρα αὐτοῦ. κατέστρεψε δὲ ἐκ ῥιζῶν ὄρη. δίνας δὲ ποταμῶν ἔρρηξε. πᾶν δὲ τίμιον ἴδέ μου ὁ ὀφθαλμός: :: θ' ὀχυρώματα ἔθετο. :: οὕτως αὐτοῦ: Ὀλυμπιοδώρου:

Ἀλλ' οὐδὲ δράκοντες φησίν, ἢ τὰ ἕτερα μεγάλα θηρία. ταῦτα γὰρ υἱοὺς ἀλαζόνων καλεῖ. ἢ λέοντες ταύτην εἷλον φησὶ παρὰ θεοῦ τὴν σοφίαν. πρὸς δὲ διάνοιαν οὐ δυνάμενοι πατεῖν τὴν θεωρητικὴν γὰρ οἱ τοῖς δαίμοσι μαθητευόμενοι, καὶ υἱοὶ τούτων ἐνδίκως καλούμενοι. ἀλλ' οὐδὲ αὐτὸς ὁ πονηρὸς λέων, τουτέστιν ὁ διάβολος: τοῦ αὐτοῦ:

Ὁ δὲ ὑπὸ θεοῦ φησὶ συνετισθεὶς ἄνθρωπος, οὐδὲ τὰς τῶν ὀρῶν κορυφὰς ἀνεπάφους εἴασεν· ἀλλὰ τὰς ἀκροτόμους ἀναρρήξας, ῥυηδὸν ἐκεῖθεν πηγὰς ἀναβλύζειν παρεσκεύασε, καὶ ὑψηλὰ δέ τινα ἀναστήματα πολλάκις ἐξέκοψεν, ἃ δὴ ὄρη καλεῖ, πρὸς τὴν λοιπὴν ἐξομαλίζων γῆν. πρὸς δὲ διάνοιαν, ὁ θεὸς τὴν ἀκρότομον ἔρρηξεν εἰς πηγὰς ὕδατος, τὴν πάλαι ἄγονον τῶν ἐθνῶν ἐκκλησίαν, ἐξομβρεῖσαι ποταμηδὸν τὰ πνευματικὰ χαρίσματα παρασκευάσας· κατέστρεψε δὲ ἐκ ῥιζῶν ὄρη, τὰς ἀντικειμένας δυνάμεις

ἐκ θεμελίων καταστρέψας· δυνατὸν δὲ καὶ ἄλλως τὰς δίνας
ποταμῶν ὑπὸ τοῦ ῥηγνυμένας νοῆσαι, τὰς ἐπισυστάσεις
ξη τῶν ἐπερχομένων: τοῦ αὐτοῦ: τὸ κοινὸν τῶν
αὐτῶν ἀποδεχόμενος πρόσωπον φησὶν ὅτι παντέλιον ὑπὸ
θεοῦ ἐσοφίσθη ὁ ἄνθρωπος, ὃς ἀναλεγόμενος τὴν γῆν, καὶ ἐ-
ξάγων τὰ ὕδατα ἐπὶ τῶν ἐργάζεται· δείκνυσι φανερῶς ὅσην
εἴληφε παρὰ τοῦ δύναμιν καὶ ἐξουσίαν· πρὸς δὲ τούτοις.
ὁ ἐνανθρωπήσας λόγος τὰ πλήθη τῶν ἐθνικῶν χαρισμάτων
ἀπεκάλυψε, καὶ ἔδειξεν ἑαυτοῦ τὴν δύναμιν εἰς φῶς
κατά γε τὸν φήσαντα προφήτην· ὁ θεὸς ἐμφανῶς ἥξει, καὶ
ἐξήγαγεν ἡμᾶς ἐκ σκότους εἰς φῶς:
› Βάθη δὲ ποταμῶν ἀνεκάλυψεν· ἔδειξε δὲ αὐτοῦ δύναμιν
› εἰς φῶς· ἡ δὲ σοφία (ξθ) αὐτοῦ πόθεν εὑρέθη· ποῖος δὲ τόπος
› ἐστὶ τῆς ἐπιστήμης· οὐκ οἶδε βροτὸς ὁδὸν αὐτῆς, οὐδὲ μὴ
› εὑρεθῇ ἐν ἀνθρώποις: :: θ ἐξηρεύνησαν.
:: ε ἀπὸ δὲ ὑστερημένου προσῆλθε φῶς. ::: λθ εὑρε-
θήσεται. ::: α τάξις, θ σύνεσις, τὸ κύημα:
ξθ Ὀλυμπιοδώρου: σοφίαν ἐνταῦθα τοὺς δημιουργι-
κοὺς λόγους καλεῖ, καθ' οὓς τὰ ὄντα πεποίηται καὶ ἐξάγεται.
ταύτην γάρ φησι τὴν σοφίαν ἀχώριστον οὖσαν τοῖς ἀπὸ γῆς,
οὐκ ἐν τόπῳ τινὶ δυνατὸν εὑρεῖν, ὡς τὰς προρρηθείσας
ὕλας τυχόν, οὐκ ἐν ἀβύσσῳ, οὐκ ἐν θαλάσσῃ· ἢ αὐτίκα οὐδ' ἂν
πλεῖστα ὅσα θνητός τις ἀνερευνήσειεν ἐν βαθυνομένοις λογισ-
μοῖς, καὶ ἀπάλω φέρει τήνδε κάμηλος περιφερόμενος· ἀγι-

-δικῶς τοῦ διδασκάλου δεόμεθα, ἐφ' ὃ μηδὲ γνῶναι αὐτὸς ἐπιβαλεῖν ἀπλανῶς· οὐ γὰρ ἐν τῷ νῦν βίῳ τὸ τέλειον· βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι. διδοὺς ὡς δεῖ εἰδέναι φησίν, οὐκ οἶδε βροτὸς τὴν ὁδὸν αὐτοῦ:

Μεθοδίου: Κρίσει θεοῦ πάσχειν πεπεισμένος ὁ ξθ
Ἰώβ, καὶ φήσας ζῇ κύριος, ὃς οὕτω με κέκρικε, τῶν θείων κριμάτων, τοῦ θεοῦ σοφίαν ἄληπτον εἶναι ὁμολογεῖ, οὐ μόνον αὐτῷ, ἀλλὰ καὶ παντὶ ἀνθρώπῳ, καὶ τὴν ἐπιστήμην τῆς βουλῆς τοῦ θεοῦ, μὴ ἱκανοὺς εἶναι παραδέξασθαι τὸν ἐπίγειον τόπον μεμολυσμένον ἁμαρτίαις. ταῦτα οὖν ὡς πρὸς τοὺς φίλους λέγει, τοὺς οἰομένους κατειληφέναι τὴν αἰτίαν δι' ἣν ταῦτα ἔπασχεν: Ἐπιστήμη ἡ τελειότης τῶν ὡσαύτως ἐχόντων θεωρία, σύνεσις δὲ ἡ διάκρισις:

Ἄβυσσος εἶπεν οὐκ ἔστιν ἐν ἐμοί, καὶ θάλασσα εἶπεν οὐκ ἔστι μετ' ἐμοῦ. οὐ δώσει συγκλεισμὸν ἀντ' αὐτῆς, καὶ οὐ σταθήσεται ἀργύριον ἀντάλλαγμα αὐτῆς, καὶ οὐ συμβασταχθήσεται χρυσίῳ Σωφείρ: ※ ἐν θ' οἱ ιβ'·
※ ὡς οἱ μαργαρῖται λίχον· ※ ※
※ ἃ οὐκ ἀναβληθήσεται· ἐν πρωτείῳ:

Μεθοδίου: Ὁ κύριος ἡμῶν Χριστὸς ἡ τοῦ πατρὸς σοφία καταβέβηκεν εἰς τὴν ἄβυσσον, καὶ καταβὰς οὐ κεχώρηται. ἄβυσσος οὖν εἶπεν οὐκ ἔστιν ἐν ἐμοί· ἔστι γὰρ ἐν οὐρανῷ, καὶ θάλασσα εἶπεν· οὐκ ἔστι μετ' ἐμοῦ· αὕτη ἡ θάλασσα ὁ τῶν ἀνθρώπων βίος, ἐν ᾧ τὰ πρὸς τὴν ἀρετὴν ναυάγια· ἐὰν

οἷον θέλεις ἵνα μετὰ σοῦ ἡ σοφία ᾖ, καί τις ἐπὶ θάλασσαν.
πάλιν τὰ κύματα, ἐπάξει σου τὴν χεῖρα τῇ σοφίᾳ, καὶ ποιή-
σει σε περιπατεῖν ἐπάνω τῶν κυμάτων : ὑψηλίου:

ιδ Οἱ μὲν καταχθόνιοι εἶπον, οὐκ ἔστιν ἐν ἡμῖν σοφία· οἱ δὲ ἐπί-
γειοι, οὐκέτι μεθ᾽ ἡμῶν : Ὀλυμπιοδώρου:

σ Συγκλείνει πᾶσι τοῖς ὑπὸ τοῦ λογισμοῦ εὑρεθεῖσι, καὶ δείκνυσι
κατὰ πολλῷ τὴν περιουσίαν ὑπερφέρουσαν τὴν θεογνωσίας.
συγκλεισμὸν δὲ ἔοικε λέγειν χρημάτων θησαυρόν, διὰ τὸ ταῦτα
ἀσφαλῶς ἡμᾶς συγκλείειν. οὐκ ἔστιν οὖν φησὶ πρᾶγμα αἰώ-
νιον ἡ τοιαύτη σοφία. οὐδὲ ἀντισταθμηθήσεταί τι αὐτῇ· τοῦ-
το γὰρ λέγει τὸ οὐ βασταχθήσεται. τὸ δὲ σωφεὶρ ὡς καὶ ἐν τοῖς
ἔμπροσθεν εἴρηται, τόπος ἐστὶν ἐν ᾧ χρυσὸς κάλλιστος γίνεται.
ἀλλ᾽ οὐδὲ τῶν λίθων οἱ τιμιώτατοι φησὶ σαρδόνυξ καὶ σάπ-
φειρος, οὐχ ἡ ὕαλος. λέγει δὲ ἢ τοὺς διαφανεῖς μαργαρίτας,
ἤτοι τὸν διαυγῆ κρύσταλλον, τῇ κατὰ τὴν σοφίαν παρισωθή-
σεται. ταῦτα δὲ διεξέρχεται ὁ δίκαιος Ἰώβ, πείθων τοὺς ἐχθροὺς
ὡς πάντων μᾶλλον καὶ ἐπίσταται τῆς θεογνωσίας τὸ ὑπερφυ-
ές καὶ διαφερόντως αὐτῆς περιέχεται : Ὠριγένους:

δ Οὐδὲν ἀντάξιον ἐστὶ τῆς σοφίας, ἐὰν ἁπλούστερον νοῇς. τὸ ἀρ-
γύρειον καὶ τὸ χρυσίον εὐθέως ἐρεῖ Ἰώβ, ὅτι οὐδὲν ἄξιον ἐ-
δ στὶ τῆς σοφίας :. Οὐκ ἀντισωθήσεται αὐτῇ
χρυσίον ⊗ πρωτεῖον : ~

> Ἐν ὄνυχι τιμίῳ καὶ σαπφείρῳ· οὐχ ἰσωθήσεται αὐτῇ χρυ-
> σίον καὶ ὕαλος, καὶ τὸ ἄλλαγμα αὐτῆς σκεύη χρυσᾶ· μετὰ-

οα ::: οβ :::

-ωρα καὶ γαβεὶς οὐ μνησθήσεται· καὶ ἕλκυσον σοφίαν ὑπὲρ
τὰ ἐσώτατα: ∵ ※ ∵ ※ χρύσαφος δια-
φανής· ::: ※ ο οὐδὲ αὐτῇ καταλλαγήσεται σκεύεσι χρυσοῖς.
::: ※ ο ὑψηλὰ καὶ ὑπερηρμένα ::: ※ πολὺ δὲ σο-
φία παρὰ τὰ περίβλεπτα: Ὠριγένους:

Οὐδὲ ὅτι χρυσίῳ τιμίῳ ἡ σοφία παραβληθήσεται, ἀλλ' οὐδὲ ἐν σαπ- ⊕
-φείρῳ ἰσωθήσεται αὐτῇ: Ὀλυμπιοδώρου:

Πρὸς σύγκρισιν φησὶ τῆς σοφίας, οὐδὲ μνήμης ἄξια τυγχάνει οα
πάντα τὰ παρὰ ἀνθρώποις δοκοῦντα ὑψηλὰ καὶ ὑπερηρμένα:

Ὠριγένους: Οὐδὲ τὰ μετέωρα ἄξια ἐστὶ τῆς σοφίας, οα
οὐδὲ γαβὶς. ἔοικε δὲ ἐπὶ δυνάμεως τετάχθαι οἷον εἰ γιγάν-
των: Τινές φασιν ὅτι γαβεὶς λέγεται τὸ ὑπερέχον
τοῦ χείλους τοῦ δίμνου, ὃ καλεῖται κομμουλάτον:

Ὀλυμπιοδώρου: Ἐσώτατα ἢ τὰ ἐν τοῖς ταμιείοις οβ
ἀποκείμενα χρήματα φησίν, ἢ τοὺς τιμίους λίθους τοὺς
ἐκ τῶν ἐσωτέρων ἰνδῶν. πάντων οὖν φησὶ κειμηλίων προ-
τίμησον τὴν σοφίαν. καλῶς δὲ εἶπεν ἕλκυσον. οἱονεὶ σπά-
-σον ἐκ τῆς ἀληθινῆς σοφίας τὰ τῆς εὐσεβείας, κατὰ τὸ
ἐν ψαλμοῖς, τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα, ὅτι
τὰς ἐντολάς σου ἐπεπόθουν: Ὠριγένους:

Τὰ ἐσώτατα περὶ τὴν ἰνδίαν, ἢ τὰ περὶ τὰ ἐπέκεινα χωρία, οβ
ἔνθα εἰσὶ τίμιοι λίθοι. φέρει δὲ ἐκείνη ἡ χώρα τοῖς ἀνθρώποις
ταῦτα τὰ νομιζόμενα παρὰ τοῖς πολλοῖς εἶναι θαυμα-
στά· παρ' ἐκεῖνα οὖν τὰ ἐσώτατα ἕλκυσον εἰς αὐτὸν τὴν

σοφίαν, ἢ ὑπὲρ τὰ ἐσώτατα· ὑπεραπόρρητα τὰ ἐν τῷ μυ-
στήρια, τὰ ἅγια τοῦ θεοῦ, ὑπὲρ πάντα πολλὰ ὄντα, ἑλ-
κύσον τὴν σοφίαν: —

> [οϛ] Οὐκ ἰσωθήσεται αὐτῇ τοπάζιον [οζ] Αἰθιοπίας· χρυσίῳ κα-
> θαρῷ οὐ συμβασταχθήσεται· ἡ δὲ [οε] σοφία πόθεν εὑρέθη·
> ποῖος δὲ τόπος τῆς συνέσεώς σου ἐστί· λέληθε πάντα
> ἄνθρωπον· καὶ ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ ἐκρύβη:

∴ ※, τοὺς θησαυρούς· :: ※, οὐκ ἀντισταθμηθήσεται·

::: ※ ::: ※ ἐν θ οἱ β̅: Ὀλυμπιοδώρου:

οϛ Τοῦτο οὐκ ἔστιν ἄρθρον, ἀλλὰ μία λέξις ἐστὶ τοπάζιον. λέ-
γεται δὲ λίθος διαυγέστατος: Τοῦ αὐτοῦ:

οζ Τὰ ἀντισταθμιζόμενα εἰς ἑκατέρας τὰς πλάστιγγας κειμένας
οε συμβαστάζεται: Τοῦ αὐτοῦ: Οὐ περὶ
τῆς αὐτῆς διαλέγεται σοφίας, ἀνωτέρω μὲν γὰρ περὶ σοφί(ας)
ἐλάλει· τῆς περὶ τῶν ὄντων γνώσεως· ἐνταῦθα δὲ περὶ
τῆς κατὰ θεὸν πολιτείας λέγει, ἣν καὶ σύνεσιν εἰκότως
καλεῖ· ἅτε περὶ τὸ αἱρετὸν ἡμῶν στρεφομένην. ταύτης οὔτε
ἄνθρωποι φησὶν ἐπελάβοντο. καὶ οἱ τῶν οὐρανῶν ἐπιβαίνοντες
ἄγγελοι ἄνωθεν μὲν αὐτὴν εὑράμενοι καταρχάς· χωρ(ὶς)
δὲ ἐν ἑαυτοῖς αὐτὴν μὴ δεδωκότες. τὸ δὲ ἡ ἀπώλεια καὶ
ὁ θάνατος εἶπαν αὐτῆς τοῦ διεσάφησαν, ἤλεγξεν, ἵνα
εἴπῃ, ὅτι τῆς σοφίας ἐπιλαθόμενοι· θανάτῳ καὶ ἀπωλείᾳ
κεκράτηνται, κατ' ἀλλήλων ταῖς φύσεσιν: Ὠφεῖτ:

⌖ Λέληθε πάντα ἄνθρωπον, κἂν προφήτης ᾖ κἂν ἀπόστολος: +

> ἀπώλεια καὶ ὁ θάνατος εἶπαν· ἀκηκόαμεν αὐτῆς τὸ κλέος.
> ὁ θεὸς εὖ συνέστησεν αὐτῆς τὴν ὁδόν· αὐτὸς δὲ οἶδε τὸν τόπον
> αὐτῆς· αὐτὸς γὰρ τὴν ὑπουρανὸν πᾶσαν ἐφορᾷ· εἰδὼς
> τὰ ἐν τῇ γῇ πάντα τε ἃ ἐποίησεν· ἀνέμων σταθμὸν ὕ-
> δατός τε μέτρα ὅτε ἐποίησεν: ∴ ἐ σωτῆκεν.

∷ τουτέστι τὴν ἔξιν αὐτῶν καὶ ὅπως καὶ ὅθεν ἀναβλύ-
ζει τε καὶ πηγάζει· ∴ νομίζω περὶ τοῦ χριστοῦ λέγειν
αὐτόν· ∴ ἐ ὕδωρ ἐξίσωσε μέτρῳ· ἃ καὶ ὕδωρ
ἐσταθμήσατο ἐν καταμετρήσει: ὀλυμπιοδώρου:

Ἀλλ' ἡμεῖς φησὶν οὐκ ἐμείναμεν ἐπὶ τοῦ πτώματος· ἀλλὰ ος
τῆς σοφίας ταύτης ἠκούσαμεν τὴν δόξαν· προφητικῶς δὲ
ταῦτα λέγει· ὁ γὰρ ἐνανθρωπήσας τοῦ θεοῦ λόγος, ἡ σοφία
τοῦ πατρὸς ἐδίδαξεν ἡμᾶς διὰ τῆς εὐαγγελικῆς παραδό-
σεως ὅπως ἀναστρέφεσθαι δεῖ· αὐτὸς γὰρ ἡ ὁδός, δι' οὗ
τις ἔρχεται πρὸς τὸν πατέρα, ὃς καὶ πάντα ἐπίσταταί τε καὶ
οἶδεν, ἅτε καὶ πάντων δημιουργός: τοῦ αὐτοῦ:

Ὁ τοίνυν πάντα τὰ ποιήματα συμμέτρως καὶ ἀναλόγως οξ
δημιουργήσας θεός, ὡς μήτε ἀνέμους τῇ ἀμετρίᾳ τοὺς
ἐπὶ τῆς γῆς λυμαίνεσθαι· μήτε τῶν ὑδάτων τὴν φορὰν
ἐν τῆς ὁμοίας ἀμετρίας, ἢ διαλύειν ἢ ἐπικλύζειν τὴν γῆν
καὶ τὰς βροχάς· ἃς τινασσόμενος ὁ ἀὴρ ἀποτελεῖ χρησίμως
κατασκευάσας· ταύτας γὰρ καλεῖ τὰς ἐν τινάγματι φω-
νάς· ὁ οὖν πάντα δημιουργήσας θεός φησὶ τότε ἴδεν αὐτήν.
ἐξηγήσατο αὐτήν· ἀντὶ τοῦ τότε καὶ ἐνανθρώπησεν. ἔδειξεν

τοῖς αὐτοῖς τὴν εὐαγγελικὴν πολιτείαν. ἣν δὴ καλεῖ σοφίαν. ϛ´
παραδῶναι τε αὐτήν, ἀπεξεσμένως διδάσκων, ὅπως μὲν
περὶ τοῦ πρακτέον, ὅπως δὲ τοῖς τε ὁμογλυέσιν αὐτῷ
προσοιστέον τῷ βίῳ:

› Οὕτως ἰδὼν ἠρίθμησεν· καὶ ὁδὸν ἐν τινάγματι φωνάς.
› τότε ἴδεν αὐτὴν ἐξηγήσατο αὐτήν· ἑτοιμάσας ἐξιχνίασεν·
› εἶπε δὲ ἀνθρώπῳ ἰδοὺ ἡ θεοσέβεια ἐστὶ σοφία. τὸ δὲ ἀπέ-
› χεσθαι ἀπὸ κακῶν ἐστὶν ἐπιστήμη: ∴ ε´ εἰς
κτύπον φωνῶν: ∷ β´ διέταξεν αὐτὴν καὶ ἐξηρεύνησεν αὐτήν:

ὅτι Καὶ τὰς φωνὰς τὰς ἐν τινάγματι ἐχούσας τὴν ὁδόν· λέγει δὲ
βροντάς· φασὶ δὲ τὰς βροντὰς ταπεινοῦν τὴν ἔπαρσιν τῶν
κυμάτων φυσικῶς· διὸ καὶ ὁ ψάλλων ἔφη. ἀπὸ φωνῆς βρον-
τῆς σου δειλιάσουσιν: Τοῦ ἁγίου Ἰω(άννου):

Τοῦτο ἡ μεγίστη σοφία τὸ θεοσεβεῖν. οὐ τῷ περιεργάζεσθαι
καὶ τὰς αἰτίας ἀπαιτεῖν τῶν γινομένων. οὐδὲν ταύτης τῆς τέχνης
ἴσον οὐδὲν ταύτης τῆς σοφίας δυνατώτερον: +

+

+

Προθεωρία κεφαλαίου κη΄.

+

Θαυμασίως τοῦ Ἰὼβ τὰ περὶ δυνάμεως θεοῦ καὶ σοφίας
ἐξηγησαμένου καὶ διδάξαντος ὡς πάντων τιμίων ἡ σοφία
τιμιωτέρα, καὶ σοφὸς ἐκεῖνος ὁ θεοσεβὴς καὶ ἄκακος.
οἱ μὲν φίλοι πάλιν ἡσύχασαν, οὐδὲν ἀντιλέγειν ἔχοντες πρὸς
τὰ εἰρημένα. διὸ πάλιν ὁ Ἰὼβ ἐξ ἑτέρας ἀρχῆς ποιεῖται
τὸν λόγον. ἐρῶν μὲν γενέσθαι ἐν τῇ προτέρᾳ εὐδαιμονίᾳ,
καὶ ὑπὸ τὴν ἐπισκοπικὴν καὶ ἐποπτικὴν τοῦ θεοῦ δύναμιν.
ἐκδιδάσκων δὲ ὡς ἀξιέραστον ὁ θεόσδοτος πλοῦτος
ἐλεημοσύνῃ συμπεπλεγμένος καὶ ἐπαινετὸν ἡ φιλανθρωπί-
-α, δικαιοσύνῃ συγκεκραμένη. ἅπαντα γὰρ τὰ πεπραγμένα
τῷ φιλοσόφῳ προσκεῖται λογισμῷ, οἷς ἐάν τις κεχ-
-ρῆται κατὰ τὸ τοῦ λόγου βούλημα, θεοσεβής ἐστι καὶ φι-
λόθεος καὶ μακάριος ἀναδείκνυται. πολλὰ δὲ τῶν
φίλων αὐτὸν ἐπ' ἀσεβείᾳ καὶ ἀδικίᾳ διαβεβληκότων,
τῶν ἰδίων ἀνδραγαθημάτων ποιεῖται κατάλογον, μονονουχὶ
λέγων ὅπερ ὕστερον ὁ ἀπόστολος ἔφη· ἐγενόμην ἄφρων.
ὑμεῖς με ἠναγκάσατε. εἰ γὰρ καὶ γέγραπται, ἐγκω-
μιαζέτω σε ὁ πέλας, καὶ μὴ τὰ σὰ χείλη· ἀλλὰ μάλιστα
μὲν τοὺς τελείους πρὸς τοιούτους ἐξάγει λόγους ἡ ἀνάγκη. πο-
λλάκις ἀπαθῶς καὶ ἀτύφως τὰ καθ' ἑαυτοὺς ἐξηγουμένους.

οἰκονομεῖ δὲ καὶ θεὸς ταῦτα οὕτω γίνεσθαι πρὸς οἰκοδομὴν
ἡμετέραν, ὅπως τῶν ἁγίων ἀνδρῶν τοὺς βίους ἀπεξεσμένην
εἰκόνας ἀρετῆς ἔχοντες καὶ πρὸς ταῦτα ἐνατενίζοντες, τὸν
ἡμέτερον ῥυθμίζωμεν βίον. ἐπιτρέπει δὲ καὶ τὰ καθ᾽ ἑ-
αυτόν, ἵνα ἡμεῖς ἐν ταῖς περιστάσεσι πρὸς τὰ τοῦ Ἰὼβ
παθήματα βλέποντες παραμυθώμεθα. διδάσκει δὲ καὶ
δόγμα κάλλιστον, τὸ μὴ δεῖν ἑαυτὸν ἐξάγειν τοῦ σώματος,
διὰ τὸ συνδῆσαι θεὸν τὴν ψυχὴν τῷ σώματι. φησὶν δὲ οὐ-
χ ὅτι δίκαιος ἐστὶ καὶ πάσχει προστίθεται τῇ μερίδι τῶν
ἀσεβῶν· ἀλλὰ καὶ ταλανίζει τούτους καὶ ἐφεξῆς κατάλογον τῶν
οἰκείων ποιεῖται κατορθωμάτων εἰς ἡμετέραν διδασκα-
λίαν τε καὶ ὠφέλειαν. ταῦτα εἰρηκὼς ὁ Ἰώβ, τὸν λόγον
κατέπαυσεν. ἡσύχασαν δὲ καὶ οἱ φίλοι μηδὲν ἀντιλέγειν ἔχον-
τες πρὸς τὰ εἰρημένα. συνηπίσταντο γὰρ καὶ αὐτοὶ τῷ
δικαίῳ κατορθώματα. ἦν γάρ φησιν Ἰὼβ δίκαιος ἐ-
ναντίον αὐτοῦ : + +

+

Ἑνδεκάτη τοῦ Ἰὼβ πρὸς τοὺς φίλους διάλεξις. κεφ. κ´:

+

Ἔτι δὲ προσθεὶς Ἰὼβ εἶπε τῷ προοιμίῳ. τίς ἄν με θείη κατὰ
μῆνας ἔμπροσθεν ἡμερῶν ὧν με ὁ θεὸς ἐφύλαξεν. ὡς
ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου. ὅτε τῷ φωτὶ αὐτοῦ
ἐπορευόμην ἐν σκότει: :: σ τίς δώῃ με
κατὰ τοὺς μῆνας τοὺς πρώτους: :: θ καθὰ τὰς ἡμέ-
ρας ἃς ὁ θεὸς ἐφύλαττέ με. ::: ἔλαμπεν:

Ὀλυμπιοδώρου: Θείαν φυλακὴν λέγει καὶ ἀν-
τίληψιν, οὐ μόνον τὴν εὐπαιδίαν καὶ τοῦ πλούτου τὴν περι-
ουσίαν. ἀλλὰ καὶ ὅτι ἐν τοσαύτῃ περιφανείᾳ τὸ δίκαιον ἀ-
κέρως ἐφύλαξεν ὑπὸ τῆς ἐπισκοπῆς τοῦ θεοῦ φρουρούμενος.
διὸ καὶ ἐν ἐκείνοις εὐχόμενος γενέσθαι, οἷα φίλος θεοῦ
ὑπὸ τὴν τοῦ θεοῦ σκέπην εἶναι πρὸ τοῦ: Ἰουλιανοῦ:

Τίς ἄν μοι δώῃ φησὶν ἡμερῶν ἢ μῆνα κατὰ τὴν προϋπάρξασαν
μοι εὐπραγίαν, ἵνα πείσω τοὺς καταψηφισαμένους μου,
ὅτι οὐ κακῶς θεὸς ἐξ ὧν ἐπλήγην καὶ ἐμὲ ἔκρινεν· ἀλλ᾽ ἔξεστιν ἀ-
μα ἐμοὶ περὶ τῆς αἰτίας διαπορεῖν. εἰ γὰρ ἐξ ὧν
ἔπαθον ἄδικος παρ᾽ αὐτοῖς ἐκρίθην, ἐξ ὧν ἤμελλον εὐπρα-
γεῖν δίκαιος ἐγνωριζόμην: Ὀλυμπιοδώρου:

Ὁ θεῖος νόμος καὶ λόγος ὁ ἐν διανοίᾳ τοῦ Ἰὼβ ἐπὶ θεοῦ λαλού-
μενος παρεσκεύαζεν αὐτὸν ἐν τῇ σκοτομήνῃ τούτου τοῦ βίου

ὡς ἐν φωτὶ πορεύεσθαι, καὶ τὰς κατ' ἀρετὴν ἐνεργεῖν πρά-
ξεις, οἷα τις λύχνος ὑπὲρ κεφαλῆς, τουτέστιν ἄνωθεν λάμπων·
φησὶν οὖν ὅτι καὶ πᾶσι τοῖς ἀνθρωπίνοις ἑπόμενος ἀγαθοῖς,
καὶ ἀσφαλῶς τὰς κατ' εὐσέβειαν ὥδευον τρίβους τῷ θείῳ φω-
-τὶ καταλαμπόμενος: τοῦ ἁγίου Ἰω:

π Ὅτι γὰρ σπανίου(?) ἐξῄτει τὴν προτέραν εὐπραγίαν ἵνα σκέπῃ
τοῦ θεοῦ ἡ πρόνοια, δῆλον ἐκ τοῦ λέγειν ὅτι ὁ θεὸς ἐφύλατ-
π -τέ με: Μεθοδίου: τουτέστιν ὑπερσῴζει
τῆς κεφαλῆς μου ὅ ἐστι τοῦ νοῦ· ὡς γὰρ ἡ κεφαλὴ τὸ κυριώ-
τατόν ἐστιν ὁ νοῦς: Σευήρου Ἀντιοχείας:

+ο Φωτὸς γὰρ ὡς ἀληθῶς τρίβους ὁδεύουσιν ἐν τῷ σκότει τοῦ βιω-
τικοῦ κλύδωνος οἱ τὸν μονήρη βίον τῆς κοσμικῆς ἐπιμι-
-ξίας ἀνταλλαξάμενοι:

Ὅτε ἤμην ἐπιβρίθων ὁδούς· ὅτε ὁ θεὸς ἐπισκοπὴν ἐποιεῖτο
τοῦ οἴκου μου· ὅτε ἤμην ὑλώδης λίαν· κύκλῳ δέ μου οἱ
παῖδες· ὅτε ἐχέοντό μου αἱ ὁδοὶ βουτύρῳ· τὰ δὲ ὄρη μου
ἐχέοντο γάλακτι· ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει:
:: ε ὥσπερ ὅτε ἤμην ἡμέρας νεώτερός μου· :: ε
ὅτε περιέφερεν ὁ θεὸς τὴν σκηνήν μου· ::: ἀπόμενοι
ὑπ' ἐμοῦ: Ὀλυμπιοδώρου:

πδ Ὅτε πανταχόθεν ἔβριθον τοῖς ἀγαθοῖς, ὥσπερ τὰ εὔκαρπα
τῶν δένδρων· τότε πλείονα τοῦ πλούτου, καὶ τοῖς κα-
τ' εὐσέβειαν πράξεσιν, οὐ κοῦφός τις ὢν καὶ εὐρίπιστος,
ἀλλ' ἐμβριθὴς καὶ στερέμνιος: τοῦ ἁγίου Ἰω:

Ὁρᾷς ὅτι τοῦτο ἐπεθύμει τὴν ἐπισκοπὴν καὶ τὴν πρόνοιαν δεῖ- γδ
ξαι τοῦ θεοῦ : Μεθοδίου : Ὅτε εἶχον ἐγὼ δίκαιο —
σὺν φησὶ τὴν χρήσιμον ἐμοὶ ὕλην πεποίηκα ἀρετήν. πάσι
γὰρ καλῶς ἐχρώμην : Ὀλυμπιοδώρου :

Διὰ τούτων σημαίνει τῶν βοσκημάτων τὸ πλῆθος ὡς παν- πβ
ταχοῦ νεμομένων : Ὁδοὶ αὐτοῦ ἀρεταί. δι' οὗ πβ
καὶ τοὺς νηπιάζοντας ηὔξαινεν : Ὠριγένους :

Περιεῖπε καμὲν περὶ τῶν ὁδῶν τοῦ ἰὼβ, ὡς ὥδευσεν ὅτι ἀ- πβ
ρεταὶ ἦσαν. ἐχέοντο οὖν αἱ ὁδοί αὐτοῦ βουτύρῳ. ὥδευε
τὴν σωφροσύνην, καὶ οἱονεὶ ἐχεῖτο ἡ σωφροσύνη ὡς πολ-
λοὺς τρέφεσθαι, καὶ τῶν νηπίων ἀπὸ τῆς σωφροσύνης τοῦ ἰώβ,
ἀπὸ τῆς δικαιοσύνης τοῦ ἰὼβ, ἀπὸ τῆς ἀνδρείας. τοῦτο
γάρ ἐστι τὸ ὅτε ἐχέοντο αἱ ὁδοί μου βουτύρῳ. τὰ δὲ ὄρη
μου ἐχέοντο γάλακτι : Τοῦ αὐτοῦ :

Ὄρη τὰ ὑψηλὰ νοήματα καὶ μεγάλα, ταῦτα τὰ ὄρη τοῦ φ
ἰὼβ, ἐφ' ἃ ἀνέβαινε : Τοῦ ἁγίου ἰω :

Τὴν παρρησίαν λέγει καὶ τὴν ἀξίαν τὴν προλέγων εἶτα τὴν κς
δόξαν : Ὠριγένους : Διδασκαλία ἐσχόλα- κς
ζε καὶ ὠφέλεια ἐξ ὧν, οὐχ ὡς φίλαυτος, ἀλλ' ὡς ἀγαθὴν ἐχ
ζητοῦντα τὸ κοινῇ συμφέρον ὁ ἰὼβ :

, Ἐν δὲ πλατείαις ἐτίθετό μου ὁ δίφρος· ἰδόντες με νεανίσκοι
, ἐκρύβησαν· πρεσβῦται δὲ πάντες ἔστησαν· ἁδροὶ δὲ ἐπαύ-
, σαντο λαλοῦντες· δάκτυλον ἐπιθέντες τῷ στόματι :

∵ ἐπαρίσαντο :: οἱ δ' ἄρχοντες : Ὀλυμπιο :

Ὅταν τις ἄρχων καὶ διδάσκαλος ἀρετῆς, οὐχ ὕπνῳ καὶ μέθαις ἐσχόλαζεν· ἀλλ' ἐξάπινης ἐφ' ὑψηλῆς ἐν ταῖς πλατείαις καθῆσο, νόμος καὶ τύπος τοῖς ἐν τῇ πόλει γινόμενος:

Τοῦ ἁγίου Ἰω(άννου): Ἐμοὶ δοκεῖ καὶ τούτους βλέπειν καὶ αἰνίττεσθαι ἀλλ' ἐπεμβαίνοντας αὐτῷ, ὅτι πρὸ τοῦ φοβερὸς ἦμην φησὶ καὶ ἐπίδοξος: Ὀλυμπιοδώρου:

Οἱ μὲν νεωτερικὸν ἦθος ἔχοντες αἰδούμενοι τοῦ δικαίου τὴν ἀρετὴν ἀπεκρύπτοντο· οἱ δὲ πρεσβυτικὴν ἔχοντες φρόνησιν ἵσταντο τῶν αὐτοῦ λόγων ἐπακροώμενοι· καὶ οἱ ἁδροὶ δέ· τουτέστιν οἱ τῷ λόγῳ καὶ τῇ διδασκαλίᾳ πλούσιοι παρεχώρουν τῇ τοῦ Ἰὼβ διδαχῇ, καὶ ὡς μαθητῶν κατέπαυον χώραν· τὸ δὲ καὶ ἡ γλῶσσα αὐτῶν τῷ λάρυγγι αὐτῶν ἐκολλήθη· συνῆπται τῷ δάκτυλον ἐπιθέντες ἐπὶ στόματι· παρίστησι δὲ σιωπὴν ἅμα καὶ φόβον. ἐμακάριζον δὲ αὐτὸν οἱ τὰ κατ' αὐτὸν ἀκούοντες, καὶ ἔχοντες ὠτίον ἐπιτήδειον εἰς συνετῶν λόγων ἀκρόασιν:

Ὠριγένους: Δόξει μὲν οὖν καὶ σημεῖον εἶναι τὸ δάκτυλον ἐπιθέντες ἐπὶ στόματι αὐτῶν σιωπῆς· τάχα δὲ δηλοῖ ὅτι ἐπεὶ ἡ χεὶρ ἀντὶ ἔργων λαμβάνεται ὡς πολλάκις ἐπεδείξαμεν, ὅτι τὸ ἔργον αὐτῶν ἐπέθηκαν ἐπὶ στόμα· αἰσχυνθέντες ἐν ὀλίγῳ ἔργῳ ὅτι οὐκ εἰσὶν ἄξιοι τοῦ λαλ(εῖν) παρόντος τοῦ Ἰὼβ, μείζονα ἔργα πεποιηκότος:

Οἱ δὲ ἀκούσαντες ἐμακάρισάν με· καὶ γλῶσσα αὐτῶν τῷ λάρυγγι αὐτῶν ἐκολλήθη· ὅτι ὠτίον ἤκουσε καὶ ἐμα-

καρισέ με· ὀφθαλμὸς δέ ἰδών με ἐξέκλινεν:

∴ ※ ἐν θ' οἱ β' ∴ ἀλλ' ἐμαρτύρησε περὶ ἐμοῦ:

Ὠριγένους: Τοσοῦτος ἦν ὅτε οὐδέπω ἐβασανίζετο, ὥστε οἱ ἀκούοντες αὐτοῦ ἐμακάριζον αὐτόν· καὶ ἐθαύμαζον τίνα τρόπον τὰ τοσαῦτα ποιεῖ καὶ καταλαμβάνει, καὶ δύναται τοὺς ἀκούοντας ὠφελεῖν: Τοῦ ἁγίου Ἰω(άννου):

Τίνος ἕνεκεν ἐμακάριζον αὐτόν, ἐπιφέρει· διέσωσα γὰρ φησὶ πτωχόν· ἀγαθῶν ἔργων ἀναθεὶς τῷ θεῷ τὴν ἐπισκοπὴν καὶ τὴν φυλακὴν αὐτοῦ, τότε καυχᾶται ἐν κυρίῳ· ὅρα δὲ αὐτὸν οὐκ ἐπὶ τῇ τῶν κακῶν ἀποχῇ μέγα φρονοῦντα, οὐκ ἐπὶ ταῖς θυσίαις, καθάπερ οἱ ἰουδαῖοι· ἀλλ' ἐπὶ τούτῳ ᾧ βούλεται ὁ θεός· κρῖναί φησιν ὀρφανῷ καὶ πτωχῷ δικαιῶσαι χήραν:

Ὠριγένους: Τῶν ἀκουόντων μου καὶ μακαριζόντων με ἐφ' οἷς ἔλεγον, ἡ γλῶσσα τῷ λάρυγγι ἐκολλήθη:

Τοῦ αὐτοῦ: Ὥσπερ γέγραπται περὶ τοῦ Μωϋσέως ὅτι ηὐλαβεῖτο κατεμβλέψαι κατενώπιον τοῦ θεοῦ διὰ τὴν ὑπερβολὴν τῆς χρηστότητος αὐτοῦ· οὕτω νοήσαις ἂν ὅτι ὑπερβολὴ τῶν προκοπῶν τῆς ἐν σοφίᾳ τοῦ Ἰὼβ, ὥστε τοὺς ἀκούοντας αὐτοῦ μὴ δύνασθαι ἐνο[...] τὴν μαρμαρυγὴν ἐνορᾶν
τῶν νοημάτων αὐτοῦ, καὶ μὴ δυναμένους διὰ τοῦτο ἐκκλίνειν τοὺς ὀφθαλμοὺς αὐτῶν, μὴ παρακολουθοῦντας τῷ βάθει τῆς διανοίας αὐτοῦ· διὰ τοῦτο λέγει· ὀφθαλμὸς δέ με ἰδὼν ἐξέκλινεν: Ὀλυμπιοδώρου:

Ὁ μὲν ἀκούσας καὶ οὐ μακρὸς ἐμαρτύρησε περὶ ἐμοῦ ἐνδε- πε

-στύκασιν. ἔθεσεν δὲ ὀφθαλμὸς ἰδών με ἐξέκλινεν. αὐτὶ τοῦ

οὐκ ἴσχυον ἀντιβλέπειν:

Διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυνάστου, καὶ ὀρφανῷ ᾧ οὐκ ἦν

βοηθὸς ἐβοήθησα. εὐλογία ἀπολλυμένου ἐπ' ἐμὲ ἔλθοι.

στόμα δὲ χήρας με ηὐλόγησε. δικαιοσύνην δὲ ἐνδεδύκειν:

∴ ※ αὐτοῦ ἃ καὶ θ. ς καλῆνα ∴ θ καὶ καρδίαν

χήρας ηὔφρανα: Ὀλυμπιοδώρου:

πς Τὰς αἰτίας προοιμιάζομεν, διὰ τῶν οἰκείων κατορθωμάτων

ποιεῖται κατάλογον: Τοῦ ἁγίου Ἰω(άννου):

πς Ἴσθι δὲ ὅτι ἄληπτον πῶς ἐπὶ τὸ πλέος οὐ παρὰ τὴν οἰκείαν

φύσιν, οὐδὲ προαίρεσιν. ἀλλὰ παρὰ τὴν ἀνάγκην τῆς πενίας,

καὶ πρᾶγμα δύσκολον ἐπαινέσαι τὸν εὐποιοῦντα. κἀκεῖνο

γὰρ δηλοχεία ἐστίν: Ὀλυμπιοδώρου:

πς Ὁ μέλλων ἀπόλλυσθαι καὶ μὴ ἀπολλύμενος, διὰ τὸ τῆς αὐτοῦ τυχεῖν

ἐπικουρίας. καὶ ἡ χήρα δὲ ἡ ἀπροστάτευτος προστάτην αὐτὸν

εὑραμένη, δικαίως αὐτὸν ηὐλόγησεν: Σευήρου

πα ἐπισκόπου Ἀντιοχείας, ἐκ τῆς πρὸς Ἰουλιανὸν πρεσβύτερον ἐ-

πς πιστολῆς: Ὅτι ἐν εὐαγγελίοις φησὶ περὶ τῶν τῷ κόσμῳ

νεκρούντων ἑαυτούς, καὶ πρὸς τὸ τοῦ μαρτυρίου στάδιον τὸ

σῶμα ἐκδιδόντων. καὶ πρὸς τοὺς τῆς ἀσκήσεως πόνους (καὶ).

καὶ ταύτῃ ὑποκρινόντων ἑαυτοὺς ἀπολλῦναι καὶ ἀποκτεινῦναι

ὡς στερίσκεσθαι τῆς βιωτικῆς ἀπολαύσεως, ὁ ἀπολέσας

τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. τοῦ οὖν ὄν-

-τως ἀπολλυμένου κατὰ τὴν τοῦ σωτῆρος φωνήν, καὶ

εὐλογίσκοντος

εὖ εἰπόντες τὴν ψυχὴν αὐτοῦ. ἡ εὐχὴ καὶ ἡ εὐλογία τίς ἐστι· καὶ
ταύτην εὔξαιτο αὐτοῖς τῶν εὖ φρονούντων ἐπελθεῖν αὐτῷ,
καὶ ἐμφρόνως εἶπε τὸ εὐλογία ἀπολλυμένου ἐπ᾽ ἐμὲ
ἔλθοι: Ὀλυμπιοδώρου: Ἀντὶ πάσης λιτείας πη
ἐσθῆτος, δικαιοσύνῃ καὶ κρίματι ἐκαλλωπίζετο· ὥσπερ
ἄλλος ἐνεδύετο καλάξαν ὡς ἱμάτιον: Θεοῖτ:
ιδ' Ἴσωμεν αὐτοῦ τὰ ἀνδραγαθήματα, καὶ ἁπλώσωμεν κατὰ πη
τὸ ῥητὸν ἔχει λόγον τοῦτο· καὶ κατ᾽ ἀναγωγὴν ἔχει πολλῷ μᾶ-
λλον ἑρμηνείαν κατὰ τὸ ῥητόν ὅτι πολλάκις ὀφείλομεν
βοηθεῖν τοῖς πτωχοῖς ὑπὸ τῶν δυνατῶν καταδυναστευομένοις:
Καὶ μετ᾽ ὀλίγα: Καλὸν χιτῶνα ὕφαινεν ἑαυτῷ ὁ Ἰώβ.
ἵνα ἐνδύσηται τὴν δικαιοσύνην ἀντὶ χιτῶνος:
Τοῦ ἁγίου Ἰω(άννου): Ἔστι γὰρ οἳ ἑτέρων μὲν περιΐστανται. πη
αὐτοὶ δὲ ἀδικοῦσι πολλάκις· ἀλλ᾽ οὗτος οὐχ οὕτως:
ιε' Ἠμφιασάμην δὲ κρίμα ἴσα διπλοΐδι· ὀφθαλμὸς ἤμην τυ-
φλῶν· ποὺς δὲ χωλῶν· ἐγὼ ἤμην πατὴρ ἀδυνάτων:
Τοῦ ἁγίου Ἰω(άννου): Οὕτως ἐκαλλωπιζόμην,
καίτοι ἕτεροι τὸ πρᾶγμα δυσχεραίνουσιν, ἀγανακτοῦσι
φορτικὸν εἶναι καὶ βαρὺ νομίζουσιν. ἀλλ᾽ οὐκ ἐγώ φησιν,
ἀλλ᾽ ὥσπερ εἴ τις ἐπὶ διπλοΐδι καλλωπίζοιτο, οὕτω καὶ
ἐγὼ διηνεκῶς, οὐχὶ σήμερον μὲν, αὔριον δὲ οὐκέτι·
ἀλλ᾽ ὥσπερ ἀναγκαῖα τὰ ἱμάτια διαπαντός ἐστιν, οὕτω
καὶ τὰ πράγματα· καίτοι τίς αὐτὸν καλέσειε δικαστήν. αὐ-
τοχειροτόνητος κριτὴς παρὰ τῆς ἀρετῆς γέγονεν αὐτῆς, κα-

-πάσας μωϋσῆς, τοιούτους ἔλεγεν εἶναι τοὺς ἀνθρώπους:

Ὠριγένους: Τὸ δὲ αὐτοῦ καὶ τὸ ἱμάτιον, δικαιο-
σύνη ὁ χιτών, κρίμα ἡ διπλοΐς: Ὀλυμπιοδώρου:

πθ Ὠφέλει τοὺς τυφλοὺς ταῖς ψυχαῖς, καὶ αὐτὸς αὐτῶν ἐγίνετο
ὀφθαλμός: Τοῦ ἁγίου ἰωάννου:

πθ Οὐκ ἐπειδὴ ἐπενόουν φησὶ τὴν συμφοράν, οὐδὲ τῆς πηρώ-
σεως τὴν αἴσθησιν ἀνῄρουν· ἀλλ' ὀφθαλμὸς ἤμην· ἔβλε-
πον δι' ἐμοῦ, οὐκ ἐλάμβανον πεῖραν τῆς οἰκείας συμφορᾶς
δι' ἐμέ· οὐκ ἐπεζήτουν τοὺς χειραγωγοῦντας τοὺς ὁδηγοῦντας
παντελῶς, οὕτως αὐτοῖς ἐποίουν φῶς: Καὶ μετ' ὀλίγα:

Οὐ σημεῖα ἀποστολικά, οὐκ ὀφθαλμοὺς ἀποδιδούς· οὐπω
γὰρ τῷ αὐτῷ ἡ χάρις· ἀλλὰ μόνον τῶν πεπηρωμένων
φῶς παρέχων· οἱ δὲ νῦν καὶ τοὺς βλέποντας τυφλοὺς ποι-
οῦσιν· οὐκ ἤρκει δὲ τὰ τῶν οἰκείων ἐποίουν· ἀλλ' ἐγὼ αὐτὸς τῆς
φύσεως τὰ ἁμαρτήματα διώρθουν· οὐ παρὰ τῶν ἀνθρώπων
μόνον· ἀλλὰ καὶ τὰ παρ' αὐτῆς τῆς φύσεως: Τοῦ αὐτοῦ:

πθ Τοὺς γὰρ τυφλώττοντας τὴν ψυχήν, ἢ χωλεύοντας, ἐχειραγώ-
γει τῷ λόγῳ: Εὐαγρίου: Ὁ μὲν οὖν ὀφθαλμός,
ἐπὶ γῆς νοητικῆς ὁδηγίας· ὁ δὲ πούς ἐπὶ τῆς ἠθικῆς:

Ὠριγένους: Αὐτὸς ἐχαρίζετο καὶ τοῖς κεχωλωμένοις
τὰς βάσεις τῆς ψυχῆς πόδας, καὶ τῷ λόγῳ ἐγίνετο αὐτῶν
πούς: Τοῦ ἁγίου ἰω(άννου): Ὅρα δὲ μετὰ πόσον
χρόνον ταῦτα λέγει· οὐχὶ καυχώμενος, οὐδὲ μέγα φρονῶν·
ἀλλ' ἀναγκαζόμενος εἰπεῖν τοῦ θεοῦ τὴν πρόνοιαν, καὶ

ἐπὶ τέλει ἀπήλαυεν αὐτοῦ καὶ ἐν τέλει ἐστὶ νικῶν· Ὡριγένους:
Ἐν τούτοις φωναὶ δηλοῦνται τοῦ ὠφελοῦντος τοὺς ἀδικουμένους
τοὺς ἀσθενεῖς: Δίκην δὲ ἣν οὐκ ἤδειν
ἐξιχνίασα· συνέτριψα δὲ μύλας ἀδίκων· ἐκ δὲ μέσου
τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξέσπασα· εἶπα δὲ ἡ ἡλι-
κία μου γηράσει· ὥσπερ στέλεχος φοίνικος πολυχρόνιον βι-
ώσω: ∵ ἔλεγον δὲ μετὰ τῆς νόσου
μου γηράσει· :: ἡ δόξα μου ἀνανεάσει παροῦσα
μου: Ὀλυμπιοδώρου: Ἐπεὶ δὲ τῷ δικάζειν φη-
σίν, οὐ διὰ προμεμαθηκὼς ἔκ τινος τῶν μελῶν· οὐδὲ δια-
φθαρεὶς τὴν ἀκοήν, ἐπιμελῶς ἀναζητήσας κατείληφα
τὸ δίκαιον: Τοῦ ἁγίου Ἰω: Θεὸς τὴν προ-
στασίαν οὐ μέχρι χρημάτων, οὐδὲ μέχρι τροφῆς καὶ ἐνδυ-
μάτων, ἀλλὰ καὶ μέχρι κινδύνων ἀπωλείας προϊστάμενος
μάχης: Εὐσεβίου: Τοῦτο λεκτέον πρὸς τοὺς ἀπε-
ρισκέπτως ἀποφαινομένους καὶ κατακρίνοντας:
Ὠριγένους: Διδάσκει ἡμᾶς πῶς δεῖ δικάζειν· ἐάν
ποτε κληθῶμεν ἐπὶ δίαιταν ἀδελφῶν, ὥστε διαιτῆσαι τὰ
κατ' αὐτῶν: Ὀλυμπιοδώρου: Τὸ ἀποστολικὸν
ἐκεῖνο ὁ προϊστάμενος ἐν σπουδῇ: Ὠριγένους:
Ἀληθῶς ὁ Χριστὸς ἐλθὼν τὰς μύλας τῶν ἀντικειμένων ἐνεργειῶν
συνέθλασε· τὰς μύλας τῶν λεόντων συνέτριψεν ὁ Κύριος·
καὶ ἐν τῷ προφήτῃ γέγραπται· ἐκ δὲ μέσου ὀδόντων
αὐτῶν ἅρπαγμα ἐξέσπασα: Τοῦ ἁγίου Ἰω:

ϛβ Ὅρα τὴν δυσχολίαν τοῦ πράγματος καταφυγεῖν φησὶν ἤδη καὶ προληφθὲν τὸ πρᾶγμα αὐτὸ ὤρθωσα:

ϛϛ Ὀλυμπιοδώρου: Ταῦτα φησὶν ἔλεγον κατ' ἐμαυτόν, ὅτι δικαιοσύνῃ συζῶν ἀειθαλὴς ἔσομαι καὶ πολυχρόνιος· τοιοῦτον γὰρ ὁ φοῖνιξ· καὶ ὥσπερ τὰ δένδρα ἐπὶ ὕδατι τὰς ῥίζας ἔχοντα· οὕτως ἤλπιζον ἀνθηρὸς εἶναι καὶ κατάκαρπος· καὶ ὡς καρποὶ δρόσου καὶ ὑετοῦ ἀπολαύσαντες πλήρεις γινόμενοι καθ' ὥραν θερίζονται· οὕτω προσεδόκων κατορθώσας τοῖς ἀγαθοῖς μεταλλάξειν τὸν βίον· ἔλεγον δὲ ὅτι καὶ τὸ τόξον μου ἐν τῇ τοῦ θεοῦ χειρὶ πορεύσεται· τουτέστιν ἡ στρατεία μου εὐοδουμένη ἔσται καὶ κατὰ σκοπὸν πάντα μου ἐκβήσεται· λέγει οὖν ὅτι ὑπὸ μὲν τῆς θείας χειρὸς ὑπενόουν ὁδηγεῖσθαι τὰ κατ' ἐμέ· νῦν δὲ ὡς ἔοικε ματαία μου γέγονεν ἡ δόξα καὶ ἡ ἐλπίς· εἰς τοὐναντίον μοι τῶν πραγμάτων περιπεσόντων:

Ἡ ῥίζα διήνοικται ἐπὶ ὕδατος· καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου· ἡ δόξα μου καινὴ μετ' ἐμοῦ· καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύσεται· ἐμοῦ ἀκούσαντες προσέσχον· ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ· ἐπὶ δὲ τῷ ἐμῷ ῥήματι οὐ προσέθεντο· περιχαρεῖς δὲ ἐγίνοντο ὁπόταν αὐτοῖς ἐλάλουν: :: ⁜ ἐν β' οἱ λ'· :: ⁜

::: ⁜ ::: ⁜ ::: ἐπήνουν:

υτ Ἀεί μου ἀνακαινίζεται ἡ δόξα:

τυ Ὁ σκοπός μου πρὸς αὐτόν: Ὀλυμπιοδώρου:

Ἐπαναλαμβάνει πάλιν τοῦ αὐθέντου λόγον, δεικνὺς ὡς ϛϙ
ἅπασιν ὑπερέχει δημηγορῶν· αἰδέσιμός τε καὶ προσην-
-νής, νόμον τὴν τούτου βουλὴν δεξόμενοι:

τοῦ ἁγίου ἰω(άννου): Οὐ γάρ τι φησίν, οὐχ ὁ πλοῦ- δ
-τος αὐτὸν ἐπίφθονον ἐποίει, οὐ τὸ τῶν ἀδικουμένων
περιΐστασθαι, οὐκ ἄλλο τοιοῦτον οὐδέν:

› Ὥσπερ γῆ διψῶσα προσδεχομένη τὸν ὑετόν· οὕτως οὗτοι
› τὴν ἐμὴν λαλιάν· ἐὰν γελάσω πρὸς αὐτοὺς οὐ μὴ πιστεύ-
› σωσι· καὶ φῶς τοῦ προσώπου μου οὐκ ἀπέπιπτεν· ἐξελεξά-
› μην ὁδὸν αὐτοῦ καὶ ἐκάθισα ἄρχων· καὶ κατεσκήνουν
› ὡσεὶ βασιλεὺς ἐν μονοζώνοις: ∴ ※ ∴ ἐν
προσγελῶν αὐτοῖς οἱ δὲ οὐκ ἐπίστευον· ∴ ※ ἐν
θ' οἱ δὲ· ∴ ἐν εἰ προειλόμην ὁδὸν αὐτῶν πρὸς αὐτ(ούς)·
∴ ※ ἐν ἐν στρατοπέδῳ: ὀλυμπιοδ(ώρου):

Διὰ τὸ αἰσχυνθέντες, ἀπέραν εἶναι τὸ πρᾶγμα νομίζοντες· ἐν
τούτοις δὲ ἦθος ὑπέγραψε διδασκαλικόν· ἀλλὰ καὶ ὑπὲρ
τῆς χάριτος φησὶ τοῦ προσώπου μου ἀπέλαμπε τῆς ψυχῆς
προφαίνουσα τὸ κάλλος: τοῦ αὐτοῦ:

Διὰ τὸ ἐμβριθὲς τοῦ ἤθους: ϛε

Ἡ δόξα τῆς διδασκαλίας μου· ϛ

Ἐγὼ μὲν εἷς ἐξ αὐτῶν ἤθελον δοκεῖν· οἱ δὲ ἄρχοντά με ᾑροῦντο: ͳ

ὀλυμπιοδ(ώρου): Οὐ τυραννικῶς δέ φησι τὴν αὐτῶν ϛϛ
ἀρχὴν ἥρπασα· ἀλλ' ἐπειδὴ τὰ συμφέροντα αὐτοῖς
ἐκλεγόμενος εἰσηγούμην· καὶ τὴν καλλίστην ὁδόν

αὐτοῖς ὑπεδείκνυον· ἄρχοντά με ἑαυτῶν ἀπέδειξαν·
καὶ οὕτως ὑπετάγησάν μοι, ὥσπερ στρατιῶται βασιλεῖ· ἐν
πάθεσι δὲ ἄλλους γινομένους, ἢ τοῖς κατὰ ψυχήν, ἢ καὶ τοῖς
ἔξωθεν, λόγοις τε καὶ ἔργοις παρεμυθούμην:

55 Καὶ παρὰ ξένοις φησὶ βασιλικῆς ἀπήλαυον τιμῆς· μονό-
ζωνοι δέ εἰσιν οἱ τέμιοι τῶν στρατιωτῶν, οἱ μὴ τοῦ αὐτοῦ
τοῖς ἄλλοις ζωστῆρα φοροῦντες, ἢ οἱ ἀπόλεκτοι καὶ ἀσθενεῖς
λῆσαι : Ὃν τρόπον παθεινοὺς παρεκάλεσα·

ςξ̄ νυνὶ δὲ κατεγέλασάν μου ἐλάχιστοι· νῦν νουθετοῦσί με
ἐν μέρει· ὧν ἐξουδένουν πατέρας αὐτῶν· οὓς οὐχ ἡγη-
σάμην εἶναι ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων:

:: ε καθὼς ἄρχει ἄλλους ὁδηγῶν. :: θ νεώτεροί
μου ἡμέραις, ε βραχεῖς παρ' ἐμὲ ταῖς ἡμέραις. :: δ
θ ε μετὰ τῶν κυνῶν τῶν προβάτων μου : Ὀλυμπιοδώρου:

5ξ Ἀλλ' εἰς τοσαύτην περιέστη μεταβολὴν τὰ κατ' ἐμέ, ὡς
τοὺς ἐλαχίστους δι' ἀπορίαν καὶ δυσγένειαν, καὶ τὸ τῆς ἡλι-
κίας νεώτερον, οἴεσθαι διὰ τῆς εἰς γλῶτταν νουθεσίας,
μέτρος τί ἀνταποδιδόναι μοι τῶν εὐεργεσιῶν, ὧν εἰς ἄλλους
εἰσήνεγκα· τὸ οὖν μηδὲ κυσὶν ἄλλους παραβάλλειν, οὐκ ἀ-
λαζονίας εἶμα· ἀλλὰ σῆμα τῆς ἐκείνων παντελοῦς ἀχρειότητος.
ἵνα εἴπω· ὅτι εἴπερ τὴν ἐμαυτοῦ τιμὴν καὶ ἀξίαν ἐλογισάμην· οὐ-
δὲ προσβλέπειν ἠξίουν τοὺς πατέρας τῶν νῦν ἐπιχλευόντων μοι.
οἵτινες οὐδὲ ὅσην οἱ ἐμοὶ κύνες τῆς ποίμνης ἀφθονίαν εἶχον,
ἤτοι ἐπεὶ ψευδοδιδασκάλων φησί, οὓς οὐκ ἠξίουν πρώην φυ-

-λάσσειν τὰ ἐμὰ θρέμματα, τὰ ἀκούοντά μου τῶν λόγων. ὥσπερ καὶ ὁ προφήτης φησίν· ἐξουδένωται ἐνώπιον αὐτοῦ λέγων πονηρευόμενος : Τοῦ ἁγίου Ἰω(άννου) :

Οὐ χρώμενος τῇ ἐξουδενώσει, ἀλλὰ σαφῶς εἰδὼς αὐτούς, ὥσπερ ὁ προφήτης ἔλεγεν· ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος· τοὺς γὰρ τοιούτους οὐδὲν ἡγεῖτο :

Καίγε ἰσχὺς χειρῶν αὐτῶν ἵνα τί μοι· ἐπ' αὐτοὺς ἀπώλετο συντέλεια· ἐν ἐνδείᾳ καὶ λιμῷ ἄγονος· οἱ φεύγοντες ἄνυδρον ἐχθὲς· συνοχὴν καὶ ταλαιπωρίαν· οἱ περικυκλοῦντες ἅλιμα ἐπὶ ἠχοῦντι : ※ ἐνθ οἱ ς. ※ τὸ πρὸς ζωήν· ※ αὐτοὶ ἄγονοι· ※ αὐτίτου μὴ φέροντες· ※ ※ ε ἀπεκνίζον φλοιοὺς ξύλων· ἃ ἐπὶ ξύλου : Ὀλυμπιοδώρου :

Ἀλλ' οὐδὲ ᾔτησα τινὰ ἐπικουρίαν φησὶ παρ' αὐτῶν ἵνα διὰ τοῦτο τοιούτοις εἰς ἐμὲ χρήσωνται ῥήμασιν· οἵγε παρ' ἣν δίκην ἐχρῶντο πονηροὶ ὄντες· καὶ τοσοῦτον τινὰ ἀπέστη ἀπ' αὐτῶν ἡ τιμωρία, ἢ ὅτι θανάτου ἐπιθυμοῦντες διὰ τὴν ἄκραν πενίαν οὐκ ἔτυχον, καὶ οὐδὲ ὑπὸ τῆς ἐνδείας ἐσωφρονίσθησαν γνωστικοὶ γνώσεσθαι τοῦ καλοῦ, ἀλλ' ἔμειναν οἱ ἐχθές που καὶ πρὸ ὀλίγου τῆς ἐρήμου καὶ τῶν συμφορῶν ἐκπεφευγότες· ἔοικε δὲ ὡς ἀγνοεῖς αὐτοὺς διαβάλλειν καὶ ἐξ ἀδόξων χωρίων :

Ἀντὶ τοῦ οὐδὲ πώποτε τι χρηστὸν συνετέλεσαν :

Πᾶς γὰρ ἄγονος ἐν ἐνδείᾳ ἐστὶ καὶ λιμῷ : Ὀλυμπιοδώρου :

Ἅλιμα βοτάνη τίς ἐστιν ὡς φασὶ ταχὺ πληροῦσα τὸν ἐσθίοντα.

ἐπιηχοῦντι δὲ ἐπὶ φάραγξι καὶ πετρώδεσιν· εὔηχοι γὰρ οἱ
τόποι καὶ ἀντηχοῦσι τοῖς φθεγγομένοις. ἢ καὶ ἠχοῦντα λέγει
τὸν ἀγρώδη τόπον. ἐν ὥσπερ ἡ πνοὴ τῶν ἀνέμων κινοῦσα τὴν
ὕλην ἦχον ἀποτελεῖ. φησὶν οὖν ὅτι περιενόστουν οὗτοι τὰς ὕλας
καὶ τὰς φάραγγας, ὑπὸ τῆς ἄγαν ἐνδείας τὰς βοτάνας ἀνερευνώ-
μενοι. καὶ τὰς ῥίζας τῶν ξύλων περιξέοντες εἰς τροφὴν παραμυθούμενοι:

Οἵτινες ἄλιμα ἦν αὐτῶν τὰ σῖτα. ἄτιμοι δὲ καὶ πεφαυλισμένοι·
ἐνδεεῖς παντὸς ἀγαθοῦ, οἳ καὶ ῥίζας ξύλων ἐμασῶντο ὑπὸ
λιμοῦ μεγάλου. ἐπανέστησάν μοι κλέπται, ὧν οἱ οἶκοι αὐ-
τῶν ἦσαν τρῶγλαι πετρῶν, ἀναμέσον εὐήχων βοήσονται· οἳ
ὑπὸ φρύγανα ἄγρια διῃτῶντο. ἀφρόνων υἱοὶ καὶ ἀτίμων
ὄνομα: ·:· σ' καὶ ῥίζα ξύλων ἀγρίων ἡ σίτη-
σις αὐτῶν. :: α' φυτῶν. ::: ※ σ' μεταξὺ φυτῶν
ἀγρίων ἠχοῦντες λιμώδεις. ::: ἀνωνύμων:

ϛ Τοῦ ἁγίου Ἰω(άννου): Ἐλέγχει πονηρίαν τὸ καὶ ἐν πενίᾳ
ρ̄ τοιούτους εἶναι: Ὀλυμπιοδώρου: Οἱ δὲ τοιοῦτοι
φησὶ καὶ εἰς λῃστείαν ἐτρέποντο, οἴκους ἔχοντες τῶν πετρῶν
τὰ κοῖλα, ἐν ἐρήμοις διαιτώμενοι, καὶ ὑπὸ φρυγάνων σκε-
πόμενοι. ἐξ ἀφρόνων ἄφρονες, ἐξ ἀτίμων ἄτιμοι, ἀνώ-
ρ̄ νυμοι καὶ ἄδοξοι ἐπὶ τῆς γῆς: Κλέπτοντες τὴν ἐ-
πανάστασιν διὰ τῆς παρηγορίας:

Καὶ κλέος ἐσβεσμένον ἀπὸ γῆς. νυνὶ δὲ κιθάρα ἐγώ
εἰμι αὐτῶν. καὶ ἐμὲ θρύλημα ἔχουσιν. ἐβδελύξαντο δέ
με ἀποστάντες μακράν. ἀπὸ δὲ τοῦ προσώπου μου οὐκ ἐφεί-

γ̅

-τοῦτο πτύελον· ἀνοίξας γὰρ φαρέτραν αὐτοῦ ἐκάκωσέ με.
καὶ χαλινὸν τοῦ προσώπου μου ἐξαπέστειλεν:
∴ ※ στί(χοι) β̅ οἱ ε̅ : τοῦ ἁγίου ἰω(άννου) :

Ὅ φησι τίνα ἐστὶ τὰ μάλιστα αὐτὸν λυποῦντα, τὸ παρὰ τοιού- δ̅
-των σκώπτεσθαι ἐπὶ βλάβῃ τῇ ἐκείνων: Ὀλυμπιοδώρου:

Ἐπὰν δέ μοι πλησιάσωσι φησὶν ἐμπτύοντές μοι μακρὰν ἀ- ε̅
φίστανται, βδελυττόμενοί με καὶ ἀηδίαν ἡγούμενοι:

τοῦ αὐτοῦ : Πλήττει μὲν κἀν τούτῳ τὸν διάβολον ὁ γ̅
δίκαιος ἰώβ, μὴ φάσκων αὐτὸν ἐπισπᾶσθαί τι κατ' αὐτοῦ· τὸν
δὲ θεὸν ἐπενηνεχέναι αὐτῷ τὰς πληγάς· λέγει δὲ ὅτι καὶ χα-
λινόν μοι ἐξαπέστειλεν· οἱονεὶ δεσμοῦντα τὸ πρόσωπόν μου.
ἵνα εἴπῃ ὅτι ἀναπολόγητόν με πεποίηκεν· πάντων τὰς συμ-
φορὰς εἰς ἀπόδειξιν ἀσεβείας μοι προφερόντων:

Ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστησαν· πόδας αὐτοῦ ἐξέτειναν,
καὶ ὡδοποίησεν ἐπ' ἐμὲ, τρίβους ἀπωλείας αὐτῶν· ἐξετρίβη-
σαν τρίβοι μου· ἐξέδυσε γάρ μου τὴν στολήν· βέλεσιν αὐτοῦ
κατηκόντισέ με· κέχρηται δέ μοι ὡς βούλεται· ἐν ὀδύναις
πέφυρμαι· ἐπιστρέφονται δέ μοι αἱ ὀδύναι:
∴ ἐπι βλυσμοῦ : Ὀλυμπιοδώρου:

Καὶ τοῦτο λέγει, ὅτι τὸ πρότερον βλαστοῦντι καὶ εὐθηνοῦντι ἐξ ϛ̅
ὑπερδεξίων ἐπανέστησαν ἐπεμβαίνοντές μοι: Καὶ ὅτι
τοῖς βλαστοῖς μου τοῖς δεξιοῖς τουτέστι τοῖς δικαιώμασιν
ἐπανέστησαν λέγοντες, ὡς οὐ καθαρῶς τὴν εὐσέβειαν
μετιέναι: τοῦ αὐτοῦ : Κινήσαντος ἑαυτόν ε̅

τοῦ θεοῦ καὶ ἐμοῦ φησίν, ἔσχον καὶ αὐτοὶ ὁδὸν ἐφόδου :

ς τοῦ αὐτοῦ : Ἀπώλοντο φησὶν αἱ ὁδοί μου ἐξηφανίσθησαν. τοῦ θεοῦ περιδύσαντός με τῆς εὐσεβείας τὴν στολήν· αὐτοὶ δὲ περιελόντος τὴν οἰκείαν βοήθειαν : τοῦ αὐτοῦ :

ζ Τὸ σφοδρὸν τοῦ ἐλασμοῦ, διὰ τούτων δηλοῖ. τὸ δὲ ὡς βούλεται. ἵνα εἴπῃ ὅτι ἐγὼ τὴν αἰτίαν οὐκ οἶδα : τοῦ αὐτοῦ :

η Περιεστοίχισμαι φησὶ τοῖς δεινοῖς. καὶ ὀδύναι μου ἀναπαίνι-ζονται. ἀπέστη δέ μου πάλαι τὶς ἐλπὶς χρηστή, δίκην ἀνέμου, καὶ νέφους παραδραμόντος :

Ὤλετό μου ἡ ἐλπὶς ὥσπερ πνεῦμα, καὶ ὥσπερ νέφος ἡ σωτηρία μου. καὶ νῦν ἐπ' ἐμὲ ἐκχυθήσεται ἡ ψυχή μου. ἔχουσι δέ με ἡμέραι ὀδυνῶν. νυκτὶ δέ μου τὰ ὀστᾶ συγκέκαυται. τὰ δὲ νεῦρά μου διαλέλυται. ἐν πολλῇ ἰσχύϊ ἐπελάβετό μου τῆς στολῆς. ὥσπερ τὸ περιστόμιον τοῦ ἱματίου μου περιέσχε με :

∵ τὰ καταθύμιά μου : :: ※ ἐν θ καὶ ς.

::: οἱ δὲ νυκτός · ::: τοῦ σώματος :

θ Ὀλυμπιοδώρου : Ἐκχυθήσεται ἀντὶ τοῦ συγχεῖται. ἵνα εἴπῃ ὅτι διασπαροῦμαι τοῖς λογισμοῖς ἐκ τῶν ὀδυνη-ρῶν ἄπορον. τὰς δὲ ἡμέρας τε καὶ νύκτας ὀδυνῶμαι φησὶν ὡς καὶ τὰ ὀστᾶ μου φρυγῆναι καὶ ἐξασθενῆσαι τὴν δύναμιν :

ι τοῦ αὐτοῦ : Ἰσχυρῶς μου φησὶ περιδραμόντος, διέ-ξει καὶ ἀποπνίγει, καθάπερ τις περισφίγγων τὸ περιστόμιον τοῦ ἱματίου περὶ τὸν τράχηλον : Ὅς διὰ στενοῦ χι-τῶνος ἐμβαΐξει τὴν πνοίαν μου :

ια Ἥγησαι δέ με ἴσα πηλῷ ἐν γῇ καὶ σποδῷ μου ἡ μερίς· κέκραγα δὲ
πρὸς σὲ καὶ οὐκ εἰσακούσεις μου· ιβ ἔστησαν καὶ κατενόησάν με· ιγ ἐπέ-
βησαν δέ μοι ἀνελεημόνως· χειρὶ κραταιᾷ με ἐμαστίγωσας·
ἔταξας δέ με ἐν ὀδύναις· καὶ ἀπέρριψάς με ἀπὸ σωτηρίας·
οἶδα γὰρ ὅτι θάνατός με ἐκτρίψει:

∴ θ ⁜ Ὀλυμπιοδώρου:

Ὡς πηλὸς πρὸς ὥραν, πρὸς τὴν ἀποδύρεται καὶ τὸ εὐτελὲς τῆς φύ- ια
σεως εἰς δέησιν προτείνει. λογίζεται γάρ φησιν ὦ δέσποτα,
ὅτι γῆ τε εἰμὶ καὶ εἰς γῆν ἀναλύομαι· εἰσάκουσόν μου τῆς κραυ-
γῆς· τὸ δὲ οὐκ ἀκούεις μου πολλὴν ἔμφασιν τῆς εἰς θεὸν ἀ-
γάπης ἔχει· ὡς γὰρ ἀκούσεσθαι πιστεύων, οὕτως ἔφη:

Τοῦ αὐτοῦ: Ἐς χλευάζοντες, ἢ καὶ τὸ τῆς συμφορᾶς
θαυμάζοντες μέγεθος: Ἴσασιν οἱ ἅγιοι τὸ μέγα τοῦ ιβ
θεοῦ ἔλεος· διὸ καὶ ἔλεγεν ὁ Δαδ, ἐλέησόν με ὁ θεὸς κατὰ ιγ
τὸ μέγα ἔλεός σου· πρὸς τοῦτο τὸ ἄφατον ἔλεος τοῦ θεοῦ ἀπο-
βλέπων λέγει· ἐπέβης δέ μοι ἀνελεημόνως· εἰ γὰρ ἐτύγχανον
φησὶ τοῦ μεγάλου σου ἐλέους· οὐκ ἂν ἐν ταῖς παρούσαις συμ-
φοραῖς ἐξητασάμην· αὐτουργὸς τοιγαροῦν εἰ καὶ ἀξιοῦμαι τοῦ
τυχεῖν ἐλέους τοῦ ἐν μάλα: Τοῦ αὐτοῦ:

Οἶδα φησὶν ὅτι θνητὸς γεγονώς, καὶ πάντως τελευτήσει μέλλων. ιδ
ὥστε ἡδέως συντομώτερον τῶν συμφορῶν ἀπηλλαττόμην·
ἢ αὐτόχειρ ἐμαυτοῦ δίχα αἰκίας γινόμενος· ἢ ἑτέρους
κελεύων ἐπὶ τὴν ἐμὴν ἀναίρεσιν ἐλθεῖν· εἰ γὰρ ἐδυνάμην
φησίν, ἐποίουν ἄν· οὐκ ἠπίστατο οὖν δίκαιος ὢν δηλονότι:

Οἰκία γὰρ παντὶ θνητῷ γῆ. Εἰ γὰρ ὄφελον δυναίμην ἐμαυτὸν διαχειρώσασθαι, ἢ δεηθείς γε ἑτέρου καὶ ποιήσει μοι τοῦτο. ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα· ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις:

Τοῦ ἁγίου Ἰωάννου:

Ὅρα ὅτι τὸ ἠδυναίμην οὐ δι' ἀσθένειαν λέγει, ἀλλὰ διὰ τὸ κεκωλῦσθαι:

Εὐαγρίου:

Τὸ χειρώσασθαι οὐκ ἔκειτο ἐν τῷ τετρασελίδῳ, οὔτε παρὰ τοῖς ο΄, οὔτε παρὰ τοῖς λοιποῖς, ὧν καὶ τὰς ἐκθέσεις παρεθέμεθα. δύναται δὲ ἡ θήκη παραλελεῖφθαι κατ' ἀρχαίαν συνήθειαν. τοῦτο δὲ γίνεται ἡνίκα λύπη τις ἢ αἰδώς, ἢ ἄλλο τι πάθος ἀτελεῖς προφέρειν ποιοῖ τοὺς λόγους:

Ὀλυμπιοδώρου:

Μετὰ τὸ τὰ πολλὰ τῶν ἑαυτοῦ κατορθωμάτων καταλέξειν. ὅπως τε τῇ ποικιλίᾳ τῶν ἐν ἀσθενείᾳ ἡρμόζετο. τοὺς μὲν ἐν ἐνδείᾳ τῇ τῶν δεόντων χορηγίᾳ παραμυθούμενος, τοῖς δὲ ἀδικουμένοις ἐπικουρῶν, καὶ τοὺς ἐν ἀρρωστίαις, εἴτε σωματικαῖς εἴτε ψυχικαῖς ἰατρεύων κατὰ δύναμιν. ἐπεὶ παρεώρα λοιπόν. καί τινας ἀνίατα νοσοῦντας. ἔνθα καὶ πᾶσα ἡ παρὰ ἀνθρώπων ἡττᾶτο ἐπικουρία, τὸ συμπαθὲς ἑαυτοῦ δεικνύς. κἂν τοῖς τοιούτοις ἐπεκτεινόμενον φησίν. ὅτι ἐν οἷς οὐδὲν ἦν οὐκ εἶχον ἐπικουρεῖν ἔξωθεν. μόνοις δὲ τοῖς τῆς θείας χειρὸς τὸ κατόρθωμα, συνήλγουν, ἔκλαιον, ἐπεστέναζον, καὶ τὰ τοιαῦτα τοῖς κάμνουσι συνεισέφερον. καίτοι γε αὐτὸς ἐν εὐδαιμονίᾳ τυγχάνων. τοῦτο γάρ ἐστι τὸ ἐγὼ ἀπέχων ἀγαθοῖς, συνιεὶς ἔλεγον, οὐ τρυφαῖς σχολάζων. οὐδὲ ἀπατώμενος τῷ πλούτῳ τοὺς ἐν συμφοραῖς

ἄλλων παραλαμβάνων. ἀλλὰ τὰ τούτων οἰκειούμενον δεινὰ τῶν ἐν
χερσὶν ἀλγεινῶν θεραπευτικῶς: Καὶ οὐχ εὑρίσκω φησὶ
τὴν ὁμοίαν συμπάθειαν: Τοῦ ἁγίου Ἰω(άννου):
Οὐ μικρὸν καὶ τοῦτο ἀγαθόν· ἀλλ' εἰ δεῖ τι εἰπεῖν καὶ ἐκείνου μεῖζον,
τὸ συμπαθητικὴν ἔχειν διάνοιαν: Τοῦ ἄλλου:
Καίτοι ἐν πλούτῳ ὢν οὐδὲν τοιοῦτον ἐποίησα, οἰκεφράσθην φη-
σὶ ταῖς ἀπωλείαις συμφορᾶς, ὅπερ πάσχω νῦν:
Ἐγὼ ἐπέχων ἀγαθοῖς· ἰδοὺ συνήντησάν μοι μᾶλλον ἡμέραι κακῶν.
ιε ἡ κοιλία μου ἐξέζεσε καὶ οὐ σιωπήσεται· ιϛ προέφθασάν με ἡ-
μέραι πτωχείας· στένων πεπόρευμαι ἄνευ φιμοῦ· ἕστηκα δὲ
ἐν ἐκκλησίᾳ κεκραγώς· ιζ ἀδελφὸς γέγονα σειρήνων· ἑταῖρος δὲ
στρουθῶν: :: Ἄ(λλος) ἀγαθὰ προσεδεχόμην ἦλθε
δὲ κακά· :: ※ σύ(μμαχος) θ' οἱ ε', ἄ(λλος) οὐκ ἐσιώπησε· :: ※
::: ἄ(λλος) ἀθυμῶν· :::: ἄ(λλος) στρουθοκαμήλων :
Τοῦ ἁγίου Ἰω(άννου): Ἐκ γὰρ ὑπερβολῆς τῶν κατειληφότων
αὐτὸν δεινῶν, ἠνάγκαζε φθέγγεσθαι καὶ ἀποδύρεσθαι, οὐδὲ
βουλόμενος ἡσυχάζειν δύναμαι φησίν: Ὀλυμπιοδώρου:
Τουτέστι φλέγομαι τὰ ἔνδον καὶ βουλόμενος φέρειν ἡσυχίαν ιε
οὐ δύναμαι· κοιλία δὲ ἡ ψυχὴ διὰ τὸ ἀποκρύφιον. ἢ τὸ τοῦ
λόγου χωρητικὸν καὶ ἀναδοτικόν: Τοῦ ἄλλου:
Προκατέλαβέ με ἡ πτωχεία φησὶ καὶ ἄνευ φιμοῦ ἀπαθῶς ιε
ἐπισυμμίξει με τὰ πάθη πιέζοντα, καὶ σιγᾶν ἀναγκάζει πο-
λλάκις· ποτὲ δὲ καὶ ὑπὸ ταῖς πάντων ὄψεσιν ἀναβοῶ· ταῦτα
δὲ φιλεῖ συμβαίνειν τοῖς ὀδυνωμένοις τὸ καὶ ἐπέχεσθαι τῶν

φονικῶ ὑπὸ τῆς ἀγωνίας· καὶ αὖ πάλιν ἀναβοὰν κυπτομένους
ὑπὸ τῶν ἀλγηδόνων· τὸ δὲ εἴρηκα ἐν ἐκκλησίᾳ κεκραγώς, δύ-
-ναται νοεῖσθαι κατὰ τὸ ἀποστολικόν· ὡς περικαθάρματα ἐ-
γενήθημεν ἐν τῷ κόσμῳ: τοῦ ἁγίου ἰω:

διὰ τὴν ὑπερβολὴν τῶν δεινῶν, οὐδὲ πλῆθος συνόδου αἰσχυνό-
ιζ μενος: ὀλυμπιοδώρου: σειρῆνας λέγει ᾠδικοὺς
τινὰς ὄρνιθας· στρουθοὺς δὲ τοὺς στρουθοκαμήλους· ἐρη-
-μικὰ δὲ τὰ ζῶα· φησὶν οὖν ταῦτα, ὡς ἔξω πόλεως καὶ αἰ-
ιζ θριος κείμενος: ἀλκυόνων ἢ γλαυκῶν· ἀμ-
-φω δὲ θρηνητικά: ~

τὸ δέρμα μου ἐσκότωται μεγάλως· τὰ δὲ ὀστᾶ μου συνεφρύγη
ἀπὸ καύματος· ἀπέβη δὲ εἰς πένθος μου ἡ κιθάρα· ὁ δὲ
ψαλμός μου εἰς κλαυθμὸν ἐμοί· διαθήκην ἐθέμην τοῖς ὀφθαλ-
μοῖς μου· καὶ οὐ συνήσω ἐπὶ παρθένον· καὶ τί ἐμέρισεν ὁ
θεὸς ἐπάνωθεν: β ※ :: ζ μ πάθος.
:: ※ ἐν β οἱ ξ μ θ κ. ::: ※ ε καὶ οὐδὲν ἐνενό-
ησα περὶ παρθένου· ::: ※ τοῦτο ἐν τῶν ἄλλων:

ιη ὑπὸ τοῦ ἡλίου καὶ τῆς νόσου: ὀλυμπιοδώρου:
ιθ ἐστράφη δέ μοι τὰ τῆς εὐφροσύνης εἰς πένθος· ταῦτα δέ φησιν
εἰς οἶκον τοῦ θεοῦ συνηγούμενος: τοῦ αὐτοῦ:

κ εὐαγγελικὴν ἀκρίβειαν ἐφύλαττε πρὸ νόμου τυχών·
ἐπειδὴ γὰρ ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς,
ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· ἐπαιδαγώγει
τὸν ὀφθαλμὸν αὐτοῦ εἰς τὸ μὴ τὰς ὄψεις τῶν παρθένων περι-

-εργάζεσθαι· παλιν οὖν φησὶ μετὰ τοσαύτην ἀκρίβειαν τοσ-
-αύτην μοι μερίδα καὶ κλῆρον ὁ δυνατὸς καὶ ὕψιστος ἐπε-
μέρισεν ἀγνοῶ τοὺς λόγους: Τοῦ ἁγίου Ἰω(άννου):

Βαβαὶ τῆς ἀκριβείας, οὐκ ἔχει τις εἰπεῖν ὅτι τῷ πλούτῳ κ
καὶ τοῖς ἀγαθοῖς τοῖς ἔμπροσθεν εἰς ἐπιθυμίαν καὶ διάχυσιν
ἀπολαύσας ταύτην τίνων τὴν δίκην καὶ μεταβέβλημαι,
τοῦ θεοῦ καταλληλόν μοι φάρμακον ἐπιθέντος· τὸ μὲν γὰρ
φιλόγελων καὶ τρυφῇ προσεσχηκότα, καὶ φιλοπαίσμονα
εἰκότως αὐτίκα τὴν εὐκολίαν καταλύσειεν ἔξιν γοερῷ τινὶ
καὶ πολὺ θρηνώδει παραδοὺς αὐτὸν βίῳ. ὥστε καὶ πρὸ τούτου
φεύγοντα μὲν κώμους, διώκοντα δὲ αὐτοὺς παίζοντας καὶ γε-
λωτοποιοῦντας· ποῖος ἂν ἔχοι λόγος ἐμπεσεῖν εἰς σκυθρω-
πὸν καὶ κατηφῆ βίον:

Καὶ κληρονομία ἱκανοῦ ἐξ ὑψίστων· κα οὐαὶ ἀπώλεια τῷ ἀ-
δίκῳ· καὶ ἀλλοτρίωσις τοῖς ποιοῦσι τὴν ἀνομίαν· οὐχὶ αὐτὸς
ὄψεται ὁδόν μου, καὶ πάντα τὰ διαβήματά μου ἐξαριθμή-
σεται· κγ εἰ δὲ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν:
∵ ἀντὶ τοῦ ἴσον· ∷ ἀλλ' ὀρχουμένοις φησίν· ∷ του-
τέστι μίμων κωμικῶν· ἢ μετὰ ματαιότητος:

Ὀλυμπιοδώρου: Ὅτι μὲν ὧδε οὐδ' ἁμαρτίας κα
πάσχειν ὁ Ἰὼβ πρόδηλον καὶ ἀληθὴς ἡ ὑπόνοια· ἐπεὶ γὰρ
τῶν ἀρετῆς οὐ κακῶν ἀνταπόδοσις· πλὴν οὐδ' ἐπαιτοῦντα προ-
-τίθεται τὴν μερίδα τῶν ἀσεβῶν· ἀλλὰ καὶ ταλανίζει τούτους·
τὸ οὐαὶ αὐτοῖς ἐπιλέγων καὶ τὴν ἀπώλειαν, καὶ τὴν ἐκ θεοῦ

κβ ἀπολείωσιν: Τοῦ αὐτοῦ: Καίτοιγε οὐδὲν τῶν καλῶν ἐ-
-μὲ θεὸς ἠγνόησεν· οὐδὲ μέχρι τῶν ψιλῶν κινημάτων· πῶς
οὖν με ἔπληξε φησὶν οὐκ οἶδα: Τοῦ ἁγίου Ἰω:

κβ Οὐκ ἔχει τις εἰπεῖν φησὶν ὅτι ἐπιθυμίαν μὲν καὶ διάθεσιν, καὶ
τὸν ὑπὲρ τούτων ἐπίπονον βίον· ἐπεὶ δὲ καταπεπληγμένος ἤμην καὶ
κατεστυγνασμένος, ἐπὶ τὰς διαφερούσας ἐκείνῳ τῷ βίῳ κακίας
κατέπεσα· πονηρίαν λέγω καὶ δόλον· ἀλλ' ἑκατέρας ὁμοίως
τῆς πονηρίας ἀπέστην μακράν: Ὀλυμπιοδώρου:

λα Δοκεῖ τοῦτό πως ἐναντίον εἶναι τῷ πρὸ ὀλίγου ῥηθέντι, τῷ
ἀπέβη εἰς πάθος ἡ κιθάρα μου· ὁ δὲ ψαλμός μου εἰς κλαυθμὸν
ἐμοί· τὸ δὲ οὐκ ἔστιν· οὐδὲ γὰρ τὸ κεχρῆσθαι ὀργάνοις οὐκ ἐκώλυ- θη
-το πῶς μετ' εὐσεβείας γινόμενον· ὅπου γε καὶ ἐν τῷ ναῷ μου σπονδῇ
ὀργάνοις ἐκέχρηντο· γελοιαστὰς τοίνυν λέγει τοὺς κώμοις καὶ
μέθαις προσέχοντας· ὅθεν καὶ ὁ θεῖος ἀπόστολος τὴν εὐτραπε-
λίαν ἀφ' ἡμῶν αἴρεσθαι παραινεῖ: Τοῦ αὐτοῦ:

κγ Τὸ τοῦ ψαλμοῦ καὶ ἐπὶ τούτου πληροῦν, τὸ ἀγαλλιᾶσθε αὐτῷ
ἐν τρόμῳ: Εὐσεβίου: Ἐντεῦθεν γινώσκομεν,
ὅτι φεύγειν δεῖ τοὺς γελοιαστάς: —

κη Εἰ δὲ καὶ ἐσπούδασεν ὁ πούς μου εἰς δόλον· κε ἵσταμαι γὰρ ἐν ζυ-
γῷ δικαίῳ· ἴδε δὲ ὁ κύριος τὴν ἀκακίαν μου· κϛ εἰ ἐξέκλινεν ὁ πούς
μου ἐκ τῆς ὁδοῦ· κζ εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν
ἡ καρδία μου: :: α̅ στησάτω με ἐν ζυγῷ δικαί-
ῳ· :: ε̅ αὐτὸς καὶ γνοίη· ::: εἰ ἐπεθύμουν
ὧν ἔβλεπον: Ὀλυμπιοδώρου:

Ὁ ποῦς ὁ τῆς ψυχῆς. λέγει δὲ ὅτι οὐκ ἐκινήθη ποτὲ εἰς τὸ δο- κδ
λίως χρήσασθαι καθόλου: τοῦ ἁγίου ἰω(άννου):

Ὅτι τοῦτο μικρὸν μέγα μὲν οὖν ὡς ἐν ἐκείνοις τοῖς χρόνοις· τά- κε
χα δὲ καὶ ὡς ἐν τοῖς παροῦσι. τὸ μὲν γὰρ μηδὲ ἐπιθυμῆσαι
μέγα, καὶ τούτου δὲ οὐκ ἔλαττον τὸ δεξάμενον τὴν ἐπιθυμί-
αν μὴ προαχθῆναι τὴν πρᾶξιν. προϊὼν δὲ καὶ τὸ τούτου μεῖ-
ζον φησίν, ὅτι οὐδὲ οἱ ὀφθαλμοὶ ἔπαθόν τι τοιοῦτον:

τοῦ αὐτοῦ: τούτων οὐκ ἄνευ καλῶ μαρτυρεῖ ἐκ- κε
τοῦ καὶ χρήσασθαι δυνάμενον, τὸν καὶ ἀγνοοῦντα πολλά.
ἀλλὰ τὸν καὶ τὰ ἀπόρρητα μετὰ ἀκριβείας ἐπιστάμενον:

τοῦ αὐτοῦ: ταῦτα καὶ ἡ γραφὴ προσεμαρτύρησεν
αὐτῷ λέγουσα, καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος δίκαιος, +
θεοσεβής: τῆς καὶ εὐσεβείας δῆλον ὅτι: κϛ

Ὀλυμπιοδώρου: τουτέστιν εἰ καὶ ἐπήνεσά τι τῶν κζ
ἐν κόσμῳ θεασάμενος, ἀλλ' οὐκ ἐμπαθῶς περὶ αὐτοῦ διετέ-
θην: τοῦ ἁγίου ἰω(άννου): Οὐκ ἔπεσεν ὁ ὀφθαλμός κζ
μου, ἀλλ' οὐδὲ ἡ καρδία μου, οὐδὲ τὴν διάνοιάν μου φησίν
εἴασα διαφθαρῆναί ποτε. μήτι γε τὸ σῶμα, ὅπερ φησίν
ὁ Χ(ριστό)ς ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν,
ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ:

κη Εἰ δὲ καὶ ταῖς χερσί μου ἡψάμην δώρων· σπείραιμι ἄρα
καὶ ἄλλοι φάγοισαν. ἄρριζος δὲ γενοίμην ἐπὶ γῆς. κθ εἰ δὲ
καὶ ἐξηκολούθησεν ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου.
εἰ δὲ καὶ ἐγκάθετος ἐγενόμην ἐπὶ θύραις αὐτῆς, ἀρέσαι

ἄρα καὶ ἡ γυνή μου ἑτέρω: ∵ ταῦτα ἔλεγον·

:: ἐκ καὶ τὰ ἔκγονά μου ἐκριζωθείη: ::: οἶδε(?) συνήθευ-

κη σα: Ὀλυμπιοδώρου: Ταῦτα νῦν ὁ Ἰὼβ λέγει

οὐ πάλαι πένης ὤν, καὶ τὰ τέκνα ἀποβεβληκώς· τοιοῦτον

ἵνα εἴπῃ, ὅτι πρὸ τῆς συμφορᾶς ταῦτα ἔλεγον. εἰ καὶ ὡς δίκαιο

σήμερον ἢ πρὸ ἔτους τὴν εὐθηνίαν· πρὸς δὲ διδασκαλίαν ἡμε-

τέραν οὕτως εἰπεῖν ᾠκονομήθη παρὰ θεοῦ· ἵνα ἡμεῖς ἀμφι-

γνώσκοντες αὐτοῖς ἐπαρώμεθα λέγοντες, εἰ ἐδωροδοκήσα-

μεν, ἢ τόδε ἐποιήσαμεν· τάδε πεισόμεθα· χερσὶ δὲ ταῖς πρά-

ξεσι λέγει· ἀντὶ τοῦ οὐδὲν διὰ δωροδοκίαν ἔπραξα:

κθ Ὀλυμπιοδώ(ρου): Ἐπειδὴ ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει

ἁμαρτίαν καὶ αὐτήν φησι ἐκ τῆς καρδίας τὴν ἐπιθυμίαν ἐ-

ξέκοπτον· ἐφ' ὃ μὴ λαβεῖν ὁδὸν τὴν ἁμαρτίαν. τὸ δὲ ἀρέσαι

ἄρα καὶ ἡ γυνή μου ἑτέρω, τοιούτου ἕνεκε λέγει· ἀντὶ τοῦ

εἴθε ἤρεσε πρὸ τῆς συμφορᾶς καὶ πεῖρα ἃ ἔπραξα ἀπειλ-

ῶ· ὅτι γὰρ περὶ τῶν πρὸ τῆς νόσου λέγει, δῆλον ἐξ ὧν

φησί· τὰ δὲ νήπιά μου ταπεινωθείη· καὶ ἤδη ἦσαν τεθνη-

κότες οἱ παῖδες αὐτοῦ: Ἰουλιανοῦ:

Ἐμαυτῷ φησι παρῄνουν ὅτι εἰ ἕτερον διαφθείροιμι· ταῦτα καὶ αὐτὸς

ἐπείσομαι· ὁ γὰρ ἀλλότριον διορύττων γάμον, φλόγα μεγάλην ἐ-

ξάπτει κακῶν, ἄνδρα ἀδικεῖ, μιαίνει γυναῖκα· ὑπόπτους

ποιεῖ τοὺς παῖδας, μάχεται τῇ προνοίᾳ, διαιρεῖ τὴν σχέσιν·

ἐπιβουλὰς ἀρτύει κατὰ τοῦ ἀνδρός. τοσοῦτος κακῶν ἐσμὸς ἐκ

τῆς ἀκολάστου φύεται μοιχείας:

Τὰ δὲ νήπιά μου ταπεινωθείη· θυμὸς γὰρ ὀργῆς ἀκατά-
σχετος τὸ μιᾶναι ἀνδρὸς γυναῖκα· πῦρ γάρ ἐστι καιόμενον
ἐπὶ πάντων τῶν μελῶν· οὗ δ' ἂν ἐπέλθῃ ἐκ ῥιζῶν ἀπώλεσεν.
εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου ἢ θεραπαίνης
κρινομένων αὐτῶν πρός με: :: ὀργῆς θυ(μοῦ) δη-
λονότι. :: ἀντὶ τοῦ [illegible]. :: ἢ ἀπέρριψα
ἢ ὑπερεφρόνησα: Ὀλυμπιοδώρου:

Ἡ γὰρ μοιχεία τὸν θεὸν παροξύνει, καὶ ἄφυκτον ἐπάγει λ
τιμωρίαν τῷ πεπραχότι. ὅπου γὰρ [illegible] ἀναπολόγητος
ἐστὶ καὶ ἀπροφάσιστος. τοῦτο γάρ ἐστι τὸ πῦρ καιόμενον ἐπὶ
πάντων τῶν μελῶν, πρόρριζον καταφλέγον τὸν πεπραχότα:
πῦρ ἐστι μῖσος, καὶ τοὺς ὑπερβαίνουσα ἀδικία: δ

Πῦρ δὲ τὸ ἕως συντελείας ἀναλίσκον: τοῦ ἁγίου Ἰω(άννου):

Ἤδειν φησὶ τῆς ἀδικίας τὸ μέγεθος. ἐκριζοῖ γὰρ τὴν οἰκίαν οὗ δ
ἂν εἰσέλθοι τὸ πάθος. εἶδες σωφροσύνην, ὅρα καὶ ταπει- γ
νοφροσύνην: Ὀλυμπιοδώρου:

Ἀλλὰ καὶ τοῖς οἰκέταις φησὶ τοῖς ἐμοῖς παρεχώρουν ἐπ' ἴσου δικά-
ζεσθαι πρός με. εἴ τι ὑποπτεύοιεν(?) μὴ δίκαιον ὑπ' ἐμοῦ πάσχειν. λδ
συγγνώμην δὲ εἰς τὸν τοῦ δικαίου λόγον ὑπὸ τῆς φύσεως καὶ ἐμαυτοῦ.
συλλογιζόμενος ὥστε πάντες αὐτοί, εἴτε δοῦλοι, εἴτε δεσπόται,
μίαν ἔχομεν γενέσεως ἀρχήν, καὶ ἕνα πάντες κύριον ἐν οὐρανοῖς.
ὅς γε ἀπροσωπόληπτος ὤν, ἕκαστον ἀπαιτεῖ τὴν πρὸς τὸν
πέλας ἰσότητα. ἔλαβες οὖν φησὶ τὴν ἐξέτασιν. ἐπισκοπὴν δὲ
θείαν ἡγεῖτο τοὺς ἐλέγχους. ἐκ τῆς ἰσότητος ὁρμώμενος,

ἐπὶ τῷ κρίνεσθαι ἐπόψει τῇ τοῦ θεοῦ πεποιθὼς δικαιοκρισίᾳ:

λα' Τοῦ ἁγίου Ἰω(άννου): Οὔτε δοῦλος οὔτε ἐλεύθερος

παρ' ἐμοῦ φησὶν ἠδίκηται :+

Τί γὰρ ποιήσω ἐὰν ἔτασίν μου ποιήσηται ὁ κύριος· ἐὰν δὲ καὶ ἐπισ-

κοπήν, τίνα ἀπόκρισιν ποιήσομεν· πότερον οὐχ ὡς καὶ ἐγὼ ἐγενό-

μην ἐν γαστρὶ καὶ ἐκεῖνοι γεγόνασιν· γεγόναμεν δὲ ἐν τῇ αὐτῇ

κοιλίᾳ· (λβ) ἀδύνατοι δὲ χρείαν ἥν ποτε εἶχον οὐκ ἀπέτυχον· χή-

ρας δὲ τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα:

:: ε ἐὰν ἐπεξέλθῃ τι ἀποκρινοῦμαι αὐτῷ· :: ε ἐν ὁ-

μοιωτέρω ::: τοῖς ἀκροαταῖς: Τοῦ ἁγίου Ἰω(άννου):

Ὅρα πῶς ὑποτέμνεται αὐτοῦ τὰ ἐγκώμια πανταχοῦ, καὶ κα-

θαιρεῖ τὰ κατορθώματα· οὐδὲν μέγα ἐποίησα φησί· τοῦτο

αὐτὴ ἡ φύσις βούλεται· κοινωνοῦμεν ἀλλήλοις ἁπάντων· ἡ αὐτὴ

γέννησις, ἡ αὐτὴ εἴσοδος· πάντα κοινά· οὐ σεμνότερος ἐγὼ

τῆς ἐκείνων φύσεως: Ὀλυμπιοδώρου:

λβ Ἔφη που περὶ θ(εο)ῦ ψάλλων ὁ μελῳδός· τοῦ π(ατ)ρ(ὸ)ς τῶν ὀρφανῶν,

καὶ κριτοῦ τῶν χηρῶν· καὶ αὖθις ὀρφανῷ σὺ ἦσθα βοηθός.

Οἷα τοίνυν τὴν εἰκόνα σώζων ἀκέραιον ὁ Ἰώβ, ἀπεμι-

μεῖτο τὸ ἀρχέτυπον· τὸ δὲ ἐξέτηξα, ἀντὶ τοῦ οὐκ εἴασα

ὑπὸ πενίας ἐκτήκεσθαι· τὸ δὲ ἐκ γαστρὸς ὡδήγησα, ἵνα

εἴπῃ ὅτι κομιδῇ νήπια τὰ ἀπορφανισθέντα παραλαμβάνων

μέχρις ἡλικίας ἐξέτρεφον, καὶ τέχνας ἐπαίδευον, ἀεὶ το-

σούτου χειραγωγῶν, ἕως ὅτε τῆς ἐμῆς ἐπικουρίας μὴ προσ-

-δέοιντο: Τοῦ ἁγίου Ἰωάννου:

Θεοῦ πῶς γὰρ

Ὅρᾳς πῶς οὐκ ἦν ὑπερόπτης, πῶς μέτριος, πῶς κοινὸς ἀ- λϛ'
πάντων ἰατρὸς καὶ κοινὸς λιμὴν, καὶ κοινὴ καταφυγὴ τῶν ἐν ἀ-
νάγκαις ὄντων. οὐ τότε εἶχον χρείαν φησὶν, οὐχὶ τὴν μὲν ναί, τὴν
δὲ οὔ· ἀλλ' οἵαν δήποτε, εἰ καὶ κινδύνων ἔχρῃζεν. εἰ καὶ
παντευτελής τις ἦν, εἰ καὶ ἐπισφαλής· καὶ ὅρα τούτοις ἐβοήθει·
παρ' ὧν οὐδὲν προσεδόκα, χήραις καὶ ὀρφανοῖς καὶ ἀ-
πόροις: Εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον
μόνος, καὶ οὐχὶ ὀρφανῷ μετέδωκα ἐξ αὐτοῦ· ὅτι ἐκ νεότητός
μου ἐξέτρεφον ὡς πατήρ· καὶ ἐκ γαστρὸς ὡδήγησα. εἰ δὲ καὶ
ὑπερεῖδον γυμνὸν ἀπολλύμενον, καὶ οὐκ ἠμφίασα· ἀδύνα-
τοι δὲ εἰ μὴ ηὐλόγησάν με, ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου
ἐθερμάνθησαν οἱ ὦμοι αὐτῶν:

: ὁμοίως ἐκ θ' οἱ ϛ'. ∴ ⁜ ∴ ⁜

Ὅρα τῆς ἐλεημοσύνης τὸ δαψιλές, ὅτι καὶ τὸν ψωμὸν ἐμέρι- ϛ
ζεν: Σευήρου ἀρχιεπισκόπου Ἀντιοχ. ἀπὸ λόγου ριγ':
Τὸν αὐτὸν τρόπον καὶ ὁ πατριάρχης Ἀβραὰμ ἐπλούτει· περιρ-
ρεόμενος μὲν πλούτῳ παντοδαπῷ, τῇ διανοίᾳ δὲ πτωχεύων,
καὶ ὡς ἡμέραι τῶν ἄλλων ἀποπλουτῶν: Εὐαγρίου:
Πρὶν ἐφάψασθαι τῆς κακίας ἐπὶ τὴν ἀρετὴν ὁδηγεῖ τοὺς νέους.
οὕτω γὰρ ἀληθές ἐστι τὸ ἀπὸ γαστρὸς ὁδηγεῖσθαι τινά:
Ὀλυμπιοδώρου: Ἀπὸ τῶν ὤμων τὸ πᾶν ἐσή- λγ'
μανε σῶμα· ἐξ αὐτῶν γὰρ τὸ ὅλον ἱμάτιον κρέμαται. ὅρα
δὲ ὅπερ καὶ ἀνωτέρω ἐλέγομεν, ὡς τὸ μὴ εὐεργετεῖν, μετὰ
τοῦ ἀδικεῖν τάττει. κλεῖδα δέ φησι τὸν σύνδεσμον τοῦ ὤμ(ου)

πρὸς τὸν τράχηλον :

Εἰ ἐπῆρα ὀρφανῷ χεῖρα· πεποιθὼς ὅτι μοι πολλὴ βοήθεια

περίεστιν, ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδός· ὁ δὲ

βραχίων μου ἀπὸ τοῦ ἀγκῶνός μου συντριβείη· φόβος γὰρ κυρίου λϛ

συνέσχε με, καὶ ἀπὸ τοῦ λήμματος αὐτοῦ οὐχ ὑποίσω· εἰ λε

ἔταξα χρυσίον ἰσχύν μου· εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα :

:: ε κατὰ ὀρφανοῦ· :: θ τοῦ αὐχένος, ε τοῦ ἀγκῶ-

νίου· :: ε καὶ τὸ βάρος· ::: ς ἀφοβίαν μου :

λϛ Ὀλυμπιοδώρου : Ταῦτα δὲ ἐπεύχεται φησὶ τῷ θε-

ῷ συνειδόμενος φόβῳ, ἐννοῶν ὡς ἐπιλάβοιτό μου θεὸς ἢ ἀ-

δικήσαντος ἢ μὴ εὐεργετήσαντος, αὐτόποινον ὑφέξω τὴν τι-

μωρίαν : Σευήρου ἀρχιεπισκόπου ἀπὸ τὸ ρ̄ι̅ϛ̅ ·

λε Καὶ ὅτι μὲν περὶ πολὺ τὴν ὕλην τὰ τοῦ πλούτου παρέσπασεν· ὅτι δὲ

δαπάναις ἐχρῆτο καλλωπιζόμενος πτωχεύειν τῷ πνεύματι, καὶ

πλουτεῖν τῷ ἐπὶ φιλανθρωπίᾳ φιλοτίμῳ ἐν τοῖς ἐφεξῆς ἄκουε

λέγοντος· ἔξω δὲ οὐκ ηὐλίζετο ξένος καὶ τὰ ἑξῆς :

σ Ὁ δὲ ἐναντίος ἐφιλοτιμήσατο ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ :

Εἰ δὲ καὶ ηὐφράνθην πολλοῦ πλούτου μοι γενομένου· εἰ δὲ

καὶ ἐπ' ἀναριθμήτοις ἐθέμην χεῖρά μου· ἢ οὐχ ὁρῶμεν λϛ

ἥλιον τὸν ἐπιφαύσκοντα ἐκλείποντα :

:: ε ἐνδόξοις : Ὀλυμπιοδώρου :

Θεο Ὁρᾷς πῶς ὁ δίκαιος οὐ κατὰ τὴν ἰδίαν πέποιθεν περιουσίαν,

οὐδὲ εὐφραίνεται ἐπὶ πλούτῳ· εἰ γὰρ καὶ ἐφαίνετο ὡς πα-

ρακολουθήματα ταῦτα τοῖς ἀγαθοῖς πεπόνθασι πλουτεῖν καὶ

καὶ δόξα· ἀλλ' οὐ πρωτοτύπως ἐπὶ τούτοις χαίρουσιν· εἴτε γὰρ αὐ-
-τῶν ἐστὶν ἡ πρωτότυπος χαρὰ ἡ πνευματική· ἀλλ' οὐδὲ ἀπεράντου
φησὶν ἔσχον τῆς κτίσεως τὴν ἐπίδοσιν· ἴσως τοιγαροῦν διὰ τὴν
ἀριθμοῦ ἦσαν αὐτῷ περιεχόμενα, τάτε πρόβατα καὶ αἱ κά-
-μηλοι καὶ τὰ λοιπά, ὡς τῶν πλείστων ἀεὶ πιπρασκομένων,
καὶ τοῖς πένησι διαδιδομένων: Ὀλυμπιοδώρου:

Διελογιζόμην φησὶ κατ' ἐμαυτόν, ὅτι εἰ τὰ μεγάλα ταῦτα καὶ λς
λαμπρὰ στοιχεῖα ἐκλείπει κατὰ τὴν θείαν πρόσταξιν, ποία
ὠφέλεια κἂν πάνυ πλουτήσω· δεῖ γὰρ πάντως πλουτήσω
τοῦ πλοῦτον ἐξ ἡμῶν ἀπελθεῖν, ἢ τῶν χρημάτων ἡμᾶς ἐκλειμ-
-πανόντων, ἢ ἡμῶν τὸν βίον μεταλλαττόντων:

Οὕτως οὖν ἐνενόουν καὶ περὶ πλούτου ὡς περὶ ἀστάτου: λς

Σευήρου ἐπισκόπου ἀντιοχείας ἀπὸ λό(γου) ιε:
ἡλίου φθοραῖς καὶ ἀλλοιώσεσιν ὑπόκειται: Τοῦ αὐτοῦ λς
ἀπὸ λό(γου) λθ: Ἐπειδὴ ὁρῶ ὅτι καὶ οἱ φωστῆρες οὗτοι πρὸς λς
τὸ νεῦμα ἄγονται τοῦ δημιουργοῦ, οὐ γὰρ ἐπ' αὐτοῖς ἐστίν· ἐπαι-
-δεύθην μὴ προσέχειν ἐπὶ πλούτου ἀδηλότητι· ἀλλὰ πλουσίως αὐ-
-τὰ δαπανᾶ: Τοῦ ἁγίου Ἰω(άννου): Τὸ λαμπρὸν τοῦτο
φῶς φησὶν ἀπόλλυται καὶ ἀφανίζεται καὶ οὐχ ὁρᾶται· ὁρᾷς οὖν
αἰτίαν τῆς μεταβολῆς τῶν φωστήρων· ἄρα ἀρκεῖ τῇ φιλοσο-
-φίαν ἡ κτίσις ἡμῖν, οὐχὶ τῇ θεογνωσίαν μόνον, ὅταν ἴδῃς ὅτι
μέγας ἥλιος, θαύμασον τὸν δημιουργόν· ὅταν ἴδῃς ὅτι ἐκλείπει,
τῶν ἀνθρωπίνων πραγμάτων τὸ εὔφθαρτον καταμάνθανε· εἰ
γὰρ ὁ πάντων ἐστὶ λαμπρότερον τῶν ἐπὶ τῆς γῆς, τοῦτο λήγει καὶ

μειοῦται καὶ τελευτᾷ· πολλῷ μᾶλλον τὰ περί τε καὶ οὐ κατ' ἐμὴν ἡμῖν προσκείμενα :~

σελήνην δὲ φθίνουσαν· οὐ γὰρ ἐπ' αὐτοῖς ἐστί· λξ καὶ εἰ ἠπατήθη λάθρα ἡ καρδία μου· εἰ δὲ καὶ χεῖρα μου ἐπιθεὶς ἐπὶ στόματί μου ἐφίλησα, καὶ τοῦτό μοι ἄρα ἀνομία ἡ μεγίστη λογισθείη· ὅτι ἐψευσάμην ἐναντίον κυρίου τοῦ ὑψίστου :

∴ ἀλλ' ἐν τῷ ἐπιτάξαντι· ∴ ε' ἐπλανήθη·

∴ ε' καὶ προσεκύνησεν ἡ χείρ μου περὶ τοῦ στόματός μου :

λξ Ὀλυμπιοδώρου: Πολλάκις τινὲς τὰς οἰκείας ἐπαινοῦντες πράξεις, τὴν ἰδίαν καταφιλοῦσι χεῖρα· φησὶν οὖν ὅτι εἰ ἐπὶ τῇ ἐμῇ δυναστείᾳ καὶ ταῖς ἐμαῖς πράξεσιν ἐθάρρησα καὶ μὴ ἐπὶ τῷ θεῷ, ἐψευσάμην τὸ ἀληθές· εἰ οὖν ἀπατηθεὶς πέπονθά τι τοιοῦτον· λογιζέσθω μοι τοῦτο εἰς ἀνομίαν μεγίστην· τὸ δὲ τοῦ λάθρα ἔοικε σημαίνειν, ὅτι οὐδὲ κατὰ κρύπτας σαφῶς τοιοῦτόν τι πέπονθεν:

λξ Ἄλλοι δὲ οὕτως ἐξέλαβον· εἰ προσεκύνησα ἡλίῳ καὶ σελήνῃ ἀπατηθεὶς τοῖς αὐτῶν φέγγεσι, καὶ μὴ ἐλογισάμην ὅτι καὶ ἐκλείπουσι καὶ δεσποτικοῖς ὑπηρετοῦνται προστάγμασιν· ἀλλ' ἐπὶ τῷ τούτων θαύματι τὴν ἐμὴν κατεφίλησα χεῖρα, ἀνομία ἡ μεγίστη μοι λογισθείη : τοῦ ἁγ(ίου) Ἰω(άννου):

λξ Τινές φασι περὶ εἰδωλολατρείας τοῦτο εἰρῆσθαι, ἀλλ' οὐ πείθομαι· οὐ γὰρ ἂν ἐν μεγίστοις κατορθώμασι τοῦτο τέθεικεν· ἀλλ' ἐμοὶ δοκεῖ, ὅπερ πάσχουσιν οἱ ἐρωτικῶς διακείμενοι ἀπόντων τῶν ἐρωμένων τὰς χεῖρας αὐτῶν καταφιλοῦσι τῷ στόματι, ἢ περὶ πλούτου ἢ περὶ πραγμάτων ὧν ἂν θαυμάζοιεν :

Εἰ δὲ καὶ περιχαρὴς ἐγινόμην πτώματι τῶν ἐχθρῶν μου, καὶ εἶ-
πεν ἡ καρδία μου εὖγε· ἀκούσαι ἄρα τὸ οὖς μου τὴν κατά-
ραν μου· ὑπερηνεχθείην ἄρα ὑπὸ λαοῦ μου κακούμενος. Εἰ
δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου· τίς ἂν δῴη ἡμῖν
τῶν σαρκῶν αὐτοῦ πλησθῆναι:

∵ ε καὶ ἐπανέστη ὅτε κατέλαβεν αὐτὸν κακῶς:
:: εἰ μὴ πολλάκις. α εἰ μὴ εἶπον, θ οἱ ἄνδρες. ε
τῆς σκηνῆς μου. :: θ τίς δῴη τῶν σαρκῶν αὐτοῦ καὶ
ἐμπλησθησόμεθα: . Ὀλυμπιοδώρου:

Ἐὰν γὰρ πέσῃ ὁ ἐχθρός σου μὴ ἐπιχαρῇς αὐτῷ. ἐν δὲ τῷ ὑπο- λη
σκελίσματι αὐτοῦ μὴ ἐπαίρου φησίν: Τοῦ αὐτοῦ:

Οὐδὲ ἐπαχθὴς φησὶ ταῖς θεραπαινίσι γέγονα, ὡς διὰ τὴν ἐμὴν λθ
ὠμότητα, καὶ αὐτὰς ἐξαγριωθείσας, τῶν ἐμῶν ἐπιθυμεῖν
ἀπογεύσασθαι σαρκῶν· τὸ δὲ ἐναντίον ἅπαν καὶ λίαν αὐταῖς
χρηστὸς ἐγινόμην· ἕτεροι δὲ οὕτως ἡρμήνευσαν· οὕτω
φησὶ λίαν ἤμην ταῖς θεραπαίναις χρηστὸς καὶ γλυκύς, ὡς
εἰ οἷόν τε ἦν, καὶ αὐτῶν μου τῶν σαρκῶν ἥδιστα ἐνεφοροῦντο:

Τοῦ ἁγίου Ἰω(άννου): Ἐντεῦθεν γὰρ ἡ ἐπιείκεια πάλαι, ὅταν λθ
πρὸς τὸν ὑποτεταγμένον φιλάνθρωπός τις ᾖ καὶ μὴ βίαιος:

Ἀντὶ τῆς ζωῆς αὐτοῦ ἀπολαῦσαι· ὅτι ἤμην αὐταῖς γλυκύς: υ

Λίαν μου χρηστοῦ ὄντος· ἔξω δὲ οὐκ ηὐλίζετο ξένος· ἡ δὲ θύ-
ρα μου παντὶ ἐλθόντι ἠνέῳκτο. εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσί-
ως ἔκρυψα τὴν ἁμαρτίαν μου· οὐ γὰρ διετράπην πολυοχλίαν
πλήθους: Ὀλυμπιοδώρου: Τοῦτο τῆς φιλοξένους μ

καὶ ἀδεκασίας εὐγνωσίας τοῦτο ποιοῦν: Τοῦ ἁγίου Ἰω:

Κοινὴν ἐκεκτήμην τὴν οἰκίαν, κοινὴν τὴν τράπεζαν, οὐκ ἐμὰ
τὰ ἐμὰ ἡγούμενος, ἀλλὰ δεσποτικά, ὃ καὶ ἔδωκεν, οὐκ οὕτω δια-
νεμηθέντα τοῖς σπουδαίοις· ἐπιμέλειον καί· οὐ γὰρ ἐθεράπευεν
ἄλλους ὑποδεχόμενος μόνον· ἀλλ' ἐφόδια τῆς μετὰ ταῦτα πε-
μα νίας παρέχων: Ὀλυμπιοδώρου: Ἑκούσιον μὲν
οὐδὲν ἑαυτῷ συνήδει πλημμέλημα· οὕτως ἄκρως τὸν κατ' ἀ-
ρετὴν ἐξήσκει βίον· ἐπειδὴ δὲ ἄνθρωπον ὄντα οὐκ ἦν μὴ καὶ ἄκοντα
περιπίπτειν· παραπίπτομεν γὰρ τῇ συνήθει φησὶν ὁ ψαλμω-
δός· μετανοίᾳ καὶ ἐξομολογήσει ἐξιᾶτο γνωσθὲν τὸ ἁμάρτημα·
οὐκ ἐπαισχυνόμενος τὸ μὴ κατὰ τὸν ὀρθὸν λόγον πεπραγμένον
μα ἐξαγορεύειν: Τοῦ ἁγίου Ἰω: Λέγει γὰρ ὅτι τὰς
ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς· τῶν μὲν οὖν κα-
τορθωμάτων οὐδένα μάρτυρα ἐποιούμην· τῶν δὲ πταισμάτων
πάντας ἠβουλόμην εἶναι τοὺς συνειδότας:

Οὐ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν· [μβ] εἰ δὲ καὶ εἴασα ἀδύνατον
ἐξελθεῖν τὴν θύραν μου κόλπῳ κενῷ εἰ μὴ ἐδεδοίκειν· τίς
δῴη ἀκούοντά μου· [μγ] χεῖρα δέ μου κυρίου εἰ μὴ ἐδεδοίκειν:
:: καὶ μὴ ὑμᾶς τοὺς ἀδίκως κρίνοντας· :: μ̄ τι ἡ ※
μὴ σκηνῆναι ἄλλον κατά τινος: Ὀλυμπιοδώρου:

μβ Ἔοικεν ἀκροατὰς ἐπιζητεῖν συνετοὺς δυναμένους χωρῆσαι
τὴν ἀκρότητα τῆς πολιτείας ἧς ἐξηγήσατο· οὐ γὰρ ταῦτα εἶπε
σεμνυνόμενος ἐπὶ τοῖς ἑαυτοῦ κατορθώμασιν· ἀλλ' ἡμῖν κα-
ταλιμπάνων ὑπογραμμὸν ὅπως βιῶναι χρή· οὕτω τοῦ ἁγίου

τοὺς οἰκονομήσαντας. τὸ δὲ κόλπῳ κλυδῶ σημαίνει, ὅτι περὶ τὸ τρέφειν, καὶ ἐφόδια παρεῖχε πλουσίως καὶ ἱλαρῶς:

Ἰουλιανοῦ: Διὰ τὸ πλῆθος τῶν λειπόντων ἀποκνήσαντες, μδ ἀπέστειεν ἤκουον οἱ φίλοι, ἀλλὰ καὶ διὰ τὸν ἔλεγχον δα-κνόμενοι τὸ συνειδὸς ἀπεστρέφοντο. λέγει οὖν πρὸς αὐτούς, τίς δῴη ἀκούοντά μου: Τοῦ ἁγίου Ἰω(άννου):

Ὀχλήσει ἐπιλαθόντι ἔδωκα, ἀλλ᾽ οὐδὲ μὴ βουλομένῳ συνεχώ- μδ
-ρησα· βίαν ἐποίει τοῖς καὶ ἑκοῦσι βουλομένοις αὐτὸν παραλέ-χειν· ᾔδει γὰρ τὸ πρᾶγμα ὅτι εὐποιΐα ἐστίν. ὅπερ νῦν τινες οἱ πέ-νητες σπουδὴν ἐποίουν διενοχλοῦντες τοὺς ὀφειλομένους καὶ δυναμένους χρέα ὀρέξαι. τοσαύτην ὄκνος ἐξίστατο τὸ ἐπι-ενοχλῶν τοὺς φίλους τοὺς ὀφείλοντας εὐπαθεῖν: Καὶ μετ᾽ ὀλίγα: Οὐχ ἁπλῶς ταῦτα ἐποίουν, ἀλλὰ περὶ τοῦ θ(εο)ῦ ὁρῶν· οὐχ ἡ ἐμὴ φύσις ἁπλῶς ἐλεήμων ὤν, ἀλλὰ διὰ τὸν φύσει
τοῦ θεοῦ φόβον, οὐκ ἔχει τις εἰπεῖν ὅτι ταῦτα μὲν καλῶς ποιῶ, ἐπαιρόμενος δὲ ἤμην καὶ ἐπαγγέλλω. ἀλλ᾽ ὥσπερ οἱ συνει-δότες ἑαυτοῖς ἁμαρτήματα, οὕτως ἀεὶ τὸν θ(εὸ)ν ἐφοβούμην καὶ ἔτρεμον: Ὀλυμπιοδώρου:

Ἀλλὰ καὶ τὰ περὶ θ(εο)ῦ φησὶν εὐλαβῶς διεκείμην:

\> Συγγραφὴν δὲ ἣν εἶχον κατά τινος, ἐπ᾽ ὤμοις ἂν περιθέμενος στέ-
\> φανον ἀνεγίνωσκον· καὶ εἰ μὴ ῥήξας αὐτὴν ἀπέδωκα, οὐθὲν
\> λαβὼν παρὰ χρεωφειλέτου: εἰ ἐπ᾽ ἐμοί ποτε ἡ γῆ ἐστέναξεν:

∴ ἐν ἰσχύϊ νικᾶν ἐλπίζων· ∴ κατὰ κοινοῦ δὲ τὸ εἰ.

Ὀλυμπιοδώρου: Τοῦτο λέγει, ὅτι οὐχ οἷα τις ἐθελοκακούμην

ἐπὶ τοῖς δανείοις ἀνελίττων ἀμφοτέραις χερσὶ τὰς συγγραφὰς δη-
μοσίᾳ ὑπανεγίνωσκον. τὸ γὰρ ἐπ᾽ ὤμοις τοῦτο σημαίνει, ὡς διὰ
τῶν ὤμων τῶν χειρῶν κινουμένων. ἢ ὅτι διαρρηγνὺς τῶν χρεωφειλετῶν
τὰς συγγραφὰς καὶ συγχωρῶν τὰ ὀφλήματα πρότερον ἀνεγίνωσκον
αὐτοῖς. εἶτα διαρρήσσω τὸν χάρτην στέφανον καὶ ἰδίαν εὐπρέπειαν
ἐποιούμην τὴν συγχώρησιν: Τοῦ ἁγίου Ἰω(άννου):

μδ Πάλαι συγγραφὴν ἄδικον διέσπασα οὐκ ἐπηγγελλόμην. ἀλλὰ διέρρη-
σον τὴν συγγραφήν. τὸ δὲ περιθέμενος ἐπ᾽ ὤμων, αἰνίττεται τὴν
τῶν ἀδικείων ἐγκαλλωπιζομένους συμφοράς, καὶ οὐχ ἁπλῶς ἀπο-
δίδωμι, ἀλλὰ περίκειμαι ποιῶν ἐξηφανισμένην τῷ διαρρῆξαι.
πάλαι γὰρ ἐμοὶ συγγραφὴν ἄδικον διέσπασα: Ὀλυμπιοδώρου:

με Τουτέστιν εἰ ἀδίκως ἀλλότριον ἐκτησάμην, ἢ τοὺς γεωπόνους τὸν μι-
σθὸν ἀπεστέρουν, κατωτέρω δὲ τῆς ἐννοίας ἡ ἀπόδοσις:

> ἰδὲ καὶ οἱ αὔλακες αὐτῆς ἔκλαυσαν ὁμοθυμαδόν. μϛ εἰ δὲ καὶ
> τὴν ἰσχὺν αὐτῆς ἔφαγον μόνος ἄνευ τιμῆς. μζ εἰ δὲ καὶ ψυχὴν
> κυρίου τῆς γῆς ἐκβαλὼν ἐλύπησα. μη ἀντὶ πυροῦ ἄρα ἐ-
> ξέλθοι μοι κνίδη: ∴ οἱ λ᾽ ἄνευ ἀργυρίου.

:: ἐπὶ δόσεως ἐστέρησα. ∴ θ᾽ ἄκανθα:

μϛ Ὀλυμπιοδώρου: Δύο ἐνταῦθα σημαίνει, ὅτι καὶ τὰ
τιμήματα τῶν καρπῶν κατεβάλλετο, καὶ οὐδὲ μόνος ἤσθιε,
ἀλλ᾽ ἐκοινοποιεῖτο τοῖς δεομένοις τὰς τροφάς. σημειοῦται δὲ
τῆς ἐλεημοσύνης τὸ δαψιλές, ὡς περὶ οἷς εἶχε καρποῖς καὶ ἑ-
τέρους ἐκίνει πρὸς μετάδοσιν: Τοῦ αὐτοῦ:

μζ Ὡς κατὰ δυναστείαν ἀφαρπάσας τι τοῦ κτήτορος τῆς γῆς: Τοῦ αὐτοῦ:

Κνίδη καὶ ἡ βάτος ἀκανθώδη φυτά· λέγει οὖν ὅτι εἰ μὴ πρόσεστι τοῖς εἰρημένοις τὸ ἀληθές, μηκέτι ἴδοιμι τὴν εὐετηρίαν· καὶ αὐτῆς μοι τῆς γῆς ἀκάνθας ἀντὶ τῶν ἡμέρων συμφερούσης καρπῶν: Ἀντὶ δὲ κριθῆς βάτος, καὶ ἐπαύσατο Ἰὼβ ῥήμασιν· ἡσύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἔτι ἀντειπεῖν Ἰώβ· ἦν γὰρ Ἰὼβ δίκαιος ἐναντίον αὐτῶν:

∵ Ἐτελεσφόρηται ∷ Ἔστι τὸ αὐτὸν δίκαιον φαίνεσθαι ἐναντίον αὐτῶν: Ὀλυμπιοδώρου:

Ἐνταῦθα τὸν λόγον ἔστησαν, οὐ μὴν ἐκκόψαντες τὸν διάλογον ὅ τε Ἰὼβ καὶ οἱ φίλοι, ἡσύχασαν δὲ οὐ προαιρετικῶς· ἀλλ' ἐπειδὴ πᾶσαν αὐτοῖς δικαιολογίαν ἀπέκλεισεν ὁ Ἰώβ, καὶ οὐκ εἶχον ἀντειπεῖν πρὸς τὰ εἰρημένα· ἐσιώπησαν γὰρ τῷ δικαίῳ τὰ κατορθώματα: Τοῦ ἁγίου Ἰω(άννου): μθ

Ἡσύχασε μὲν ὁ Ἰώβ, πολλοὺς αὐτοῖς λόγους εἰπών· ἐπειδὴ δὲ καὶ τὸν θεὸν ἐκάλεσε μάρτυρα καὶ ἑαυτῷ ἐπηράσατο, ἐπεστόμισθησαν οἱ φίλοι: Ὠριγένους: μθ

Οὐχ ἁπλῶς ἐπαύσατο· καρδία δὲ ἦν αὐτοῦ νοοῦσα τὰ θεῖα οὐκ ἐπαύσατο· ᾔδει γὰρ ὅτι καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν, καιρὸς τοῦ σιγᾶν, καὶ καιρὸς τοῦ λαλεῖν· ὅτε οὖν καιρὸς τοῦ ἀποκρίνασθαι, πρὸς τοὺς τρεῖς ἔλεγεν· ὅτε δὲ καιρὸς μετὰ τὸ ἐπιστομίσαι αὐτοὺς ἐσίγησε, καὶ οἶμαι ἐν ἐπαίνῳ λέγεσθαι, τὸ ἐπαύσατο Ἰώβ: + μθ

+

\+ προθεωρία κεφαλαίου κη'

ζήτει

Τῶν φίλων τοῦ Ἰὼβ ἐπὶ παράκλησιν ἀφικομένων, ἔξω δὲ τοῦ σκοποῦ γεγενημένων τῆς ἀφίξεως, καὶ τῇ βαρύτητι τῶν λόγων ἐπιτειβόντων τῷ δικαίῳ τὰ τραύματα· ἔφασκον γὰρ δι' ἀσεβείας αὐτοῦ πεπονθέναι, καὶ μὴ ἄλλως τὸν θεὸν ἐπάγειν τὰς κολάσεις εἰ μὴ κατὰ ἀνταπόδοσιν· ἕπεσθαι γὰρ ταῖς ἁμαρτίαις ἀεὶ τὰς κολάσεις· τοὺς αὐτῶν λόγους ὁ Ἰὼβ ἀμυνόμενος, ἐπιφέρει λέγων, εἰ ταῦτα οὕτως ἔχει ὥσπερ ὑμεῖς φατέ, πῶς πολλοὺς ὁρῶμεν ἀδίκους τιμωρίαν οὐ δεδωκότας μέχρι τέλους· πολλοὺς δὲ δικαίους πάσχοντας· εἶτα ὡς ἐπαχθεῖς τῶν φίλων ἀποφεύγων τὰς κρίσεις, αἰτεῖ τὸν θεὸν ἀπαλλαγῆναι τῶν βασάνων, καὶ ἐπὶ θεοῦ τὴν δίκην εἰπεῖν, καὶ παραθέσθαι τὰ ἑαυτοῦ δίκαια, ἵνα ἐπιδείξῃ ὡς οὐδὲν ἄδικον εἰργάσατο· οὐδὲ τῆς τηλικαύτης μάστιγος ἄξιον· ταῦτα δὲ ἔλεγεν οὐ τοῦ θεοῦ καταψηφιζόμενος ὡς ἄδικα πεπονθότος, ἀλλὰ καὶ σφόδρα θαρρεῖ τῇ αὐτοῦ δικαιοκρισίᾳ· τοὺς δὲ φίλους διελέγξαι θέλων, ὡς οὐ δικαίας κατ' αὐτοῦ ποιοῦνται τὰς κρίσεις· ὁ μὲν οὖν σκοπὸς τοῦ Ἰὼβ ὡς πρὸς τοὺς φίλους ὅλος ἀποτείνεται, βουλομένου δεῖξαι ὅτι ἐπὶ θεοῦ δικάζοντος δίκαιος ἀναφανεῖται τοῦ ἀληθινοῦ καὶ ἀπροσωπολήπτου· οἱ δὲ μάτην αὐτοῦ κατηγο-

-ρῶντες, οὐκ ἀληθῶς ἔχουσι τοῦ δικαίου τὰς κρίσεις. τούτων
ἐπανορθούμενος ὁ ἐλιοῦς. καὶ οὐ νενοηκὼς τοῦ δικαίου τὴν
διάνοιαν ᾠήθη λέγειν αὐτόν, ὡς ἄδικα πάσχων παρὰ θεοῦ
δίκαιος ὤν. διὰ τοῦτο ζήλῳ ἐζήλωκε τῷ κυρίῳ καὶ ὠργίσθη κατὰ
τοῦ ἰώβ. οὐδὲν δὲ ἔχων ἀδίκημα τοῦ δικαίου κατηγορεῖν εὐ-
-λόγως ὠργίσθη καὶ κατὰ τῶν τριῶν φίλων, ὅτι τοῦ δικαίου ἀ-
σεβείᾳ κατεδίκασαν; ὡς διὰ ἁμαρτήματα τὰς τιμωρίας ὑ-
πομένοντα. ἐντεῦθεν ἀνακύπτει ζήτημα τοιόνδε. εἰ ὀργίζε-
-ται κατὰ τῶν φίλων ὁ ἐλιοῦς, ὅτι ἀσεβῆ τὸν ἰὼβ ἔκριναν·
δίκαιος ἄρα ὁ ἰώβ. εἰ δὲ δίκαιος καὶ κατ' αὐτοῦ ποιεῖται
τὴν ἐπιτίμησιν. ἀλλ' ἐρεῖ πρὸς ταῦτα ὁ ἐλιοῦς, ὡς ἀσεβὴς
μὲν ὁ ἰὼβ καὶ δίκαιος καὶ οὐδεὶς ἀντερεῖ. αἰτίαν δὲ
δέδωκε κατ' αὐτοῦ τὸ θέλειν πρὸς αὐτὸν θεὸν δικάζεσθαι.
ὁ μέντοι σκοπὸς τοῦ ἐλιοῦς οὐ ψεκτός. οὐ γὰρ σφοδρῶς
ἐπέπληξε τὸν ἰώβ, ὥσπερ ἐκεῖνοι ἀσέβειαν αὐτοῦ κατα-
ψηφιζόμενοι, πλὴν οὐκ ἐνόησεν ὥσπερ ἔφημεν τοῦ δι-
καίου τὴν διάνοιαν. καὶ ἐξ οἵας ἀγάπης καὶ πεποιθήσεως
τῆς πρὸς τὸν θεόν, ἀπ' αὐτοῦ τὴν δίκην λέγειν ἐπόθει. ὅθεν
λογιζόμεθα καὶ τὸν θεὸν μήτε ἐπαινέσαι τὸν ἐλιοῦς, ἐπειδὴ
μὴ νενόηκε τοῦ ἰὼβ τοὺς λόγους· μήτε μὴν καταδικάσαι.
ἐπειδὴ μὴ ἀσεβείας κατέκρινε τὸν ἰώβ. μὴ δὲ ἀπεφή-
-νατο διὰ ἀδικίας αὐτὸν πάσχειν ὥσπερ οἱ φίλοι. διὰ γὰρ τοῦ
τῶν κατ' ἐκείνου ἐπιτίμησιν θεὸς [illegible] : +

\+

## κεφάλαιον κη΄

\+

Ὠργίσθη δὲ Ἐλιοὺς ὁ τοῦ Βαραχιὴλ ὁ Βουζίτης ἐκ τῆς συγγενείας Ῥὰμ τῆς Αὐσίτιδος χώρας· ὠργίσθη δὲ τῷ Ἰὼβ σφόδρα, διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον κυρίου:

∴ οἱ γ΄ ὁμοίως ∴ ε΄ συρίας: Ὀλυμπιοδώρου:

γ̅ Βουζίτης ἐστίν, ἢ ἀπὸ συγγενείας τοῦ Βουζί, ὅθεν ἦν καὶ ὁ Ῥάμ, ἢ ἀπό τινος πόλεως τῆς Αὐσίτιδος χώρας: Ἄλλο:

γ̅ Ναχὼρ ὁ ἀδελφὸς Ἀβραὰμ γεννᾷ υἱὸν Βοὺζ ἐκ τῆς Μελχᾶς· τοῦ Βοὺζ ἴσως τοιγαροῦν ἐκεῖθεν κατάγει τὸ γένος ὁ Ἐλιοὺς, διὸ καὶ Βουζίτης ὠνόμασται: Τοῦ αὐτοῦ:

να̅ Καλὰ τὸ εὔλογον μὲν ἐκίνει ὡς ἐνόμιζεν ὁ Ἐλιοὺς, οὐχ ὅτι δίκαιον ἑαυτὸν ἔλεγεν Ἰώβ· ἐκίνησαν γάρ, ἀλλ᾽ ὅτι ἐναντίον κυρίου· ἠγνόησε δὲ ὡς ἔφημεν καὶ αὐτὸς τὴν εὐσεβῆ τοῦ δικαίου διάνοιαν: Τοῦ ἁγίου Ἰωάννου:

να̅ Οὐχ ὅτι ἀπέφηνεν ἑαυτὸν δίκαιον ὠργίσθη· ἀλλ᾽ ὅτι ἐναντίον κυρίου. ἐπειδὴ αὐτὸν ἐκάλει μάρτυρα. ἢ ὅτι πρὸς τὸν θεὸν δικαιοζόμενος. τὸ μὲν γὰρ δικαιῶσαι ἑαυτὸν οὐδὲν μέγα· τὸ δὲ ὡς πρὸς τὸν θεὸν δικαζόμενον τοῦτο ποιῆσαι, τοῦτο ἄτοπον· μὴ δίκαιον γὰρ φησὶν ἑαυτὸν ἐναντίον κυρίου· καὶ μὴν καὶ οὗτοι διὰ τοῦτο ὠργίζοντο καὶ ἔλεγον· μὴ γὰρ ἔσται βροτὸς δίκαιος ἐναντίον κυρίου· τί οὖν οὗτος πλέον ἔσχεν· καὶ γὰρ καὶ ἐκεῖνοι τὸ αὐτὸ ἐνεκάλουν· ἐπὶ δὲ τοῦτο ἀ-

ληφθεὶς ἐσχάτης ἀσεβείας τοῦ ἰώβ· εἰ τοῦ θεοῦ δικαιώτερον ἑ-
-αυτὸν ἐνόμισεν εἶναι· τί οὖν ἐγκαλεῖ; οὐχὶ τοῦτο ἐνόμιζε· τοῦτο
γὰρ ὑπέλαβεν ἐλιοῦς· ἀλλ' οὐχὶ τοιαύτῃ γνώμῃ ὁ ἰὼβ εἶπεν·
ὅτι αὐτὸς δικαιότερος ἐστὶ τοῦ θεοῦ, ἀλλ' ὅτι ταῦτα μὲν αὐτῷ
πέπρακται, οὐ μὴν ἀδικίαν ἐγκαλεῖ τῷ θεῷ· ὁ δὲ ἐλιοῦς
τοῦτο ὑπέλαβεν· ἐκείνοις δὲ δικαίως ἐγκαλεῖ προδεδωκό-
σι τοῦ θεοῦ τὸ μέρος καὶ ἡττημένοις:

[κβ] Καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα, διότι οὐ-
κ ἠδυνήθησαν ἀποκριθῆναι ἀντίθετα ἰώβ, καὶ ἔθεντο
αὐτὸν εἶναι ἀσεβῆ· [κγ] ἐλιοῦς δὲ ὑπέμεινε δοῦναι ἀπόκρισιν
ἰώβ· ὅτι πρεσβύτεροι αὐτοῦ εἰσὶν ἡμέραις· καὶ ἴδεν ἐλιοῦς
ὅτι οὐκ ἔστιν ἀπόκρισις ἐν τῷ στόματι τῶν τριῶν ἀνδρῶν
καὶ ἐθυμώθη ὀργῇ αὐτοῦ: :: ἐ ἐναντίον·
:: ἐ ἐπέπληξε τὸν ἰὼβ λόγοις· :: + ※. ἐ ὁ θυμός:

Ὀλυμπιοδώρου: Διχῆ κατὰ τῶν φίλων ὠργίσθη ὁ νδ
ἐλιοῦς· ὅτι τε ἀσεβείας τὸν δίκαιον ἔκριναν, καὶ ὅτι τὴν ὑπὲρ
θεοῦ συνηγορίαν ἀνειληφότες, ἡττήθησαν τοῖς τοῦ ἰὼβ λόγοις
καὶ ἐσιώπησαν τὸν ὑπ' αὐτοῦ συνηγορούμενον, ὥσπερ κατα-
προδεδωκότες θεόν: Τοῦ αὐτοῦ: Ἐπαινετὸν τὸ νε
ἦθος τοῦ ἐλιοῦς, ἐν καιρῷ μὲν σιωπήσαντος· ἔδει γὰρ πρῶτον
τοὺς πρεσβυτέρους λαλεῖν, ἐν καιρῷ δὲ ἀποκριναμένου τῶν
γεραιτέρων ἀπορίᾳ συσχεθέντων· τὸ οὖν ὑπέμεινε· τουτέστιν
ἀνέμεινεν· τὸ δὲ ἐθυμώθη, ἀντὶ τοῦ ἐζήλωσε:

Τοῦ ἁγίου Ἰω(άννου): Καλῶς εἶπεν ὑπέμεινε· δεικνὺς νς

ὅτι ὡς γέρουσι μέν, οὐκ ἐπετόλμησε δὲ οὐδὲν εἰπεῖν, ἕως ἂν ταῦτα πληρώσῃ ὁ Ἰώβ, καίτοι διὰ αὐτοῦ τῶν συνέσεων, ὅπως ἐκ προοιμίων εὐθέως ἐπέβαλεν, ὅπως τὴν προσήκουσαν φυλάττειν τάξιν : +

+

+

\+ πρώτη τοῦ Ἐλιοὺς πρὸς τοὺς φίλους καὶ πρὸς τὸν Ἰὼβ ἀντίρρησις :

\+

\> Ὑπολαβὼν δὲ Ἐλιοὺς ὁ τοῦ Βαραχιὴλ ὁ Βουζίτης εἶπε· νε-
\> ώτερος μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι,
\> διὸ ἡσύχασα φοβηθεὶς τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ
\> ἐπιστήμην : ∴ α' θ' γνῶσιν : ὀλυμπιοδώρου :

νη Καλῶς προσέθηκε τῷ χρόνῳ· ἔστι γὰρ νεώτερός τις καθ' ἡλικίαν μέν, πολιὰν δὲ ἔχων φρόνησιν· καὶ ἕτερος μὲν γέρων μὲν τὸν χρόνον, νεώτερος δὲ τὴν διάνοιαν· ὅρα δὲ ὅπως οὐ μόνον αἰδοῖ, ἀλλὰ καὶ φόβῳ καὶ εὐλαβείᾳ τῶν πρεσβυτέρων τὴν διάλεξιν παραιτεῖται, καὶ εἰ μὴ πρότερον ἐπαύσαντο, οὐκ εἶπεν αὐτὸς ἃ καλῶς ἔχειν ἐλογίζετο :

Τοῦ ἁγίου ἰω(άννου) : Ἑκατέρωθεν ἄλλου ἀλλοῦ τὴν σύ- νδ
-νεσιν στοχαζόμεθα, ἀπό τε τῆς σιγῆς, ἀπό τε τῆς διαλέξεως:
Ἵνα μή τις εἴπῃ, καὶ τίνος ἕνεκεν μὴ παρὰ τὴν ἀρχὴν μετὰ τὴν νδ
ἐμαχήσω περὶ τοῦ θεοῦ, ἐπὶ τὴν ἡλικίαν κατέφυγε καὶ
προσδοκῶν φησὶ παρ' ὑμῶν γενναῖόν τι καὶ θαυμαστὸν λέ-
γεσθαι· ὅρα πῶς ἀφιλότιμος ἦν· πῶς παραχωρεῖ τῶν πρω-
τείων ἐκείνοις : Ὠειγλώους : Ἐπίσημον ἔχει τὸ
αὐτοὶ πάσχουσι· διατί αὐτοὶ ἐν ὑπεράστεσι τιούν ἐν τῷ βίῳ τού-
-τῳ μόνῳ γίνονται, ὅσοι ἄδικοι ὄντες εὐτυχοῦσιν· ἴσον ἀδικοῦν-
-τας καὶ παρανομοῦντας· καὶ ἐμοῦ παρὰ μικρὸν ἐσαλεύθησαν
οἱ πόδες· ἐὰν ἐν τῷ βίῳ τούτῳ μόνον ἐλπίζω, παρ' ὀλίγον ἐ-
ξεχύθη τὰ διαβήματά μου :
Εἶπα δὲ (νε) οὐχ ὁ χρόνος ἐστὶν ὁ λαλῶν· ἐν πολλοῖς δὲ ἔτεσιν οὐκ οἴ-
δασι σοφίαν· ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς· πνοὴ δὲ παντοκράτορος
ἐστὶν ἡ διδάσκουσα· οὐχ οἱ πολυχρόνιοι εἰσὶ σοφοί· οὐδὲ
οἱ γέροντες οἴδασι κρίμα· (νϛ) διὸ εἶπα ἀκούσατέ μου, καὶ
ἀναγγελῶ ὑμῖν ἃ οἶδα : Οὕτως δὲ
πνεῦμα οὐκ ἔστιν ἐν αὐτοῖς : Ὀλυμπιοδώρου:
Οὐκ ἀξίους φησὶν ἀκούων τῆς ἡλικίας τοὺς λόγους καὶ ἐμαυ- νε
τὸν ἔλεγον· οὐ πάντως οὐδὲ ἁπλῶς οἱ χρόνῳ προβεβηκότες
εἰσὶ σοφοί· ἀλλὰ χρεία τῆς τοῦ ἁγίου πνεύματος χάριτος τῆς οὐσίας
ἐπαναμνούσης χρόνου· ἀλλὰ ἀθρόως σοφιζούσης τὸν ἄν-
θρωπον· δῆλον δὲ ὅτι οὐκ ἀκρίτως δίδωσιν ἡ χάρις, ἀλλ' ἐὰν εὕ-
-ρῃ ψυχὴν καθαράν : Τοῦ ἁγίου ἰωάννου :

Οὐ γὰρ ἀνάγκη φησὶ τοὺς πρεσβύτας μόνους εἶναι σοφούς· ἀλ-
λ' ἔστι καὶ ἀπὸ νεότητος ἀκοῦσαι τὰ γενναῖον· εἰ γὰρ χρόνος ποιεῖ
σοφούς, πολλῷ μᾶλλον θεός: Ὀλυμπιοδώρου:

νς Ἕτερα ἀντίγραφα, μετὰ τὸ ἐρῶ γὰρ ὑμῶν ἀκουόντων ἔχει
※ καὶ τούτους τοὺς στίχους· ἰδοὺ ἤκουσα τοὺς λόγους ὑμῶν· ἠ-
※ νωτισάμην ἄχρι συνέσεως ὑμῶν· οἱ δὲ ἑβδομήκοντα ἑρμηνευταὶ
※ οὕτως ἐκδεδώκασιν. θ΄. ἰδοὺ ἐξεδεξάμην τοὺς λόγους
※ ὑμῶν· ε΄ ἠκροασάμην ἐφ' ὅσον ἐφρονεῖτε· ἐφ' ὅσον ἐξη-
※ τάζετε λόγους, καὶ μέχρι τοῦ ἐφικέσθαι ὑμῶν συνενόουν·
κατὰ μὲν οὖν ταύτην τὴν ἔκδοσιν καὶ τὰ ἕτερα τῶν ἀντιγρά-
φων· ὥσπερ φησὶν ἐγὼ μεθ' ἡσυχίας ἤκουσα πάντων τῶν
λεχθέντων, καὶ ἀνέμεινα μέχρι συμπεράσματος τῶν ὑ-
μετέρων λόγων· καὶ ἕως ὅτε πάντων ἑαυτῶν τὴν φρόνησιν κε-
νώσητε, καὶ ὑμεῖς τῶν ἐμῶν ἀκούσατε λόγων· κατὰ δὲ τὰ
παρ' ἡμῖν ἀντίγραφα ὁ νοῦς οὗτος. ἀκούσατέ μου φησίν.
ἐρῶ γὰρ οὐδὲν ὑπέρογκον, ἀλλὰ δύνασθαι δοκιμάσαι, καὶ
μέχρι ὑμῶν συνήσω. ἀντὶ τοῦ οὐ καινοφωνίαις χρήσομαι·
ἀλλ' ὡς δύνασθε συνιέναι λαλήσω:

› Ἐνωτίσασθέ μου τὰ ῥήματα, ἐρῶ γὰρ ὑμῶν ἀκουόντων·
› ἄχρις οὗ ἐτάσητε λόγους. καὶ μέχρι ὑμῶν συνήσω· καὶ ἰδοὺ νξ
› οὐκ ἦν τῷ Ἰὼβ ἐλέγχων· ἀνταποκρινόμενος ῥήματα αὐτοῦ
› ἐξ ὑμῶν· ἵνα μὴ εἴπητε εὕρομεν σοφίαν κυρίῳ προσθέμενοι:

∵ ※ ἐν θ΄ οἱ λ΄ μ΄ τί ᾱ ἐξιχνιάσει· ∷ ※

νξ ∵ ※ Ὀλυμπιοδώρου: Διὰ τοῦτο φησὶν εἰς τὸ

λέγειν προήχθην· ἐπειδὴ μηδεὶς ὑμῶν διελέγχει τοὺς λόγους νξ
τοῦ ἰὼβ πεπείκασι, ἀλλὰ καὶ ἠνέσχεσθε αὐτοῦ τοιαῦτα περὶ
θεὸν λαλήσαντος· τὸ δὲ ἵνα μὴ εἴπητε εὕρομεν σοφίαν κυρίῳ
προστιθέμενοι· τοιοῦτον ὑποβάλλει νοῦν· καὶ ἵνα μὴ νομίσητε
ὅτι τὸ ἁπλῶς προστίθεσθαι τῷ τοῦ θεοῦ μέρει καὶ θεῷ συνη-
γορεῖν τοῦτο σοφίας ἐστὶν αὖ ἀναγκαίως τοὺς λόγους ποιοῦμαι·
ὁ δὲ πᾶς νοῦς τοιοῦτος· προῆλθον φησὶν εἰς τὸ λέγειν δι' αἰ-
τίαν διττήν· ἵνα μήτε νομίζοντες ἁπλῶς θεῷ συνηγορεῖν, καὶ
τοῦτο εἶναι σοφίαν καταδικάζητε τὸν ἰὼβ τὰς αἰτίας οὐκ εἰ-
πόντες τῆς κακώσεως· καὶ ὅτι οὐκ ἰσχύσαντες ἀντειπεῖν τῷ ἰὼβ
τοσοῦτον τινά· καὶ ἐπετρέψατε διὰ τῆς σιωπῆς ἀνῶ γεόντι
τοιαῦτα ἀλαζονεύεσθαι: τοῦ ἁγίου ἰω(άννου):
Ἡττοῦτο φησίν, ὅτι οὐδὲ τότε ὅτε ἤλεγχε, ὡς ἔδει ἠλέγξατε· νξ
ἢ ὅτι ὕπεικον ἐσιωπήσατε: τοῦτο περὶ σ
τὸ ἔξω γὰρ ὑμῶν ἀκουόντων: +
Ἀνθρώπῳ δὲ ἐπετρέψατε λαλῆσαι τοιαῦτα ῥήματα· ἐπτο-
ήθησαν οὐκ ἀπεκρίθησαν ἔτι· ἐπαλαίωσαν ἐξ αὐτῶν λόγους·
ὑπέμεινα οὐ γὰρ ἐλάλησα· ὅτι ἔστησαν οὐκ ἀπεκρίθησαν·
ὅτι ἀποκριθῶ κἀγὼ μέρος: ⁘ ⁜ μο
ἐπι σὺ θοιῆ· ⁘ ⁜ ⁘ ⁜ ⁘ ⁜ ⁘ ⁜
ὲ τὸ μέρος μου: Ὀλυμπιοδώρου:
Ἐνταῦθα σχῆμα ἐστὶ λόγου τὸ καλούμενον κατὰ ἀποστροφήν· νη
ὡς γὰρ πρὸς ἑτέρους μεταξὺ διαλεγόμενος· περὶ αὐτῶν
φησίν· ὅτι διὰ τοῦτο λαλῶ, ἐπειδήπερ κατεπλήρωσαν τοῦ

Ἰὼβ τὰ ῥήματα καὶ τοὺς ἑαυτῶν λόγους παγαίους καὶ ψυχρούς
καὶ ἀχρείους ἔδειξαν διὰ τῆς σιωπῆς· ἐγὼ δέ φησι περιέμεινα
καὶ οὐκ ἐλάλησα, οἰόμενος αὐτοὺς δυνάμενοι ἀντειπεῖν· ἐπεὶ
σιωπῇ ἔστησαν καὶ περαιτέρω προελθεῖν οὐκ ἠδυνήθησαν τοῖς
τοῦ Ἰὼβ ἀνακοπέντες λόγοις· παρῆλθον διελέγξων τὰ εἰρη-
νθ μένα: Τοῦ αὐτοῦ: Ἱκανῶς ὁ Ἐλιοὺς τὴν αἰτίαν
ὅθεν εἰς τὸ λέγειν προήχθη βαθείας αὐτῷ γινομένης σιγῆς· αὐ-
τὸς τοὺς ἑαυτοῦ λόγους ἀναπληροῖ· καὶ οὐκ ἐγκαλεῖ μὲν ἀσέ-
βειαν τῷ Ἰὼβ· οὐδὲ ἐπ' αὐτοῖς τισὶ διαβάλλει πράξεσι κα-
θάπερ οἱ φίλοι· μόνα δὲ αὐτοῦ τὰ ῥήματα καταμέμφεται
ὡς δικαιοῦντος ἑαυτόν, καὶ πρὸς τὸν θεὸν ἐθέλοντος κρίνεσθαι·
οὐ νενοηκὼς οὐδὲ αὐτός ὡς ἔφημεν, ἐξ οἵας διανοίας,
καὶ ὡς πρὸς τὰ παρὰ τῶν φίλων τὰ τοιαῦτα ἐλάλει· οἰηθεὶς
δὲ πάλιν τὸν Ἰὼβ λέγειν ὅτι ἀδίκως ταῦτα παρὰ θεοῦ πάσχω,
καὶ ὅτι ὡς ἔτυχε φέρεται τὰ ἀνθρώπινα· πολλὰ περὶ τῆς
ποικίλης περὶ ἡμᾶς προνοίας τοῦ θεοῦ διαλέγεται· πλὴν οὐδὲ
ὁ Ἐλιοὺς τῆς κατὰ τοῦ Ἰὼβ ὑποθέσεως ἥψατο· ἀλλ' ἠγνό-
ησε τῆς ἐπενεχθείσης αὐτῷ πληγῆς τὴν αἰτίαν: +

+

+

## + προθεωρία, κεφαλαίου κβ:

+

Εἰρηκὼς ἐλιοῦς τὴν αἰτίαν, ὅθεν εἰς τὸ λέγειν προήχθη,
βαθείας αὐτῷ γινομένης σιγῆς, αὐτὸς τοὺς ἑαυτοῦ λόγους
ἀναπληρῶν· πλήρεις εἶναι λέγει ῥημάτων, τῶν ὑπὲρ θεοῦ δηλο-
νότι, καὶ ταῦτα πρὸς τὸν ἰὼβ εἰς τὴν ὁμοίαν ἐξέτασιν θεῷ κα-
ταστῆναι θελήσαντα· λάλησον οὖν φησὶ τὸ δίκαιον πάσης
ἀνθρωπίνης αἰδοῦς πολιτικῶν· προκαλεῖται δὲ τὸν ἰὼβ
εἰς τὴν διάγνωσιν μηδὲν εὐλαβούμενον· οὐ γὰρ πρὸς
θεόν σοι φησὶν ὁ ἀγὼν μὴ δείσῃς· ἀλλὰ πρὸς αὐτὸν ὁ-
μοιοπαθῆ· τοῦτο γὰρ ἔφασκες ὡς ἕτοιμος εἶ δικάζε-
σθαι πρὸς θεόν· ἐὰν ἀκριβῶς τοῦτο ποιεῖν ἐπιτελέσῃς, καὶ
ἐλέγξῃς μὲν ἄμεμπτος εἶναι. ἥττω δὲ θεοῦ, ὡς ἀκριβῶς
ἀναζητήσαντα τὰ κατὰ σέ· ἐγὼ δὲ σε διδάξω ὅτι παιδεύει
ὁ θεὸς καὶ πρὸς τὸ συμφέρον τοῖς ἁμαρτάνουσι τούς τε δι' ἐνυ-
πνίων φόβους ἐπάγει καὶ τὰς διαφόρων νόσων μάστιγας, καὶ σώ-
ζει τοὺς παιδευομένους καὶ μετανοοῦντας· καὶ ἀληθῆ μὲν φη-
σὶν ὁ ἐλιοῦς περὶ τῆς παιδευτικῆς καὶ κηδεμονικῆς τοῦ θεοῦ
περὶ ἡμᾶς προνοίας· οὐ τοιαύτη δὲ ἦν ἡ κατὰ τὸν ἰὼβ
ὑπόθεσις· ἀγὼν γὰρ ὑπῆρχεν ἀρετῆς πρὸς κακίαν, καὶ αὐτοῦ
θεοσεβοῦς, πρὸς ἅμιλλαν διαβολικήν· ὥστε οὐδὲ ὁ ἐλιοῦς
τῆς κατὰ τὸν ἰὼβ ὑποθέσεως ἥψατο· οὐδὲ συνενόηκε τῆς ἐπι-

-νεχθείσης τῆς γῆς τὴν αἰτίαν : +

+

+

+ δευτέρα τοῦ ἐλιοὺς πρὸς τοὺς φίλους καὶ πρὸς τὸν ἅγιον ἰὼβ διάλεξις· κεφ κβ :

+

Ὑπολαβὼν δὲ ἐλιοὺς λέγει· πάλιν λαλήσω, πλήρης γάρ εἰμι ῥημάτων· ὀλέκει γάρ με τὸ πνεῦμα τῆς γαστρός· ἡ δὲ γαστήρ μου ὥσπερ ἀσκός, γλεύκους ζέων δεδεμένος. ἢ ὥσπερ φυσητὴρ χαλκέως ἐρρηγώς : σ' συγκαίει. :: σ' ὡς οἶνος νέος ἀδιάπνευστος : Ὀλυμπιοδώρου :

Οὐ φέρω φησὶ τὴν σιωπὴν ὑπὸ τῶν εἰρημένων κινούμενος. οὐδὲ ἐχεμυθεῖν ἔτι δύναμαι· ἀπόλλυμαι γὰρ τὴν ψυχὴν ὅλως διαθερμανθεὶς καὶ ἀποπνιγόμενος. εἰκῇ λαλήσω. πνεῦμα δὲ γαστρός, ἢ περιφραστικῶς τὴν ψυχὴν λέγει, ἢ τὸ θυμικὸν τῆς ψυχῆς ἀνδρείως ὡς ὑπὲρ θεοῦ κινούμενον : Ὠριγένους :

Ὁ γὰρ μὴ πλήρης ὢν ῥημάτων, καὶ ἐρχόμενος ἐπὶ τὸ λαλεῖν κενὰ λαλήσει ὡς κενός. καὶ κατὰ τὸ εἰρημένον ὁ μωρὸς μωρὰ λαλήσει. καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει :

Τοῦ αὐτοῦ :

Τοῦ αὐτοῦ: Ὥσπερ τις ἐγκύμων γίνεται, καὶ μορ- σ/ο
φωθέντος τοῦ γεννωμένου ἐν αὐτῷ, ἐπὶ ὠδῖνας ἔρχεται μέ-
χρις οὗ ἀπογεννήσει τοῦτο ὃ πρότερον συνείληφε· τοιοῦτόν
τι μοι νόει γενέσθαι καὶ ἐπὶ τῆς τοῦ φιλομαθοῦς ψυχῆς· συλ-
λαμβάνει γὰρ τὸν λόγον, ὃν ἀπαγγελλόμενον μορφοῖ καὶ τυποῖ
αὐτὸν τῇ τάξει· ὅταν δὲ μετὰ τὸ τυπωθῆναι καὶ μορφωθῆναι αὐτὸν,
ἕτοιμον γενόμενον, μὴ ὡς ἔκτρωμα ἀνέτοιμον καὶ ἀτελὲς
παραδίδωσιν· ἀλλ᾽ ὡς τελεσφορηθὲν καὶ τετελειωμένον εἴποι-
μι ἄν: Μικροῦ μὲν οὖν ἐμοὶ διαρρήγνυμαι
ὑπὸ τοῦ πλήθους τῶν ὑπελθουσῶν μοι πρὸς τὴν ἀντιλογίαν
ἐννοιῶν στενοχωρούμενος, ὥσπερ τις ἀσκὸς οἴνου νέου
καὶ θερμοῦ πεπληρωμένος ὑπὸ τοῦ ἀναβρασμοῦ καὶ τῆς
ζέσεως ἐκραγῆναι μέλλων· ἢ ὥσπερ φυσητὴρ χαλκέως· τὸ
δὲ ἐρρηγὼς εἶπεν, ἐπειδὴ πολλὴν ἦχεν, καὶ ὥσπερ ἀφί-
εται τοῦ ἔσω πν(εύματος): Τοῦ ἁγίου Ἰω(άννου):
Δείκνυσιν ὅτι πάλαι ὁ Ἐλιοὺς ὠδίνων ἐπεὶ ὑπέμεινε καὶ ἐκαρ- ξα
τέρει, καὶ διαρραγῆναι εἶχεν· ὥστε πολλῆς τῆς ὑπομονῆς χρεία
ὅπερ ἐστὶ μάλιστα πάντων σοφίας ἔργον· δύνασθαι ῥήματα
κατασχεῖν: Ὠριγένους: Δοκεῖ μοι ἐντεῦθεν ξα
εἰρῆσθαι τὸ ἐν τῷ εὐαγγελίῳ, οὐδεὶς οἶνον νέον εἰς ἀσ-
κοὺς παλαιοὺς βάλλει:

ξβ

Λαλήσω ἵνα ἀναπαύσωμαι ἀνοίξας μου τὰ χείλη· ἄνθρωπον γὰρ
οὐ μὴ αἰσχυνθῶ· ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ.
οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπον· εἰ δὲ μή, καὶ ἐμὲ

∴

σῆτες ἔδονται· οὐ μὴν δὲ ἀλλὰ ἄκουσον ἰὼβ τὰ ῥήματά μου

∴ ✝ ※ ἀποκρίθηθι· ∴ ὥστε τὸν ἰὼβ οἱ [illegible] :

ξβ Λαλήσω τοιγαροῦν ἀνεπαισχύντως, καὶ δίχα πάσης ἀνθρωποπαρεσκείας· εἰ δέ τι παρὰ τὸ δίκαιον φθέγξομαι, ὥσπερ τὰ ἱμάτια σῆτες καταναλῶσιν, οὕτω κἀμὲ καταναλώσουσι σῆτες οἱ τῆς ψυχῆς, ἡ κενοδοξία ἡ ἀνθρωπαρεσκεία, τῆς ἐκ θεοῦ τιμωρίας ὑπάρχουσαι: ὠριγένους:

Ὁ τυγχάνων ζητητοῦ ἀκροατοῦ, καὶ ὢν πλήρης λόγων, θέλει ἀναπαύσασθαι· καὶ λέγει· λαλήσω ἵνα ἀναπαύσωμαι:

οε τοῦ αὐτοῦ: Οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπον. οὐκ ἔχω ταύτην τὴν ἐπιστήμην, ἵνα θαυμάσω πρόσωπον· ἀλλὰ καταφρονῶ αὐτῶν καὶ τῆς παρ' αὐτοῖς αἰσχύνης βροτῶν, καὶ τῆς παρ' αὐτῆς ἐντροπῆς: τοῦ ἁγίου ἰω:

θε Τοὺς ἐκείνους αἰνίττεται· ὅτι διὰ τοῦτο ἐσίγησαν αἰσχυνθέντες αὐτῷ: ὠριγένους:

γρ Ὡς τῶν σητῶν διεσθιόντων τοὺς λαμβάνοντας πρόσωπα αὐτῶν:

τοῦ ἁγίου ἰω: Ὥσπερ τοὺς προσωπολήπτας, καὶ μάλιστα ὅταν ἡ θεοῦ ἐν τῷ μέσῳ· ἢ καὶ ἀνθρώπους μᾶλλον τιμῶμεν: +

› Καὶ λαλιὰν ἐνωτίζου μου· ἰδοὺ γὰρ ἤνοιξα τὸ στόμα μου
› καὶ ἐλάλησεν ἡ γλῶσσά μου· ξγ καθαρά μου ἡ καρδία ῥήμα-
› σιν· σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει· ξδ πνεῦμα
› θεῖον τὸ ποιῆσάν με· πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά
› με· ἐὰν δύνῃ δός μοι ἀπόκρισιν· πρὸς ταῦτα ὑπόμεινον:

∴ α΄ θ΄ εὐθεῖα, ζ΄ ἁπλῆ. μηδὲν κατὰ ἀπόκριμα λέγουσα :

∴ α΄ θ΄ γνῶσις. ∴ ε΄ θεοῦ : τοῦ ἁγίου ἰω(άννου) :

τουτέστιν οὐκ ἀπὸ βασκανίας οὐδὲ ἀπὸ φθόνου ταῦτα φθέγγο- ξγ
μαι : ὀλυμπιοδώρου : καὶ οἶδα φησὶν ὡς ξδ
ταύτην τὴν σύνεσιν οὐκ ἀπ' ἐμαυτοῦ, ἀλλ' ἀπὸ τῆς θείας χάριτος
κέκτημαι· ὁ γὰρ τὸ εἶναι δεδωκὼς καὶ τῶν δεόντων τὴν γνῶσιν
παρέσχεν· ὑπόμεινον τοίνυν ἀκοῦσαι τὰ παρ' ἐμοῦ, καὶ ἐάν
ἐστί σοι λόγος ἀντιλογίας ἀπόκριναι : σευήρου ἀρχι-
-επισκόπου ἀντιοχείας, ἀπὸ λόγου κε΄ : ἐκ τῶν προ- ξδ
κειμένων διδασκόμεθα ὅτι θεὸς τὸ πνεῦμα, καὶ δημιουργὸς ἀγ-
γέλων καὶ ψυχῶν : ὅτι δημιουργὸν τὸ πνεῦμα ὡς ὁ υἱός : ξδ

ξε
ε΄ τίθει κατ' ἐμὲ καὶ ἐγὼ κατὰ σέ· ἐκ πηλοῦ διήρτισαι σὺ ὡς
καὶ ἐγώ· ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα· ξς οὐχ ὁ φόβος μου σε
στροβήσει· οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπὶ σοί· ξζ πλὴν εἶπας
ἐν ὠσί μου· φωνὴν ῥημάτων σου ἀκήκοα· διότι λέγεις κα-
θαρός εἰμι οὐχ ἁμαρτών, ἄμεμπτος δέ εἰμι οὐ γὰρ ἠνόμησα :

∴ ἄρα τοιοῦτος εἰμὶ οἷος σύ, οὐκ εἰμὶ θεός ∴ ÷ γ΄
κεῖται ἐν τῷ ἑβραϊκῷ ∴ ε΄ ἐκθαμβήσει ∴ θ΄ ※

ὀλυμπιοδώρου : ἀντὶ τοῦ τί πρὸς θεὸν κρίνεσθαι ξε
θέλεις· πρὸς με δίκασε τὸν καὶ οὐδέν σου διαφέροντα· τῆς γὰρ
αὐτῆς ἄμφω τετυχήκαμεν φύσεως : τοῦ αὐτοῦ :
ἐπειδὴ ἔλεγεν ὁ ἰὼβ· ὁ φόβος αὐτοῦ μή με στροβείτω· ἰδού ξς
φησιν οὐδὲν φοβερὸν οὐδὲ σφοδρὸν παρ' ἐμοί ὡς παρὰ θεῷ.

οὐδὲ ἐὰν αὐλίσῃς, διὰ ἀμνήσοι τινὰ πληγὴν ἐπάγειν· ἐ-
φάσκες γὰρ ὡς εἰ μὴ ταῦτα ἐπεποίηκεις, διηγωνίζου πρὸς θεόν:

ξζ Τοῦ αὐτοῦ: Ἐφάσκησας δὲ εἰπεῖν τοιαῦτα εἰ μὴ
φησίν, ὧν αὐτήκοος γέγονα, ὅτι τε καθαρός εἰμι καὶ ἀ-
μεμπτος· ὁ δὲ θεὸς ὥσπερ τις ἐχθρὸς ἀκριβῶς ἀναζητήσας
τὰ κατ' ἐμέ· εἴ τι ἄκων παρέβην, εἴ τι ἐν νεότητι ἥμαρτον ἀ-
νιχνεύσας, εὗρε κατ' ἐμοῦ μέμψιν ὅπως με τιμωρήσηται·
τὸ δὲ ἔθετο ἐν ξύλῳ τὸν πόδα μου τὸ ἀνεξόδευτον τῆς τιμω-
ρίας αἰνίττεται:

Μέμψιν δὲ κατ' ἐμοῦ εὗρεν· ἥγηται δέ με ὥσπερ ὑπεναντίον· ἔ-
θετο δὲ ἐν ξύλῳ μου τὸν πόδα· ἐφύλαξε δέ μου πάσας τὰς ὁδούς·
ξη
πῶς γὰρ λέγεις δίκαιος εἰμὶ καὶ οὐκ ἐπακήκοέ μου· αἰώνιος
γάρ ἐστιν ὁ ἐπάνω βροτῶν· λέγεις δὲ διατί τῆς δικαίας ζωῆς μου
οὐκ ἐπακήκοε εὐθύς: :: ὁποῖα ποτ' ἂν ἡ αἴτησις
ἢ ἐκ τίνων πρὸς αὐτὸν ἐπικαλῶ ὅτι πάντα τὰ εὐμαρῆ
αὐτοῦ οὐκ ἀποκρίνηται· ἐκ τίνων αὐτῷ διαλέξῃ, πάντες
γὰρ οἱ λόγοι αὐτοῦ ἀναντίρρητοι: Ὀλυμπιοδώρου:

ξη Ἀλλὰ καὶ ἀποτολμήσας εἰπεῖν, ὅτι ἐγὼ μὲν εἰμὶ δίκαιος καὶ
δικαίαν ἐποιησάμην πρὸς θεὸν τὴν δέησιν· ὁ δὲ οὐ κατένευσε,
οὐδὲ τῶν ἐμῶν ὑπήκουσε λόγων· καίτοι γε φησὶν ἐχρῆν σε ἐν-
νοεῖν, ὡς ὁ αἰώνιος καὶ ἄναρχος θεὸς ἄριστα τὸν κόσμον ἡνιοχεῖ,
οὐδὲ τοῦ δικαίου παρορᾶται· πάντα γὰρ ἀφειδῶς καὶ δια-
τάξατο, ἀμέμπτως καὶ ἐπαινετά, ὡς τῶν μὲν αὐτῶν πολλάκις

ἐφ' οἷς λέγουσιν ἢ πράττουσί τι μεταμελομένων ἢ ἐπιλογιζο-
μένων· τοῦ δὲ τοῦ ὀλιγωρουμένου, ὅπερ δηλοῖ τὸ ἐν γὰρ
τῷ ἅπαξ λαλήσει ὁ κύριος: τοῦ ἁγίου Ἰω:
τοῦτο ἐστὶν ὃ ἐγκαλεῖς μὲ φησὶν ὅτι οὐκ ἐπήκουσέ σου τῆς ξη
δίκης· πόθεν δῆλον εἰπέ μοι ὅτι οὐκ ἐπήκουσεν, ὅτι κολά-
ζει καὶ τιμωρεῖται, τοῦτο ἔργον αὐτοῦ· ὥστε βελτίους ποιεῖν τοὺς
ἀνθρώπους: τοῦ αὐτοῦ: τουτέστιν οὐκ ἐπιπροσ- ς
θήσει πολλάκις ἀποστῆσαι: τοῦ ἁγίου Ἰω:
τουτέστιν οὐχὶ καθ' ἕκαστον ἁμάρτημα καὶ παιδεύει· ἀλλὰ τοῦτο ἐστὶ οεο
τοῦ θεοῦ ἐπὶ ἅπαξ τί ποιῆσαι· καὶ μὴ κατὰ μικρὸν πολλά-
κις δι' ὀνειράτων παρ' ἧς καὶ δι' ἐνυπνίων:
ἐν γὰρ τῷ ἅπαξ λαλήσει ὁ κύριος· ἐν δὲ τῷ δευτέρῳ ἐνύπνιον·
ἢ ἐν μελέτῃ νυκτερινῇ· ἢ ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος ἐπ' ἀνθρώπους.
ἐπινυσταγμάτων ἐπὶ κοίτης· τότε ἀνακαλύπτει νοῦν ἀνθρώπων:
ὅτι ἅπαξ λαλήσει ὁ κύριος· ἐν δευτέρου οὐ κατανο-
ρώσει αὐτῷ· ἐ ἐν ἐνυπνίῳ θεωρεῖ μου νυκτός·
θ ἐπιστάσεις: ὁ δὲ αὐτὸν εἰς πίνας τέλειον κατα- ξϛ
πάλαι περιέπεσεν: ὁ μὲν οὖν φησὶ κηδεμὼν τῶν ξθ
ἡμετέρων θεός· ὥσπερ μέν τινα καὶ ἐνέσπειρε τῇ φύσει ἀρετὰς
φυλάττειν ὀφείλομεν· οἷον τὸ ἀγαπᾷν τὸν θεὸν καὶ τὸν πλησίον
ὡς ἑαυτόν· ἐ δὲ τινὶ παραλειπόμεν, οἷα πολὺς φιλόστοργος
πολλάκις ἡμᾶς δι' ὀνειράτων παιδεύει καὶ φασμάτων νυκτε-
ρινῶν· ἐπειδὴ γὰρ τὸν φυσικὸν οὐκ ἐφυλάξαμεν νόμον τὸν
παιδευτικὸν ἐπάγει· ὅτε ἐπιφέρει δι' ἐνυπνίων, ὡς ἐν μελέτῃ,

τουτέστι διαλέξει ποιῶν τινὰ καθ᾽ ὄναρ ἐκδειματοῦντα τὴν
ψυχήν· καὶ διὰ τούτων τῶν πραγμάτων ἐπιστρέφων αὐτοὺς ἀνακαλύπ-
τει νοῦν αὐτῶν· αὐτό τε διεγείρει καὶ εἰς συναίσθησιν ἄγει τοῦ
θεοῦ· ἵνα τῷ φόβῳ σωφρονιζόμενοι, τὸν οἰκεῖον ἐπανορ-
θῶσι βίον: τοῦ ἁγίου Ἰω(άννου):
ξθ Ἐπειδὴ ἔλεγεν ἐκφοβεῖς με ἐνυπνίων καὶ ἐν ὁράμασιν:
ο Ἕκαστον ὡς πταιστὸν ἐπιστρέφων:
Ἐν εἴδει φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν· ἀποστρέψαι
ἄνθρωπον ἐξ ἀδικίας· τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐρρύσατο·
ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου· καὶ μὴ πεσεῖν
αὐτὸν ἐν πολέμῳ· πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐν μαλακίᾳ
ἐπὶ κοίτης· καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησεν:
∴ α΄ καὶ ἐν παιδείᾳ αὐτὸν ἐλέγξει αὐτούς· ∴ ἐπι-
στρέφου περὶ τῆς τιμωρίας· ∴ ε΄ διὰ πόνου· ∴ θ΄ χ΄.
Ο Ὀλυμπιοδώρου: Οὗτος τοιγαροῦν χρήσιμος ὁ παι-
δευτικὸς οὗτος φόβος, ὁ διὰ τῶν φασμάτων καὶ ἰνδαλμάτων.
ὅτι καὶ μέλλουσαν τιμωρίαν ἐπεχόμενος τὸν αὐτοῦ φόβον βελτίω
γινόμενον, ἀβλαβὲς ἔχειν καὶ σῶμα καὶ ψυχήν, ἀναρπασθῆναι
τε καὶ ἐκ πολεμίων χειρός· ἴσως γὰρ εἰ μὴ ἐπέστρεψεν, ἢ θεη-
λάτῳ πληγῇ, ἢ πολεμίων ἐφόδῳ, ὧν ἐξήμαρτε τὴν δίκην ἐ-
τίσου: οα τοῦ αὐτοῦ: Ἐλεεινὴ καὶ τὸν αὐτόν φησι
καὶ μὴ μετανοοῦντα διὰ κλινοπετοῦς ἐλέγχει νόσου φρίκην τοῖς
ὀστέοις ἐνιείς· ὡς καὶ ἐνθέλειν μὲν τροφῆς ὀρέγεσθαι· μὴ δύ-
νασθαι δὲ ὑπὸ τῆς νόσου προΐεσθαι· κατέλυσεν τὰς μὲν βρωσ

ἀπολικομένας παραιτεῖσθαι· τῶν δὲ ὀστῶν τὴν ἰσχὺν ἐκλεί-
πειν· ἐγγὺς δὲ εἶναι λοιπὸν τοῦ θανάτου τὴν ψυχὴν καὶ τὰ
ἐν ᾅδου φαντάζεσθαι :

Π ἂν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προσδέξασθαι, καὶ ἡ ψυ-
χὴ αὐτοῦ βρῶσιν ἐπιθυμεῖ· ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες·
καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ κενά· ἤγγισε δὲ εἰς θάνατον
αὐτοῦ ἡ ψυχή· ἡ δὲ ζωὴ αὐτοῦ ἐν ᾅδῃ· ἐὰν (οβ) ὦσι χίλιοι ἄ-
γγελοι θανατηφόροι εἰς αὐτόν οὐ μὴ τρώσῃ αὐτόν :

∵ ὁ ἑβραῖος ἐκλείψωσιν ἔχει· ∵ οἱ λοιποί εἰς δια-
φθοράν· ∵ ÷ οὐ κεῖται ἐν τῷ ἑβραϊκῷ :—

Ὀλυμπιοδώρου : Οὗτος δέ φησιν ὁ ἐν τοῖς ἐσχάτοις
ἐξεταζόμενος, ἐὰν τὸ αἴτιον τῆς νόσου νοήσας τὴν ἁμαρτίαν
ἐπιστραφῇ πρὸς τὸν θεὸν διὰ τῆς ἐξομολογήσεως τὰς ἰδίας μέμψεις
καὶ ἁμαρτίας ἐξαγορεύων· ἵστησιν ἐπηρτημένον τὸν θά-
νατον· κἂν πολλοὶ ὦσιν ἄγγελοι περὶ αὐτόν, οἱ ἐπὶ ἐξαγω-
γῇ τῶν ψυχῶν τεταγμένοι. ἀπαλειφούσης μὲν τῆς μετανοί-
ας τὴν ἁμαρτίαν· δυσωπούσης δὲ τὸν θεὸν ἐφ᾽ ᾧ τὴν ἀπόφασιν
ἀναλύσασθαι, καθὰ δὴ καὶ ἐπὶ Νινευιτῶν : Τοῦ ἁγ(ίου) Ἰω :

Οὐ διωχθήσεται φησίν, ἐπειδὴ αὐτὸς κατέχει : οβ

Ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι πρὸς κύριον· ἀναγγελεῖ δὲ
ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν· τὴν δὲ ἀνομίαν αὐτοῦ ὑποδείξῃ·
(ογ) ἀνθέξεται τοῦ μὴ πεσεῖν αὐτὸν εἰς θάνατον· ἀνανεώσει
δὲ αὐτοῦ τὸ σῶμα, ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου· τὰ δὲ ὀστᾶ
αὐτοῦ ἐμπλήσει μυελοῦ· ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας

ὡς νηπίου ∴ ÷ ∴ ÷ ∴

∴ ÷ σύγκειται ἐν τῷ ἑβραϊκῷ ∴ Ὀλυμπιοδώρου ∴

ογ Ὥσπερ φησὶν ἀντιλαμβανόμενος αὐτοῦ καθάπερ οἱ τοῖχον ἐρρευκότα διὰ τῆς ἐπαγγέλσεως τῆς κονίσεως τυχὸν ἢ τοῦ πηλοῦ ἀνακαινούμενοι, οὕτως ἀνανεοῖ τὸ πεφθορὸς αὐτοῦ σῶμα καὶ ὥσπερ ἐξ ἀρχῆς ἀναπλάττων. τὰ μὲν ὀστᾶ πλήρη μυελοῦ. νεοπαγεῖς δὲ αὐτοῦ χαρίζεται σάρκας· καὶ τὸ δὴ τέλος, ἀνδρώσας αὐτὸν καὶ ἐπιρρώσας, ταῖς ἐν ἀνθρώποις καὶ συνήθεσι διατριβαῖς καὶ ἀποκαθίστησιν ∴

Ἀποκαταστήσει δὲ αὐτὸν ἀνδρωθέντα ἐν ἀνθρώποις· εὐξάμενος δὲ πρὸς κύριον καὶ δεκτὰ αὐτῷ ἔσται· εἰσελεύσεται δὲ προσώπῳ καθαρῷ σὺν ἐξηγορίᾳ· ἀποδώσει ἀνθρώποις δικαιοσύνην· εἶτα τότε ἀπομέμψεται ἄνθρωπος· αὐτὸς ἑαυτῷ λέγων οἷα συνετέλουν, καὶ οὐ κατ' ἀξία ἤτασέ με ὧν ἥμαρτον ∴

∴ α' θ' ἐπισκέψει εἰς ἡμέραν νεότητος αὐτοῦ ∴ θ' δεηθήσεται τοῦ θεοῦ καὶ εὐλογήσει αὐτόν ∴ α' θ' ἐν ἀλαλαγμῷ, σ' ἐν ὑμνολογίᾳ, οἱ ο' ἱλαρῷ μετὰ ἐξομολογήσεως ∴ οἱ ο' ἀνθρώπω ∴ Ὀλυμπιοδώρου ∴

οδ Τότε φησὶν ὁ διασωθεὶς εὐχαριστήριον εὐχὴν καὶ ἐξομολόγησιν εὐπρόσδεκτον ἀνοίσει θεῷ· τὸ δὲ εἰσελεύσεται προσώπῳ καθαρῷ, ἀντὶ τοῦ μετὰ παρρησίας προσελεύσεται θεῷ καθαρθεὶς τὴν ψυχήν, διὰ τῆς παιδείας καὶ ἐξομολογήσεως ∴

οε Τοῦ αὐτοῦ ∴ Κη' ὁ ἐξομολογησάμενος τίμιον λόγον τὸ δίκαιον καὶ καλὸν διὰ τῆς παιδεύσεως γεγονώς· ἢ ὁ θεὸς

κατὰ τὸ δίκαιον λοιπὸν ἐν ἀμοιβῶν τῷ μετανοήσαντι :

Τοῦ αὐτοῦ : Γνοὺς δὲ ὁ σωθεὶς τῆς σοφίας τοῦ θεοῦ παι- οϛ
δείας τὸ κέρδος· εὐχαριστῶς ἐξ εἶπεν ὡς ἐλάττονα τῶν ἡμαρτημένων
πεπαίδευμαι· εἶτα καὶ εὔχεται φησὶ μὴ τῆς τῶν ἀθλίων με-
ρίδος μεταλοῦσθε τὸν βίον ἐν τῇ διαφθορᾷ γενέσθαι, ἀλλὰ τῆς
τῶν δικαίων· φῶς γὰρ εἴρηται δικαίοις διαπαντός :

Σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν· καὶ ἡ ζωή μου
φῶς ὄψεται· ἰδοὺ ταῦτα πάντα ἐργάζεται ὁ ἰσχυρὸς ὁδοὺς τρεῖς
μετὰ ἀνδρός· ἀλλ' ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου· ἵνα ἡ
ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν : ※ ἐν θ' οἱ
γ' · ※ ※ ※ ἐ δὶς τρεῖς πεῖς ἐ-
κασον · ἐ ὥστε μετανακλέσαι τὴν ψυχήν μου :

Ὀλυμπιοδώρου : Ταῦτα φησὶ τοῦ ἰσχυροῦ καὶ οϛ
σοφοῦ θεοῦ τὰ ἔργα ποικίλως ὑμᾶς εὐεργετοῦντος ἐφ' ᾧ
τὸν μὲν ψυχικὸν διαφυγεῖν θάνατον τὴν ἁμαρτίαν· ἐν ἀ-
ιδίῳ δὲ ζωῇ καὶ φωτὶ δοξολογίας ἀναπέμπειν αὐτῷ.
τὸ γὰρ ὁδοὺς τρεῖς, ἀντὶ τοῦ πολυτρόπως, ἢ τὸ τρεῖς διὰ τὸ
τὴν θείαν παιδείαν τελείαν φέρειν ὠφέλειαν, ἀποχὴν
κακίας· ἀνάληψιν ἀρετῆς· καὶ τὰ ἐπὶ ταύτῃ τοῖς ἀγαθοῖς
ἐπηγγελμένα. ἢ ὁδοὺς τρεῖς, ἵνα ὁλόκληρον ἡμῶν διασω-
θῇ τὸ σῶμα καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα : Τοῦ αὐτοῦ :

Ἐπειδὴ ἀνωτέρω εἶπεν· ἐν γὰρ τῷ ἅπαξ λαλῆσαι ὁ κύριος, δη- οϛ
λῶν ὅτι τῇ περιγνωστικῇ ἑαυτοῦ σοφίᾳ πάντα ἐξ ἀρχῆς
προεώρακε· τά τε ἐπὶ δικαίοις καὶ ἀδίκοις κρίματα·

ἔπειτα ὅτι δι᾽ ἐνυπνίων παιδεύει καὶ φαντασμάτων πολλάκις·
καὶ τέλον τῶν διὰ μαλακίας καὶ μάστιγος βιαιοτέραν ἐπι-
στροφὴν ἐπάγουσα συγκεφαλαιοῦται τὸ νόημα καὶ φησίν· ἰδοὺ
ταῦτα πάντα ἐργάζεται ὁ ἰσχυρὸς ὁδοὺς τρεῖς μετὰ ἀνδρός, δι-
δάσκων, ἀπειλῶν, βασανίζων : Ἰουλιανοῦ :

οζ Οὕτω φησὶν ὁ θεὸς τὰ κατὰ τοὺς ἀνθρώπους διοικεῖται· παρέχει τὸ εἶναι·
ὑφηγεῖται τὰ δέοντα· καὶ ἢ μισθὸν δίδωσι τῶν κατορθωθέντων·
ἢ δίκην εἰσπράττεται τῶν παραβαινόντων :

οη ἐνωτίζου ἰὼβ καὶ ἄκουέ μου· κώφευσον καὶ ἐγώ εἰμι λαλή-
σω· εἰ εἰσὶ λόγοι ἀποκρίθητί μοι· λάλησον θέλω γὰρ δικαι-
ωθῆναί σε· εἰ μὴ σὺ ἄκουσόν μου· κώφευσον καὶ διδάξω σε
σοφίαν : ※ ἐκ θ οἱ ε· ※ ※
※ σίγα καὶ διδάξω σε φρόνησιν :

οη Ὀλυμπιοδώρου : Εἴ τι τοιγαροῦν πρὸς ταῦτα λέγειν ἔ-
χεις καὶ ἐλέγξαι με μὴ δίκαια περὶ τῆς τοῦ θεοῦ δικαιοσύνης
λέγοντα, λάλησον ἡδέως γὰρ ἔχω τῆς σῆς ἐπακροάσασθαι
δικαιολογίας· τὸ δὲ καὶ ἐγώ εἰμι· ἀντὶ τοῦ οὐ πρὸς θεόν
σοι ὁ ἀγών· μὴ δείσης ὡς ἔφασκες· ἐγώ εἰμι ὁ ἰσοφυής σου (σοι)·
εἰ δὲ μηδὲν ἔχεις ἀποκρίνασθαι· μεθ᾽ ἡσυχίας ἄκουσόν μου
καὶ ἕτερα σοφία ἐκ τῶν σῶν κεφαλαίων τοῦ Ἐλιοῦς
τὰς ἀρχάς· ἐκ τῶν ἀρχὰς ὁ συγγραφεὺς ἐποιήσατο :

τοῦ ἄλλου : Εὐχῆς γὰρ ἔργον ἀναδειχθῆναί σε
δίκαιον, ψήφῳ καὶ μαρτυρίᾳ θεοῦ· ἀγωνοθεσία ἀποφαίνει : +

+

+

## + προθεωρία κεφαλαίου κγ :

+

Εἰρηκὼς ὁ ἐλιοῦς τὸ εἶδος κηδεμονικῆς παιδεύσεως θεοῦ·
καὶ ὅτι δι' ἐνυπνίων φόβων καὶ διὰ νόσων παιδεύων ἐπὶ τὸ
κρεῖττον ἡμᾶς ἐπανάγει· πάλιν ἐξ ἑτέρας ἀρχῆς ποιεῖται τὸν
λόγον· καὶ προοιμιαζόμενος παρακαλεῖ τοὺς ἀκροατὰς,
εἰς τὴν τῶν λεγομένων κατανόησιν· περιτίθεται δὲ δια-
σκεψιν περὶ κολάσεως ὁλοθρευούσης ἀδίκους· καὶ ἀξιοῖ
τοὺς ἀκροατὰς διακρῖναι· εἰ καλῶς εἴρηται τῷ ἰὼβ,
ὡς αὐτὸς μὲν δίκαιος ἐστί· οὐ δίκαια δὲ πάσχει παρὰ
θεοῦ· εἶτα καὶ φησὶν, ὅτι ἑκάστῳ ὁ θεὸς τὸ κατ' ἀξίαν ἀπο-
νέμων, κολάζει τοὺς ἀδίκους, καὶ λογισμοὺς τούτου τί-
θησι· πρῶτα μὲν γὰρ ὁ δημιουργὸς, οὐκ ἂν ἀσχοῖτο φησὶν
ἀδικῆσαι τὰ ἴδια ποιήματα· ἀλλ' οὐδ' ἂν κηδεμόνων καὶ
εὐεργέτης αὐτῶν ὁ θεὸς παρὰ τὸ δίκαιον ἐπάξει τινὶ κόλασιν·
περὶ μὲν οὖν δικαίας κρίσεως τοῦ θεοῦ, ὀρθῶς εἴρηται τῷ
ἐλιοῦ· τὴν δὲ αἰτίαν δι' ἣν ὁ ἰὼβ πάσχει οὔτε αὐτὸς ἐ-
νόησεν οὔτε οἱ φίλοι· οἱ μὲν γὰρ ἔλεγον ὅτι κατὰ αὐτὴν πο-
-σὸν ὧν δέδρακε πέπονθεν· ὁ δὲ ἐλιοῦς ἀποδέξει μὲν ὀρ-
-θῶς περὶ θεοῦ· οὐχ εὑρίσκει δὲ τὴν αἰτίαν τῆς κατὰ τὸν ἰὼβ
ἐπαγωγῆς· πλὴν διαφέρει τῶν φίλων ὅτι μὴ καταδικάζει

τὸν δίκαιον· ἀλλ' οὐδὲ αὐτὸς ὁ μέγας Ἰὼβ οὕτω πεπληροφορ-
ημένος τῷ περὶ τὴν αἰτίαν πέπονθεν· ὅθεν διάφοροι μὲν τῶν
ἀπάντων οἱ λόγοι, καλῶς μὲν καὶ ὀρθοδοξαστικῶς περὶ τοῦ πα-
λούντων· ἡ δὲ τῆς ἀληθῆς ὑπόθεσις, οὐδενὶ γνώριμος ἐτύγχα-
νε· τοῦτο δὲ μόνον μέμφεται τῷ Ἰὼβ ὁ Ἐλιοῦς· ὅτι πρὸς θεὸν
ὁμοτίμως ἤθελε κρίνεσθαι· τὰ μὲν περισσὰ τῶν ἑταίρων αὐτοῦ
παρέχων· νομίζεται δὲ ἀμηχανήσας ἐξουσίας ἀγαθῆς καὶ πί-
στεως τῆς περὶ θεοῦ δικαιοκρισίας ὁ ἄλλος ἀνὴρ τοὺς λόγους προ-
έφερε· καὶ ὡς οὐ θεοῦ κατηγορῶν, ἀλλὰ τοὺς φίλους διελέγξαι
θέλων τὴν πρὸς θεὸν ἐπόθει δικαιοκρισίαν : +

+

\+

\+ πρώτη τοῦ Ἐλιοῦς πρὸς τοὺς φίλους καὶ πρὸς Ἰὼβ
διάλεξις : κεφ κγ :

\+

› Ὑπολαβὼν δὲ Ἐλιοῦς λέγει, ἀκούσατέ μου σοφοί, ἐπιστάμενοι
› ἐνωτίζεσθε τὸ καλόν· ὅτι οὖς λόγους δοκιμάζει· καὶ λάρυγξ
› γεύεται βρῶσιν· κρίσιν ἑλώμεθα ἑαυτοῖς· γνῶμεν ἀνὰ μέ-
› σον ἑαυτῶν ὅτι καλόν : ∵ ⁜ σκθ οἰσ

∵ ⁜ ∴ ⁜ ∴ ⁜ : Ἰουλιανοῦ :

Ἐκμειλίσσεται τοὺς ἀκροατὰς διὰ τὰς προσλαβούσας μέμψεις : οθ

λυμπιοδώρου : Ὥσπερ φησὶν ὦ φίλοι ἀκοὴ κριτική, π
καθὰ καὶ βρωμάτων ὁ λάρυγξ. εἰς κοινὴν τοίνυν προκείσθω
σκέψιν τοῦ ἀληθοῦς ἡ ἔρευνα. εἰ καλῶς ὁ Ἰὼβ ἐλάλησε
λέγων, δίκαιος μέν εἰμι· ὁ δὲ θεὸς μοι τὸ κρίτικον οὐκ ἐφύλα-
-ξε· ἀλλ' ἐψεύσατο τῷ κρίματί μου· οὐ πρὸς ἀξίαν κρίνας τὰ κα-
τ' ἐμέ· καὶ ὡς δυνατὸς μᾶλλον ἢ δίκαιος, βίᾳ τὴν πληγὴν ἐπή-
γαγε κατὰ τοῦ μηδὲν ἀδικήσαντος· ὁ μὲν οὖν Ἐλιοῦς οὕτως
ἐνόησε τὰ κατ' ἐμὲ εἰρημένα· ὁ δὲ Ἰὼβ τοῦτο ἔλεγεν·
ὅτι ὑπερέθετο θεὸς κρῖναι τὰ κατ' ἐμέ. εἰ δὲ ἐβούλετο μὲν
ἀκοῦσαι δίκαιος ὤν, ἐρρύσατο ἄν με τῶν ἀναγκῶν. τοῦτο
γὰρ δηλοῖ τὸ κεκράξομαι τὸ καὶ οὐδαμοῦ κρίμα. δει-
ξάτω δὲ ὁ Ἐλιοῦς καὶ παρατρέπει τοῦ Ἰὼβ τὰ εἴκαια :

ἀγνοήσας ὡς πολλάκις ἔφημεν ἐξ οἵας ἀγάπης τῆς πρὸς
θ(εὸ)ν τοὺς λόγους προσέφερεν : Ἰουλιανοῦ :
π Ὥσπερ γ(ὰ)ρ τὰ ἐπιτήδειμα οὐ μίαν ἔχει τὴν ποιότητα· οὕτως οὐδὲ
τὰ ῥήματα ἐπὶ μιᾶς ἐννοίας λέγεται :
Ὅτι εἴρηκεν ἰὼβ δίκαιός εἰμι· ὁ κ(ύριο)ς ἀπήλλαξέ μου τὸ κρίμα·
ἐψεύσατο δὲ τῷ κρίματί μου· βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας·
πα τίς ἀνὴρ ὥσπερ ἰώβ· πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ· οὐχ ἁ-
μαρτὼν οὐδὲ ἀσεβήσας· οὐδ' ὅλως κοινωνήσας μετὰ τῶν ποιούν-
των τὰ ἄνομα : ∴ α' ἀπέστησεν· σ' πα-
ρέτρεψεν· ∴ λ' θ' περὶ τὴν κρίσιν μου ψεύσομαι·
∴ θ' ※. σ' ἀναιτίως· ∴∴ οὐ κεῖται ἐν τῷ ἑβραϊκῷ:
πα Ὀλυμπιοδώρου : Κἀγὼ μὲν οὖν φησὶν ἐπῄνεσα καὶ
τοῦ ἰὼβ τὴν ἀρετήν· ὡς τὰς μὲν ὕβρεις ἐκ προαιρέσεως ὑ-
ποδέχεται, ὥσπερ οἱ τοὔδωρ ἐκπίνοντες· τοῦτο δὲ δεῖγμα
μεγίστης ἀρετῆς τὸ φέρειν ὕβριν ἀλύπως· οἶδα δὲ ὅτι καὶ
οὔτε πρὸς ἀνθρώπους ἥμαρτεν, οὔτε πρὸς θ(εὸ)ν ἠσέβησεν, ἀλλ' οὐ-
δὲ τὴν μετὰ ἀνόμων καὶ ἀσεβῶν κοινωνίαν πολὺ ἢ δια-
τείνειν κατέπαυσεν : Νείλου ἀλεξανδρείας :
πα Χρῆμα γ(ὰ)ρ οἶδε τῶν ἄλλων ἁπάντων ὅτι μάλιστα τιμαλφέστατον
τὴν ἀνεξικακίαν· τοιοῦτον ἡμῖν ὑπογράφει καὶ ἡ θεία γρα-
φὴ τὸν μακάριον ἰώβ· εἴρηται γ(ὰ)ρ περὶ αὐτοῦ· τίς ἀνὴρ
ὥσπερ ἰώβ· πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ· ἀξιοζή-
λωτος γ(ὰ)ρ ἀληθῶς· καὶ παντὸς οἶμαι θαύματος ἀξιώτερος
εἰ πρὸς τοῦτό τις ἥκει μακροθυμίας ὡς εὐκόλως πίνα-

-σθαι διαθλεῖν τὴν ἐκ τοῦ πλεονεκτεῖσθαι ζημίαν ἀληθῶς
καὶ οὐ τοῖς τυχοῦσιν εὐκαταγώνιστον λύπην :
τοῦ πορευθῆναι μετὰ ἀσεβῶν· μὴ γὰρ εἴπῃς ὅτι οὐκ ἔσται πδ
ἐπισκοπὴ ἀνδρός· καὶ ἐπισκοπὴ αὐτῷ παρὰ κυ(ρίου)· διὸ συνε- πε
τοὶ καρδίας ἀκούσατέ μου· μή μοι εἴη ἔναντι κυ(ρίου) ἀσεβῆσαι·
καὶ ἔναντι παντοκράτορος ταράξαι τὸ δίκαιον :
∴ θ ὅτι εἶπεν οὐ κινδυνεύσει ἀνὴρ ἐν τῷ εὐδοκιμῆσαι
αὐτὸν μετὰ θ(εο)ῦ· σ οὐκ ὠφεληθήσεται ἀνήρ· :: σ ἀσέβεια
τοῦ θ(εο)ῦ ἀνομία, καὶ τοῦ ἱκανοῦ ἀδικία : Ὀλυμπιοδ(ώρου):
Πρὸς τοὺς φίλους εἰρηκὼς τὰ περὶ τοῦ ἰώβ, πρὸς αὐτὸν ἐξενεγκεῖν πϛ
λόγον· μέμφομαι γάρ σοι φησίν, οὐχ ὡς ἀδίκῳ, ἀλλ' ὡς ἀνε-
πισκόπητα καὶ ἀπρονόητα νομίζοντι τὰ καθ' ἡμᾶς· ἀπενή-
-νεκται δὲ πάλιν ὁ ἐλιοὺς ἀπὸ τοῦ λέγειν τὸν δίκαιον ἰώβ· πάντα
ἀσεβεῖς ἔχουσιν· προσμαρτύρονται δὲ καὶ ἐν τούτῳ· καὶ πάλιν·
πάντα δὲ κατ' ἔλαττον ὦσι· ἀσεβεῖς δὲ ὅσιον ὑπερέβησαν,
ἃ προβληματικῶς πρὸς τοὺς φίλους προέφερε : τὸ οὐδ' αὐτό·
Ἐπειδὴ φησὶν οὐ περὶ τῶν τυχόντων ἡ σκέψις, μὴ παρέργως, πζ
ἀκούσατε ὦ φίλοι ὅτι καὶ συνιέναι δύνασθε τὰ λεγόμενα.
μὴ γὰρ διεγείροιτό με εἰς ἀσεβεῖς συμπεσεῖν λόγους· μηδὲ
ἐπὶ παντοκράτορος θ(εο)ῦ τολμῶντος φθέγξασθαί τι παρὰ τὸ
δίκαιον· οἶδα τοιγαροῦν ὡς θ(εὸ)ς ἐκάστῳ τὸ κατ' ἀξίαν
ἀπονέμων· ἐν ᾧ περιπατεῖ· ἐν τούτῳ δράξεται αὐτοῦ,
τουτέστιν ὡς εὑρίσκει αὐτὸν πορευόμενον, οὕτως αὐτὸν
κρινεῖ: Μὴ εἴποιμι αὐτὸν ἀτόπως τι ποιεῖ : ~

Ἀλλ᾽ ἀποδίδοι αὐτῷ καθὰ ποιεῖ ἕκαστος αὐτῶν· καὶ ἐν τρίβῳ ἀνδρὸς
εὑρήσει αὐτόν· οἴῃ δὲ τὸν κύριον ἄτοπα ποιήσειν· ἢ ὁ παντοκράτωρ
ταράξει κρίσιν, ὃς ἐποίησε τὴν γῆν; τίς δέ ἐστιν ὁ ποιῶν τὴν ὑπ᾽ οὐ-
ρανὸν καὶ τὰ ἐνόντα πάντα· εἰ γὰρ βούλοιτο συσχεῖν· καὶ τὸ
πνεῦμα παρ᾽ αὐτῷ κατασχεῖν· τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδόν:
:: ε καὶ κατὰ γῆν ὁδὸν αὐτοῦ ἑκάστῳ συμβήσεται, ἔσται τὸ φό-
-ρῳ ἐλέγξει αὐτόν: Ὀλυμπιοδώρου:
πα Οὐκ ἂν τοίνυν φησὶν ὁ δεσπότης ἄτοπόν τι πράξειε περὶ τὸ ὑπή-
-κοον· οὐδὲ ὁ κατὰ πάντα τὸ κράτος ἔχων τοῦ δικαίου σύγχυ-
σιν ἐργάσαιτο· οὐδὲ ὁ πάντων ποιητὴς τὸ οἰκεῖον ἀδικήσει
δημιούργημα: Ἐπ᾽ οὐδενὸς ἀναγκασθεὶς εἰ μὴ δι᾽ ἀ-
πβ γαθότητα: Ὀλυμπιοδώρου: Εἰ γὰρ μόνον φη-
σὶν ἐθέλοι ὁ θεὸς ἀνασχεῖν τὴν ζωὴν, ἣν τοῖς ζῶσιν ἐχαρίσατο,
πανωλεθρίᾳ πάντα διαφθαρήσεται· καὶ οὐκ ἔστιν ἄλλον τὸν
ἀπὸ γῆς μὴ εἰς τὸ συγγενὲς ἀναλυθῆναι στοιχεῖον· ταῦτα
δὲ λέγει. ὁμοῦ τε δεικνύς, ὡς ὁ ποιητὴς οὐκ ἀνάγκῃ ποιεῖ
τὰ ποιήματα καὶ τὸν Ἰὼβ εἰς φόβον ἐνάγων· ὡς θελήσαντι
ὁμοτίμως πρὸς θεὸν διαδικάσασθαι:
Πᾶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται ὅθεν καὶ ἐπλάσθη· εἰ δὲ
μὴ νουθετῇ, ἄκουε ταῦτα· ἐνωτίζου φωνὴν ῥημάτων·
:: Ἰδὲ σὺ τὸν μισοῦντα ἄνομα, καὶ τὸν ὀλλύντα τοὺς πονη-
ρούς· ὄντα αἰώνιον δίκαιον· ἀσεβὴς ὁ λέγων βασιλεῖ παρα-
νομεῖς· ἀσεβέστατος τοῖς ἄρχουσιν:
:: ε εἰ μὴ συνιεῖς· :: δ ἆρα ὁ μισῶν κρίσιν ἐστί-

-δώσει εἰς ἴασιν. Εἰ μὲν οὖν πείθει ταῦτα φη-
σίν, ἐπεί τοι γε καὶ τῶν ἐφεξῆς ῥημάτων ἄκουε· καλὸν ἡ-
σον γάρ, ὡς ἀεὶ δίκαιος ἐστὶν ὁ θεός· μισεῖ μὲν τὰ ἄνομα·
τιμωρεῖται δὲ τοὺς πονηρούς· συλλογισμῷ δὲ χρῆται πρὸς
τὸν ἰώβ· εἰ γὰρ αὐτὸς μισεῖ τὰ ἄνομα, καὶ τὴν πονηρίαν
τιμωρεῖ, δίκαιος ἄρα καὶ οὐκ ἄν τι πράξει πώποτε παρὰ τὸ
δίκαιον. Εἰ γὰρ κατὰ ἀνθρωπίνην φησὶν ἀκο- πζ
λουθίαν ὁ λέγων βασιλεῖ παρανομεῖς, ὡς ἀσεβέστατος
κρίνεται παρὰ τῶν ἀρχόντων· τί ἂν πάθοιεν οἱ πρὸς θεὸν
τολμῶντες εἰπεῖν ὅτι παρανομεῖς· καλῶς δὲ εἶπε τοῖς ἄρ-
χουσιν· οὐ γὰρ πάντως καὶ παρὰ θεῷ ἀσεβὴς κρίνεται ὁ τῷ
ἐπιγείῳ βασιλεῖ λέγων παρανομεῖς: Ἰουλιανοῦ:
ζῆτε ἐξ ἀναρχίας κακὰ μηχανώμενος: πζ
Ὃς οὐκ ἠσχύνθη πρόσωπον ἐντίμου· οὐδὲ οἶδε τιμὴν θέσθαι
ἁδροῖς, θαυμασθῆναι πρόσωπα αὐτῶν· κενὰ δὲ αὐτοῖς
ἀποβήσεται τῷ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός· ἐχρήσαντο
γὰρ παρανόμως ἐγκλινομένων ἀδυνάτων:

:: οἱ τῶν ἀρχόντων :: πλουσίοις:

Ὀλυμπιοδώρου: Κρίνεται δὲ ἀσεβείας ὁ τοιοῦτος πη
κατὰ τὴν ἀνθρωπίνην ἀκολουθίαν ὡς ἔφημεν. καὶ ὡς
μὴ αἰσχυνθεὶς τὸν ἔντιμον καὶ πλούσιον, μὴ δὲ θαυμά-
σας τὴν προσοῦσαν αὐτῷ δυναστείαν. πλὴν φησὶ τοῖς θαυμά-
σασι τὰ πρόσωπα τῶν ἐντίμων, κενὰ ἀποβήσεται, διὰ τὸ
μὴ ἐπὶ θεῷ, ἀλλ᾽ ἐπὶ αὐτοῖς πεποιθέναι καὶ ἐπελπίζειν:

πη Τοῦ ἁγίου Ἰω(άννου): Εἰ γὰρ καὶ μὴ οἶδας, ἀλλ' ὀφείλεις πο-
λλὰ παραχωρεῖν αὐτῷ καὶ τῇ δόξῃ αὐτοῦ· ὥστε μὴ πάντα ζη-
τεῖν μανθάνειν: Ὀλυμπιοδώρου:
πθ Ἐκκλίνονται τοῦ ἰδίου δικαίου οἱ ἀδύνατοι ὑπὸ τῶν παρανό-
μων θελόντων χαρίζεσθαι τῷ βασιλεῖ καὶ τοῖς ἄρχουσιν· δια-
τοῦτο γοῦν κενὰ αὐτοῖς ἀποβήσεται φησίν· ὅτι πρὸς χάριν
αὐτῶν παρεῖδον τὸ δίκαιον, πάντα ἐφορῶντος τοῦ θεοῦ τὰ γι-
νόμενα: καὶ τόπου μὴ ὄντος εἰς ὃν οὐ καθικνεῖται ἡ ἐπο-
πτικὴ τοῦ θεοῦ δύναμις:
Αὐτὸς γὰρ ὁ κριτής ἐστιν ἔργων αὐτῶν· λέληθε δὲ αὐτῷ οὐδὲν
τῶν πραττομένων· οὐδὲ ἔστι τόπος τοῦ κρυβῆναι τοὺς ποιοῦν-
τας τὰ ἄνομα· ὅτι οὐκ ἐπ' ἄνδρα θήσει ἔτι· ὁ γὰρ κ(ύριο)ς πάντας
ἐφορᾷ· ὁ καταλαμβάνων ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ
ἐξαίσια ὧν οὐκ ἔστιν ἀριθμός:
∵ ※ ※ ἐξ Ἀκύλα καὶ θ' τὸ ἥμισυ καὶ ὁ ἑξῆς στίχος ἐκ
τοῦ καθ' ἕνα ὄψεται τὸ δίκαιον· ∷ ※ ὁ οὖν γὰρ ἐ-
πάνω κεῖται ἔτι· ∷ θ' τοῦ προσελθεῖν πρὸς τὸν ἰσχυρὸν
ἐν κρίματι: Εὐαγρίου:
Ὅτι ἡ πρόνοια ἐφ' ἑκάστου φθάνει καὶ ἐφ' ἑκάστου ἔργον:
Τοῦ ἁγίου Ἰω(άννου): Οὐδέ μοι παραλήψει πῶς οὐδαμοῦ κα-
θικνεῖται καθάπερ τοῦ Ἰὼβ ἐκεῖνοι· ἀλλὰ καθάπερ φησὶν ὁ Ἰὼβ
δίκαιός ἐστι καὶ οὐ λέγει αὐτῷ, ὅτι κέσπασας ὀρφανοὺς καὶ χή-
ρας· πῶς ἐπιτιμητικός ἐστιν οὐχὶ κατηγορικός:
ζ Τοῦ αὐτοῦ: Ἔοικε τοῦτο λέγειν ὅτι νῦν μὲν ἐν

ἡμῖν κεῖται τὸ καλὸν ἢ φαῦλον· ἐν δὲ τῷ μέλλοντι αἰῶνι οὐκέτι:

Ὀλυμπιοδώρου: Πανεπίσκοπος γάρ φησι τυγχά- ϛα
νει ὁ θεός· καταλαμβάνει μὲν τὰ πᾶσιν ἀκατάληπτα·
ἐξετάζεται δὲ ἐν διεξελέγξει τὰ αἴτια· ταῦτα γνωρίζων τὰ παρὰ
ἀν(θρώπ)οις πραττόμενα. τί καταλαμβάνουσιν· ἐφ' ἑκατέρου
κεῖται· ἐπεί τε τοῦ ἐξιχνιάζειν καὶ διαπράττεσθαι· τῶν λοιπῶν
φησὶν ἀσεβῶν τὴν εὐσέβειαν εἰς νύκτα μεταβάλλει· ἢ καὶ
οὕτως τὰ δοκοῦντα δικαιώματα εἶναι στρέφων· δείκνυσιν αὐτὰ
εἶναι τὴν ἀντίληψιν αὐτῶν· διὸ καὶ ταπεινοῖ αὐτούς, ἅτε ἐπι-
πλάστους καὶ ἐσχηματισμένους:

Ὁ γνωρίζων αὐτῶν τὰ ἔργα· καὶ στρέψει νύκτα καὶ ταπεινωθή-
σονται· ϛβ ἔσβεσε δὲ ἀσεβεῖς· ϛγ ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ· ϛδ ὅτι
ἐξέκλιναν ἐκ νόμου θεοῦ· δικαιώματα δὲ αὐτοῦ οὐκ ἐπέ-
γνωσαν· τοῦ ἐπαγαγεῖν ἐπ' αὐτὸν κραυγὴν πένητος· καὶ κραυ-
γὴν πένητος εἰσακούσεται· καὶ αὐτὸς ἡσυχίαν παρέξεται:
∵ ⁂ ∷ ⁂ ∴ ⁂ ∷ ⁂ Αὐτοῦ δὲ ἠρε-
μίαν διδόντος τίς καταχρινεῖ: Μετὰ τὸ ἐλεγχθῆναι ϛβ
δηλονότι: Ὀλυμπιοδώρου:

Ὁρατούς φησι τοὺς ἀσεβεῖς ὁ θεὸς οὐ κατ' ἐπισκοπήν, ἀλλ' ἐπὶ τὸ ϛγ
αὐτοὺς τιμωρεῖσθαι κατὰ τὸ ἐν ψαλμοῖς· πρόσωπον δὲ κυρίου ἐπὶ
ποιοῦντας κακὰ τοῦ ἐξολοθρεῦσαι: Τοῦ αὐτοῦ:

Αἰτίας εἶπε δι' ἃς οἱ ἀσεβεῖς κολάζονται· ἐπάγεσθαι φησὶ τὴν τῶν ϛδ
πενήτων κραυγὴν εἰς θεόν· ὅτι περ ἀδικούμενοι βοῶσιν, καὶ
τὴν ἄνωθεν ἐπισπῶνται βοήθειαν: Τοῦ αὐτοῦ:

ξε Εἰ δὲ καὶ θεὸς ἀνεξικάκων ἐν ἡσυχίᾳ τέως ἐᾷ τοὺς ἀσεβεῖς
εἶναι. τίς δύναται καταδικάσαι; οὐ ὁ θεὸς οὐ καταδικάσει·
αὐτὸς καταδικάσεται. καὶ κρύψει πρόσωπον· καὶ τίς ὄψεται αὐ-
τόν, καὶ κατὰ ἔθνους καὶ κατὰ ἀνθρώπου ὁμοῦ· βασιλεύων ἄνθρωπον
ὑποκριτὴν ἀπὸ δυσκολίας λαοῦ· ὅτι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων·

∴ ※ ∷ ※ ∷ ※ ∷ ※ ∷ ※

ξς Ὀλυμπιοδώρου: Τοῦτο λέγει ὅτι ἀδέκαστος ὢν θεός, ἀ-
σφαλῶς τὰς κρίσεις ἐκφέρει· τιμωρεῖται δὲ οὐ μόνον τοὺς καθ' ἕ-
καστον, ἀλλὰ καὶ ἔθνη ὑπὲρ ἁμαρτίας καθ' οὓς οἶδεν αὐτὸς λόγους:

ξζ Τοῦ αὐτοῦ: Καθὰ εἶπε καὶ ἔδωκα αὐτοῖς βασι-
λέα ἐν ὀργῇ τοῦ θυμοῦ μου. πολλάκις γὰρ τῷ σχήματι φαι-
νόμενον ἀγαθὸν συγχωρεῖ εἰς βασιλέα ἀναφορευθῆναι. ἐφ' ᾧ
κακωθῆναι δι' αὐτοῦ τοὺς ὑπηκόους διὰ τὴν αὐτῶν δυσκολίαν
ξη καὶ πονηρίαν: Τοῦ αὐτοῦ: Τινὲς οὕτως ἡρμήνευσαν,
ὅτι μὴ τολμᾷ τις εἰπεῖν τῷ ἰσχυροτέρῳ, ὅτι ἀδίκως εἴληφας
τὰ ἐμά, οὐκ ἐνεχύρου χάριν ὡς ἐποφειλόμενος καὶ παρὰ
γνώμην ἐμὴν εἴληφας. ἐπεὶ δεῖξον ὅτι εὐλόγως τοῦτο πέπρα-
χας. εἰ δὲ τῷ δυνατῷ ταῦτα οὐδεὶς τολμᾷ εἰπεῖν· πῶς σὺ φή-
※ ς τι τοιαῦτα θρασύνῃ κατὰ θεοῦ: Ὁ δὲ Σύμμαχος
※ οὕτως ἐκδέδωκεν, ὅτι πρὸς θεὸν εἶπον ἀνέλαβον, οὐκ ἐφέξω,
※ ἀκωλύτως σὺ διασάφησόν μοι. ὃ δὲ ἐνόησεν οὗτος, τοῦτό ἐστιν
ἐπειδὴ τὴν ὑπὲρ θεοῦ εἶπον ἀνέλαβον φησὶν ὑψηλοὺς, οὐκ ἐ-
πέχω, ἀλλὰ ἀκωλύτως ἐπεξέρχομαι τῷ λόγῳ· εἰ δὲ μὴ καλῶς
λέγω σὺ διασάφησον· αὐτὸ τοῦ ἔλεγξον τὸν λόγον· οἶμαι δὲ

μᾶλλον τὸ

+

μᾶλλον τῷ λόγῳ οὕτω νοεῖσθαι τὸ κείμενον· ὅτι οὐκ ἐπειδὴ ὑπὲρ
σοῦ λέγειν εἰλόμην· παρὰ τοῦτο ἤδη σε καὶ ζῶ ὁμολογεῖν ἁπλῶς·
οἷα δὴ χρεὼν ἁπαλῶ· ἄνευ δὲ ἐμαυτοῦ ὄψομαι οὐ δεῖξόν μοι,
ἀντὶ τοῦ χωρὶς τοῦ ἐμοῦ λόγου εἰδέναι θέλω ἔτι καὶ αὐτὸ εἰπεῖν
ἔχοις· ἵνα εἴπῃ ὅτι ἡσυχίαν παρέχομαι· καὶ ἐπιλαμβάνου
τῶν λόγων εἰ δύναμαι :

Εἴληφα οὐκ ἐνεχυράσω· ἄνευ ἐμαυτοῦ ὄψομαι οὐ δεῖξόν μοι
εἰ ἀδικίαν εἰργασάμην, οὐ μὴ προσθήσω· μὴ παρὰ σοῦ ἀ- εἰργασάμην
πολέσεις αὐτὴν ὅτι ἀπώσῃ· ὅτι σὺ ἐκλέξει καὶ οὐκ ἐγώ· καὶ
τὸ ἔγνως λάλησον· διὸ συνετοὶ καρδίας ἐροῦσι ταῦτα· ἀνὴρ
δὲ σοφὸς ἀκήκοέ μου τὸ ῥῆμα :

∴ ⁂ ∷ ⁂ ∴ ⁂ ∷ ⁂ ε ἀποδοκιμάσῃς.

∷ ⁂ ∷ ⁂

Εἰ δὲ ἔξεστιν ἐμαυτοῦ φησὶν ἐν τῷ ζῆν ἰδεῖν τὸ ἀληθές, σύ μοι
δεῖξον αὐτό : Δεῖξον οὖν φησὶν ὦ Ἰὼβ εἰ ἀδικῶ ϛθ
πολλῶ ταῦτα καὶ παύομαι : Ὀλυμπιοδώρου :
Μὴ τῶν ἐμῶν λόγων οὐ φησὶ τὰς δίκας ἀπαιτῆσαι μέλλεις οὐκ οἶδα
μὴ ἀπαιτήσῃ· ἀλλὰ διέλεγξον τὰ εἰρημένα· σοῦ γάρ ἐστιν ἐκ- ε
λέξασθαι καὶ διευκρινῆσαι· πότερον καλῶς ἢ κακῶς ἐλάλη-
σα· οὐκ ἐμοῦ τοῦ εἰρηκότος· εἰ οὖν τι πλέον γινώσκεις
ἀπόκριναι : Τοῦ αὐτοῦ : Ὡς τοῦ Ἰὼβ σιω- λ
πήσαντος, κυροῖ τοὺς ἑαυτοῦ λόγους ὁ Ἐλιοῦς καὶ φησὶν, ὅτι
ταῦτα ἅπερ εἶπον πρός σε καὶ ἄλλοι συνετοὶ λέξουσί σοι, καὶ
ἔτι τις ἀνὴρ σοφὸς ἐπαινετός, τῶν ἐμῶν ἀκούειν λόγων.

καὶ γὰρ σύ γε ἀσυνέτως καὶ ἀνεπιστημόνως λελάληκας, πρὸς
θεὸν κρίνεσθαι βουληθείς· Ἰουλιανοῦ:
Οὐκ ἐν ἔργοις αὐτοῦ μέμφεται, ἀλλ' ἐν λόγοις πρὸ καιροῦ τὴν
αἰτίαν τῆς πληγῆς ἐπιζητοῦντα:
Ἰὼβ δὲ οὐκέτι συνέσει ἐλάλησε· τὰ δὲ ῥήματα αὐτοῦ οὐκ ἐ-
ν ἐπιστήμῃ· οὐ μὴν δὲ ἀλλὰ μάθε Ἰώβ· μὴ δῷς ἔτι ἀνταπόκρι-
σιν ὥσπερ οἱ ἄφρονες· ἵνα μὴ προσθῶμεν ἐν ἁμαρτίαις ἡμῶν·
ἀνομία δὲ ἐφ' ἡμῖν λογισθήσεται· πολλὰ λαλούντων ἐνώπιον
ἐναντίον κυρίου· :: ἃ οὐ φρονήμως:
τοῦ ἁγίου Ἰωάννου: Τοῦτο ἠρέμα καὶ συγγνώμης ἐστίν.
Ἐκεῖνοι δέ φασιν, μέχρι πότε πνεῦμα πολύρρημον τοῦ στόμα-
6 τός σου: τοῦ αὐτοῦ: Ἀλλὰ τούτων φησὶν οὕτως
ἐχόντων, δέξαι μου τὴν συμβουλήν. καὶ μηκέτι χρήσαι τοῖς
αὐτοῖς λόγοις ὥσπερ τις ἄφρων· ἵνα μὴ διὰ τῶν δευτέρων
ἐπαυξήσωμεν τὰ πταίσματα· εὐλαβοῦμαι γὰρ ἐν τού-
τοις ἔγωγε, μὴ καὶ περὶ τῶν ὑψηλῶν ῥημάτων λόγον ὑφέξομεν
τῷ δικαίῳ κριτῇ· τῷ δὲ πληθυντικῷ τῆς φωνῆς, κοινοποιεῖ
τὸν λόγον, εὐπαράδεκτον εἶναι θέλων τὴν παραίνεσιν: τοῦ αὐτοῦ:
Οὐκ εἶπε παράνομα, οὐδὲ ἀσεβῆ, ἀλλὰ πολλά· δεικνὺς ὅτι πο-
λλὰ ἀποφθέγγεσθαι χρὴ τῷ θεῷ· εἰ γὰρ ἐπὶ βασιλέως οὐκ ἄν
τις τολμήσειε πολλὰ ῥήματα ἀποφθέγξασθαι, πολλῷ μᾶλλον
ἐπὶ θεοῦ: +

+

+

+ Προθεωρία, κεφαλαίου κζ΄:

+

Περιεξελθὼν ὁ Ἐλιοὺς περὶ παιδείας τῶν τοὺς ἁμαρτάνοντας ἐπιστρεφούσης· εἶτα καὶ κολάσεως ὀλοθρευούσης τοὺς ἀνιάτους, νῦν τὸν περὶ μακροθυμίας τοῦ θεοῦ λόγον ἐπάγει καὶ μεγαλοπρεπείας, μεμψάμενος τῷ Ἰὼβ ἐφ᾽ οἷς ἔλεγεν· εἰ ἐγὼ ἥμαρτον, τί σοι δύναμαι ποιῆσαι, καὶ ἐφ᾽ οἷς ἠθέλησε κριθῆναι πρὸς θεόν: +

+

+ Τετάρτη τοῦ Ἐλιοὺς πρὸς τοὺς φίλους καὶ τὸν Ἰὼβ διάλεξις: κεφ. κζ΄

+

Ὑπολαβὼν δὲ ἔτι Ἐλιοὺς λέγει· τί τοῦτο ἡγήσω ἐν κρίσει·
σὺ τίς εἶ· ὅτι εἶπας δίκαιός εἰμι ἔναντι κυρίου· ἢ ἐρεῖς τί ποιήσω
ἁμαρτών· :ζ εἶπας γὰρ ὅτι οὐδὲν συμβαλεῖταί σοι:

Ὀλυμπιοδώρου: ἤτοι τοῦτο λέγει· τί ἐλογίσω περὶ τῶν κριμάτων

τοῦ θεοῦ· ἆρα ὅτι δύναται ταῦτα καταλαβεῖν· ἢ ὅτι τί ἐλο-
γίσω πρὸς θεὸν θέλω κριθῆναι, πῶς δὲ ἐτόλμησας ἑαυτὸν
δίκαιον ἀποφῆναι ὡς πρὸς θεόν: τοῦ αὐτοῦ:

δ̄ σὺ γάρ φησι τίς εἶ, ὅτι εἶπας δίκαιος εἰμὶ ἐναντίον κυρίου· τὸ
μὲν οὖν δίκαιον εἶναι ἐναντίον κυρίου ψευδές· ἐμάθομεν γὰρ
ἀπὸ τῶν γραφῶν ὅτι ὡς πρὸς θεὸν πᾶσα δικαιοσύνη ἀνθρώπων
οὐκ ἔστι δικαιοσύνη· οὐ δικαιωθήσεται γὰρ κατενώπιόν σου
πᾶς ζῶν· τὸ αὐτὸ μὲν οὖν ὡς πρὸς θεὸν οὐκ ἔστι δικαιοσύνη.
δ̄ ὡς δὲ πρὸς ἄλλους, δικαιοσύνη ἐστί: πλείονα γὰρ
ὑπερηφανίαν δεικνύει, τὸ ἐναντίον κυρίου: ὀλυμπιοδώρου:

ε̄ ἢ οὐδὲ ὤφειλες φησὶν εἰπεῖν· τί ποιήσω ἁμαρτών· οἶδας
γὰρ ὃ ποιεῖν ἔδει ἀπέχεσθαι τῆς ἁμαρτίας, καὶ ἱκετεύειν
θεόν: ὁ μὲν οὖν ἐλιοὺς πρὸς τὴν ἑαυτοῦ διά-
νοιαν καλῶς συμβουλεύει· ὁ δὲ μακάριος ἰώβ, κρείττονι δια-
νοίᾳ καὶ εὐλαβέστερον ἔλεγεν· εἰ δὲ καὶ ἥμαρτον, τί σοι δύνα-
μαι ποιῆσαι, ὥστε ἐξαλεῖψαι τὴν ἁμαρτίαν· εἰ μὴ τῆς σῆς
τύχω φιλανθρωπίας: εἰ δικαιοπραγήσας κολάζομαι.
τί ἂν ἔπαθον ἁμαρτών:

, ἐγὼ δέ σοι δώσω ἀπόκρισιν καὶ τοῖς τρισί φίλοις· ἀνάβλεψον
, εἰς τὸν οὐρανὸν καὶ ἴδε· κατάμαθε δὲ νέφη ὡς ὑψηλὰ ἀπὸ σοῦ:

ϛ̄ ὀλυμπιοδώρου: ὡς καὶ τοῦ ἰὼβ οὐκέτι σιωπεῖ σε-
σιγήσαντος. καὶ τῶν τριῶν φίλων μὴ εὑρόντων ἔτι ἀπόκρισιν, αὐ-
τὸς ὑπισχνεῖται. κρείττονας ἀπάντων προφέρει λόγους:

ϛ̄ ἰουλιανοῦ: δικαίως δὲ αὐτὸν τοῖς φίλοις συνάπτει,

ὡς ἠτιμωμένοις καὶ ἀνωφελέσιν ἄλλως: Ὀλυμπιοδώρου:

Ἐννόησον φησὶν πρὸς τίνα δικαιολογήσασθαι ἐπεχείρησας· πόσον ὄντα ὑπὲρ σέ. τῷ οὖν οὕτω θαυμαστῷ καὶ ὑπερφυεῖ κἂν ἡμαρτηκὼς ᾖς, καὶ δίκαιος ἦς, ποῖον ἐντεῦθεν βλάβος ἢ κέρδος· ἄνθρωπον μὲν γὰρ τις τὸν ὁμοφυᾶ, καὶ ἀδικῆσαι καὶ εὐεργετῆσαι δύναται· τούτων δὲ οὐδέτερον περὶ θεὸν δύναταί γίνεσθαι· μὴ τοίνυν ἐπαίρου φησὶν ἐπὶ τῆς αὐτοῦ δικαιοσύνης: τοῦ ἁγίου ἰω(άννου):

Τουτέστιν εἰ καὶ μὴ ἀπὸ λογισμῶν, ἀπὸ τῶν ὁρωμένων, μάθε πόσον σου ἀπέχει, καὶ πόσον ἐστὶν ὑψηλότερος:

Ὠριγένους: Ἀναβλέπει εἰς τὸν οὐρανὸν οὐχ ὁ τοὺς σωματικοὺς ὀφθαλμοὺς ἐπάρας καὶ ἰδὼν τὸν οὐρανόν· τοῦτο γὰρ τὸ ἀναβλέπειν ἔχουσι καὶ οἱ κύνες καὶ οἱ ὄνοι ἐπαίροντες τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανόν: Καὶ μετ' ὀλίγα:

Οὐδεὶς φιλόκοσμος ἀναβλέπει εἰς τὸν οὐρανόν· μὴ ἀγαπῶμεν τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ· εἶτα ἐὰν δὲ ἀγαπῶμεν, οὐκ ἀναβλέπωμεν εἰς τὸν οὐρανόν: τοῦ αὐτοῦ:

Οὐχ οὕτω ταῦτα τὰ νέφη ὑψηλὰ ἀφ' ἡμῶν ἐστιν, ὡς ἐὰν ἴδω τὸν μωϋσέως βίον καὶ τὴν ἐκείνου ἀρετὴν ἔσχηκεν πρὸς θεόν, καὶ τὴν ἐμαυτοῦ μικρότητα καὶ ταπεινότητα· οὕτω βλέπω τοῦτο τὸ νέφος ὑψηλὸν ἀπ' ἐμοῦ· ἐὰν ἔλθω ἐπὶ ἰησοῦν τὸν τοῦ ναυῆ, καὶ βλέπω ἄλλο νέφος ὑψηλὸν ἀπ' ἐμοῦ, ἐπὶ τοὺς βίους τῶν προφητῶν ἐκείνων τῶν μακαρίων, ἐὰν ἐξετάζω αὐτῶν τὰς πράξεις, ποιῶ τὸ γεγραμμένον:

Εἰ ἥμαρτες τί πράξεις· εἰ δὲ καὶ πολλὰ ἠνόμησας τί δύνασαι
ποιῆσαι· ἐπειδὴ αὐτῷ δίκαιος εἶ· τί δώσεις αὐτῷ· ἢ τί ἐκ χειρός
σου λήψεται· ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου· καὶ υἱῷ ἀν-
θρώπου ἡ δικαιοσύνη σου: :: ὁ ἐὰν ἁμαρ-
της τί ἐργάσω αὐτῷ· :: ※ ἐκ θεοῦ ※ :: ※ ὁ ἡ πα-
ρανομία σου ::: ※ Τοῦ αὐτοῦ Ἰω:

Τουτέστιν οὐδὲ αὐτὸν ἀδικήσεις, ἀλλ' οὐδὲ ὠφελήσεις δίκαιος
ὤν· ἐπειδὴ γὰρ ἔλεγεν, εἰ ἥμαρτον τί δύναμαί σοι πρά-
ξαι· τί ποιήσω φησὶ τοῦτο, ἵνα εἴπῃ ὅτι οὐ μὴ γὰρ ἀδικού-
μενος φροντίζει σου ἁμαρτάνοντος· μὴ γὰρ ὡς βλάβην ὑπομέ[νει]:
[illegible]: Ἐὰν ἀναβλέψῃς εἰς τὸν οὐρανὸν καὶ κα-
τανοήσῃς τὰ νέφη· γνώσεις τί ἥμαρτες· διὸ πρᾶξαι δεῖ·
προσέρχεσθαι τῷ ἀρχιερεῖ καὶ παρακαλεῖν· ἵνα ὁ ἀρχιερεὺς
προσαγάγῃ θυσίαν περὶ σοῦ· ἐὰν γάρ τις ἁμάρτῃ, παρά-
κλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασ-
μός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν : Τοῦ αὐτοῦ :

Ἆρα οἶδας εἰ ἥμαρτες τί πράξεις ἐπὶ τὸ λῦσαι τὸ ἡμαρτημένον·
Οὐδαμῶς γὰρ ἐὰν μὴ ἑαυτὸν ἰάσηται τοῖς αὐτοῦ λόγοις τοῖς δι-
καιοσύνης, οὐκ ἔχει λύσιν τῶν ἡμαρτημένων : Καὶ μετ' ὀλί-
γα : Εἰ ἥμαρτες λόγοις κρείττοσιν ἰᾶσαι· εἰ ἥμαρτες
ἐν ἔργοις, ἔργοις διαφέρουσι : Τοῦ αὐτοῦ

Τὸ τηλικοῦτον ποιήσεις, ἀναλύσῃς σου τὰς πολλὰς ἀνομι-
διὰ τοῦτο ἐπὶ τοῖς ἀνιάτοις οἷς ἑαυτοὺς ἰᾶσθαι οὐ δυ-
νάμεθα, ἦλθεν ὁ Ἰησοῦς Χριστὸς ἐξ οὐρανῶν, ἵνα τὰ ἀνίατα ἰάσηται.

καὶ γίνεται τὸ μακάριον ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι: τοῦ αὐτοῦ:

ἀλλὰ καὶ δίκαιος εἶ, ὡς πρὸς θεὸν τί ἔχεις δοῦναι κατὰ τὴν σὴν δικαιοσύνην: Εἰ δὲ καὶ ὡς λέγεις δίκαιος εἶ, τί προσθήσεις αὐτῷ:

ἀπὸ πλήθους συκοφαντούμενοι κεκράξονται· βοήσονται ἀπὸ βραχίονος πολλῶν· καὶ οὐκ εἶπε ποῦ ἐστιν ὁ θεὸς ὁ ποιήσας με, ὁ κατατάσσων φυλακὰς νυκτερινάς:

:: ※ ε' συκοφαντιῶν· :: ※ σπουδαίαν· ::: ※ ::: ὁ διδοὺς αἰνέσεις ἐν νυκτί. θ' λυμεποιοδω:

Συκοφαντούμενοι μέν, φησίν, οἱ ἄνθρωποι ἀπὸ τοῦ πλήθους τῶν κακῶν αὐτῶν πάσχουσι, βοῶσι πρὸς θεόν· καὶ ἐκεῖνον δὲ προσέρχονται κράζοντες, τῶν μὴ λογιζομένων ὅτι τὸν θεὸν ἔχουσι ποιητήν· μηδὲ ἐνθυμουμένων, ὅτι αὐτὸς ἔταξε καὶ νυκτὶ μέτρα. διῄρηνται δὲ εἰς τέσσαρας φυλακάς· κατὰ δὲ βαθυτέραν διάνοιαν· νυκτὸς ὄντος τοῦ παρόντος βίου διὰ τὴν σύγχυσιν τῆς ἁμαρτίας, φύλακας ἡμῖν ἔταξεν οἷον ἐντολάς, καὶ ἀγγέλους τοὺς ἡμᾶς φυλάττοντας:

τοῦ ἁγίου Ἰω(άννου): Τουτέστι καθάπερ ἐν στρατοπέδῳ, οὐχ ὁρᾷς πάντα διατεταγμένα, καὶ μετὰ πλείονος ἀκριβείας ἐν τάξει μένοντα τῇ προσηκούσῃ, οὐδὲν τῶν πρὸς τῶν οἰκείων ὑπερβαῖνον ὅρων· οὐδὲ τοῖς ἀγγελείοις ἐπιπέδων χωρείοις, καθάπερ τὰ πάντα φυλάττων καὶ ἔχων κα- ψευδόντων τῶν αὐτῶν οὐδεὶς ἐπιβουλεύει. ὁρᾷ τὰ θηρία,

τότε παραβαίνῃ, τότε οὗτοι καθεύδουσιν· οὐκ ἐλέγχουσιν ἐπινέμεσθαι τὰς πόλεις· οὐκ ἐλέγχουσιν αὐτοὺς ἀπολωλέναι πεπεισμένοι καθεύδουσιν: Ὠριγένους: Ἐγκώμια τοῦ θεοῦ καὶ αἴνους καὶ ὕμνους αὐτοῦ διεξέρχεται· ὁ κατατάσσων φυλακὰς νυκτερινάς, αὐτός ὁ θεός ἐστι: Τοῦ αὐτοῦ:

Θέλω ἰδεῖν πῶς κατατάσσων ἐστὶν ὁ θεὸς φυλακὰς νυκτερινάς· ὅλος ὁ αἰὼν οὗτος νύξ ἐστι, σκότος ἐστί· τὸ φῶς λείπεταί σοι· οὐ βλέπεις νῦν φῶς, δι' ἐσόπτρου βλέπεις· καὶ ἐν τῷ φωτί σου ὀψόμεθα φῶς· μέλλομεν πότε βλέπειν αὐτό· οὐκοῦν νύξ ἐστι πᾶς αἰών. Ἐπεὶ νύξ ἐστι πολέμιοι πολλοί· πολλὰ θηρία περιέρχονται:

Ὁ κατατάσσων φυλακὰς νυκτερινάς· ὁ θ̅ διορίζων με ἀπὸ τετραπόδων γῆς· ἀπὸ δὲ πετεινῶν οὐρανοῦ ὅπου ἐκεῖ καὶ κεκράξονται καὶ οὐ μὴ εἰσακούσῃ, καὶ ἀπὸ ὕβρεως πονηρῶν:

∴ α̅ μελῳδίας· σ̅ διδάσκων ἡμᾶς ὑπὲρ τὰ κτήνη τῆς γῆς. α̅ θ̅ σοφίζει ἡμᾶς: Ὠριγένους:

Ἐπεὶ οὖν νύξ ἐστι τὰ ἐν τῇ σκοτείᾳ τοῦ βίου πράγματα, χρεία ἐστὶ φυλάκων τεταγμένων εἰς τὴν νύκτα ταύτην· ἵνα οἱ φύλακες οἱ τεταγμένοι παρὰ τοῦ θεοῦ ἐν ταῖς φυλακαῖς ταῖς νυκτεριναῖς, παρεμβαλεῖ ἄγγελος κυρίου, κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς· οὗτοι οἱ ἄγγελοι ὡς ἐν νυκτὶ φρουροῦσιν ἡμᾶς: Ὀλυμπιοδώρου:

Ἀλλ' οὐδὲ ἐλογίσαντο φησὶν οἱ ἄδικοι ὡς ἐτιμήθησαν θεόθεν ὑπὲρ τὰ ἐπὶ γῆς ἄλογα καὶ τὰ τὸν ἀέρα διιπτάμενα πετεινά:

Ὠριγένους: Ἐάν τις ἁμαρτωλός, οὐ πτοείσθης ἀπὸ θ
τετραπόδων γῆς· οὗτος γὰρ ἐν τιμῇ ὢν οὐ συνῆκε· παρε-
συνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.
ἐάν τις ἁμαρτωλὸς οὐ πτοείσθης ἀπὸ τετραπόδων γῆς, ἀλλὰ
λέγεται σοι μὴ γίνεσθαι ὡς ἵππος καὶ ἡμίονος οἷς οὐκ ἔστι σύ-
νεσις: Καὶ μετ' ὀλίγα: Ἐάν τις ἁμαρτωλὸς ἔστι
τις μόνος, ἐὰν καταφρονῇς, οὐ πτοείσθῃς ἀπὸ τῶν τετρα-
πόδων, ὅσοι φιλοχρηματεῖς ἐγενήθησαν, διὰ τοῦτο παρ'
λέγει· ὅτι ἐχωρίσθη ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς:
Ὀλυμπιοδώρου: Ἀδικούμενοι ἐκεῖ· ἀξιοῦντες τὸν ι
θεὸν ἀπὸ τῆς ὕβρεως τῶν πονηρῶν κεκράξονται· ἵνα ἢ καὶ ἐρω-
τήσωσι, καὶ οὐ μὴ εἰσακούσῃ· τουτέστι καὶ ἀκούσῃ αὐτῶν
βοώντων ὁ θεός. ἢ οἱ ἄδικοι καὶ ὑπερήφανοι ὑπὸ ἑτέρων
πονηρῶν ἀδικούμενοι, ἐὰν κράξωσι πρὸς θεόν, οὐκ εἰσα-
κούονται· πρὸς γὰρ τοὺς τοιούτους φησὶν ἀνεπιστρέπτως
ἔχει θεός· πρὸς ἐκλέγειν δὲ εὔνοιαν ἁρμόζει τὰ εἰρη-
μένα: Ἐκεῖ ἀντὶ τοῦ τότε, ὡς τὸ ἐκεῖ ἔπεσαν
πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν:
ια
Ἄτοπα γὰρ ἰδεῖν οὐ βούλεται κύριος· αὐτὸς γὰρ ὁ παντοκράτωρ
ὁρατής ἐστι τῶν συντελούντων τὰ ἄνομα καὶ σώσει με.
ιβ
κρίθητι δὲ ἐναντίον αὐτοῦ· εἰ δύναται αὐτὸν αἰνέσαι ὡς
ιε
ἔστιν· καὶ νῦν ὅτι οὐκ ἔστιν ἐπισκεπτόμενος ὀργὴν αὐτοῦ:
∴ ※ ἐν τῷ θ οἱ λ. ἐπιλογιζόμενος: Ὀλυμπιοδώρου:
Ἐπιεικῶς τοῦ θεοῦ τὸ μισοπόνηρον καὶ ὅτι ἐφ' ἑκάστῳ κολάζει ια

τοὺς ἀνόμους. εἰ καὶ ἐπέπληξε τῷ λόγῳ φήσας καὶ σώσει με:

ια Τοῦ ἁγίου Ἰω(άννου): Οὐ μόνον οὐ δέχεται, ἀλλ' οὐδὲ ἰδεῖν

ιβ δύναται: Ὀλυμπιοδώρου: Ἀναλόγισαι δή φησι
τοῦ θεοῦ τὴν ἀξίαν. εἰ χωρεῖ σοι τὸν ὕμνον ὁ λογισμός.
τίσιν πρὸς τοσοῦτον καὶ ἡλικούτων ἐθέλεις κριθῆναι. ὅπου
γε μὴ πρὸς ἀξίαν αὐτὸν ὑμνολογεῖσθαι οἷός τε εἶ:

ιβ Τοῦ ἁγίου Ἰω(άννου): Εἰ δικαστήριον ἐπόθησε φησί.
καὶ τὰ δικαιώματα προέθηκεν οὐ κἂν αὐτὸν ἐπῄνεσας.
οὐ κἂν αὐτὸν ἐδόξασας, κατ' ἀξίαν ἐπὶ τοῖς γεγενημένοις
νῦν. ὅτι νομίζεις ἀδικεῖσθαι καὶ κολάζεσθαι. τὸ μὲν
γὰρ μὴ δύνασθαι κατ' ἀξίαν τὸν θεὸν ὑμνεῖν, οὐδὲν μέγα.
τὸ δὲ μέλλοντα κρίνεσθαι πρὸς αὐτὸν ἐν τοῖς πρὸς ἡμᾶς μὴ
δύνασθαι κατ' ἀξίαν αὐτὸν ὑμνεῖν, τοῦτο μέγα:

ιγ Ὀλυμπιοδώρου: Ἀλλὰ διὰ τοῦτο φησίν, ἐπειδὴ
μὴ συνεχῶς ἐπισκέπτεται καὶ ἐπεξέρχεται θεὸς τοῖς ὀφει-
λομένοις ἀδίκοις ὀργῇ. ὥσπερ δέ τις ἀγνοῶν, οὐ σφόδρα
τιμωρεῖται τὰ ἡμέτερα παραπτώματα, τὴν ἀνοχὴν αὐτοῦ
καὶ μακροθυμίαν οἱ ἄνοι εἰς καταφρόνησιν λαμβάνουσιν.
τὸ δὲ εἰπεῖν καὶ νῦν ἔδειξεν ὅτι καὶ παραμαρτήματα μὴ τιμω-
ρεῖται. ἀλλ' οὐκ ἀποδώσει ποτέ, ἐπάξω κατ' ἀξίαν:

Καὶ οὐκ ἔγνω παράπτωμά τι σφόδρα. καὶ Ἰὼβ ματαίως
ἀνοίγει τὸ στόμα αὐτοῦ, ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει:

∴ Σ´ μὴ δὲ γνωρίζων παραπτώματα σφόδρα.

∴ Σ´ ὡς ἀναίσθητος λόγους βαρεῖς ἐποιεῖτο:

Ὁ Χρυσοστόμου: Καὶ παλαιοῖς φησὶ τοῖς χρόνοις ὁ Ἰὼβ ιζ

τὴν τοῦ θεοῦ μεγαλειότητα καὶ μακροθυμίαν, καὶ τοῖς ἀκαταλήπ-
τοις αὐτοῦ κρίμασιν. καὶ ὅτι ἄνθρωπος οὐδὲ πρὸς ἀξίαν αἰνέσαι
τὸν θεὸν δύναται, μήτοιγε καὶ κριθῆναι πρὸς αὐτόν, βαρέα
καὶ ἀπρεπῆ φθέγγεται ἐγκαλεῖ :· +

+

+ προθεωρία κεφαλαίου λζ:

+

Ἐνταῦθα περὶ δημιουργίας τῆς ὑποδείκνυσι ὁ Ἐλιοὺς τῷ καὶ ἀξι-
ύπαρξω αὐτονομούσης, καὶ περὶ δυνάμεως μεγαλοπρεποῦς
καὶ σοφίας ἀκαταλήπτου. συνίστησι δὲ τὸν περὶ τῆς ἀκατα-
λήπτου σοφίας αὐτοῦ λόγον. ἐκ τῶν περὶ τὸν ἀέρα γινομένων
χειμώνων τε καὶ βροντῶν καὶ τῶν θηρίων καὶ κτηνῶν πῶς τὰ μὲν
μεθ' ἡμέραν ἐξεγείρεται. τὴν δὲ νύκτα εἰς ἀνάπαυσιν ἔχει. τὰ
δὲ τὴν μὲν ἡμέραν εἰς τὸ ἡσυχάζειν ἀπεκληρώθη. ἵνα μὴ
τοῖς ἀνθρώποις ἐπιτρέχοιεν. τὴν δὲ νύκτα περινοστοῦσι ζητοῦντα
τροφήν. καὶ ὅτι τοῖς ὕδασιν ὁ θεός, πολέμιος εἰς ἀνθρώπων παιδ.

ποῖ δὲ εἰς ἐξεργασίαν ἀχθῆναι· καὶ ὅτι ἐν μὲν σκότους φῶς· ἐν δὲ τῆς τοῦ φωτὸς ἀναχωρήσεως νύκτα ἐξεργάζεσθαι· φησὶ δὲ ὅτι ῥᾷστόν ἐστιν εὔληπτον τὸ ἐκ τῆς δημιουργίας καταλαμβάνειν, ὡς ἀκατάληπτός ἐστιν ἡ σοφία τοῦ θεοῦ· μεγαλοπρεπῶς δὲ διεξελθὼν τὰ περὶ τῆς ἀκαταλήπτου σοφίας τε καὶ προνοίας τοῦ θεοῦ, συμπεραίνει τὸν λόγον εἰς τὸ δεῖν φοβεῖσθαι τὸν θεόν· διὰ μὲν οὖν τοῦ δίκαιον ἀποφῆναι θεὸν καὶ τοῖς δικαίοις ἐπαμύνοντα, παράκλησιν ἐργάζεται τῷ Ἰώβ· ἵνα ὡς δίκαιος ἀγαθοῦ καὶ δικαίου τεύξεσθαι προσδοκῶν, ἑαυτὸν ἀνακτήσηται· διὰ δὲ τοῦ μέγαν καὶ ἰσχυρὸν καὶ ἀκατάληπτον, εἰς φόβον ἐνάγειν ἐπείγεται τὸν δίκαιον, ἵνα μηκέτι μηδὲν αἰτιάσῃ· ἀλλὰ τῇ σιωπῇ παραχωρήσῃ τοῖς ἀκαταλήπτοις τοῦ θεοῦ κρίμασιν· θαυμασίως οὖν τοῦ Ἐλιοῦς μάλιστα πρὸς τῷ τέλει περὶ τῆς τοῦ θεοῦ σοφίας τε καὶ μεγαλοπρεπείας ἐξηγησαμένου· ὁ μὲν Ἰὼβ οὐδὲν ἀντεῖπεν· σύμψηφος δὲ ὁ θεὸς τοῖς τοιούτοις αὐτοῦ γέγονε λόγοις ὡς ἐφεξῆς ἐστιν ἐκ τῆς θείας ἐπόψεως καταμαθεῖν: +

+

\+

\+ πέμπτη τοῦ ἐλιοὺς πρὸς τὸν ἰὼβ διάλεξις·

κε̄ κε

\+

ιε ις
Προσθεὶς δὲ ἔτι λέγει· μεῖνόν με μικρὸν ἵνα διδάξω σε·
ἔτι γὰρ ἐν ἐμοί ἐστι λέξις· ἀναλαβὼν τὴν ἐπιστήμην μου
ιζ
μακράν· ἔργοις δέ μου δίκαια ἐρῶ, ἐπ' ἀληθείας καὶ
οὐκ ἄδικα ῥήματα, ἀδίκως συνιεῖς:

∴ θ′ ὑπόμεινον· ∷ ἐδιαμακροῦ· ∷ ε′ ὅτι
ὄντως ἀψευδεῖς οἱ λόγοι μου· θ′ ὅτι ἀληθῶς οὐκ ἄδικοι οἱ λό-
γοι μου· ∷ θ′ ἄμωμοι γνώσεις μετὰ σοῦ:

Ὀλυμπιοδώρου: Ἐν τούτοις περὶ δικαιοσύνης θεοῦ λέ- ιε
γει ὁ ἐλιοὺς τὸ κατ' ἀξίαν ἑκάστῳ ἀπονεμούσης:

Τοῦ αὐτοῦ: Ἐπειδή, φησίν, ὅτι περὶ θεοῦ λέγειν ἔχω, ις
καὶ βούλομαι φησὶν ὑψηλότερον ἀναλαβὼν τὸν λόγον· μετ' ἐ-
πιστήμης καὶ γνώσεως διεξελθεῖν· ἀνάσχου μαθεῖν καὶ ταῦτα
ὑπ' ἐμοῦ λεγόμενα: Τοῦ αὐτοῦ: Τὸ μοῦ πρὸ ιζ
τὸ δίκαια· ἵνα εἴπῃ ὅτι τὴν δικαιολογίαν μου θεῷ· νῦν ἐρῶ
τοῖς τοῦ θεοῦ ἔργοις πιστοῦμαι· δεικνὺς ὡς ἃ γινώσκω μετὰ
ἀληθείας συνίημι· καὶ οὐκ ἄδικόν τι νοήσας ἄδικον φθέ-
γγομαι: Τοῦ αὐτοῦ: Τουτέστιν ἐπὶ τῶν ἔργων ιζ
ἄλλων συμβαίνοντα δίκαια λέγων, οὐχὶ ῥήματα ταῦτα
ἐστίν, οὐδὲ λόγοι· ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄδικα καὶ

οὐκ ἀδίκημα ἐποίει ἐν ῥήματι ἀδίκως συνιεῖς· οὐκ εἶδεν ὅτι
ἐπράξας: Γίνωσκε δὲ ὅτι ὁ κς οὐ μὴ ἀποποι-
ήσηται τὸν ἄκακον· δυνατὸς ἰσχύϊ καρδίας ἀσεβῶν οὐ μὴ
ζωοποιήσῃ· καὶ κρίματα πτωχῶν δώσει· οὐκ ἀφελεῖ ἀπὸ
δικαίου ὀφθαλμοὺς αὐτοῦ, καὶ μετὰ βασιλέων εἰς θρόνον·
καὶ καθιεῖ αὐτοὺς εἰς νῖκος καὶ ὑψωθήσονται:
∷ ※ ἐκ θ οἱ δ· ∷ ※ ∷ ※ ∷ καὶ μετὰ
ιη ἀπ π: Ὀλυμπιοδώρου: Τ' ἀθίτοι γραφοῦσιν ὡς
τοῦ τὰ ὀρθὰ προειρημένον οὐκ ἀποπολεῖσθαι θεός, κἂν
ἐν συμφοραῖς αὐτὸν δόξῃ ποτὲ καταλιμπάνειν πρὸς τὸ
ιθ λυσιτελοῦν: Τοῦ αὐτοῦ: Ζωοποιεῖται
ψυχὴ θείας γνώσεως μεταλαμβάνουσα· θάνατος δὲ τῆς
ψυχῆς ἡ ἀγνωσία καὶ αἱ κολάσεις· ὁ δυνατὸς οὖν φησὶ
θεὸς τὰς ψυχὰς τῶν ἀσεβῶν οὐ μὴ ζωοποιήσει· διὰ τὸ ἐλέ-
γχει αὐτοὺς ἐν ἀγνωσίᾳ διάγειν· κολάζων δὲ τοὺς ἀ-
σεβεῖς κατὰ τὰ δίκαια ἑαυτοῦ κρίματα, τοῖς πένησιν
ἀδικουμένοις ἐπαμύνει: Τοῦ αὐτοῦ:
Κατὰ μὲν πρόχειρον ἔσθ' ὅτε τοὺς δικαίους ὁ θεὸς τοσαύτης
ἀξιοῖ καὶ παρὰ ἀνθρώποις τιμῆς, ὡς καὶ συγκαθίζειν αὐτοὺς
βασιλεῦσι, καὶ νῖκος αὐτοὺς χαρίζεσθαι κατὰ τῶν ἐχθρῶν·
καὶ εἰς ὕψος ἐπαίρειν· κατὰ δὲ βαθυτέραν διάνοιαν οἱ κτ
θεὸν πτωχοὶ καὶ δίκαιοι μετὰ τῶν κατ' ἀρετὴν ὑψηλῶν σύνθρο-
νοι τῷ βασιλεῖ τῶν ὅλων ἔσονται· νικήσαντες τοὺς νοητοὺς ἐ-
κ χθροὺς καὶ ὑψωθέντες: Τῶν ἐπὶ πλίκτων καὶ

προνοητικὴν αὐτοῦ δύναμιν :

κα Καὶ οἱ πεπεδημένοι ἐν χειροπέδαις συσχεθήσονται ἐν σχοινίοις πενίας· καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν. καὶ τὰ παραπτώματα αὐτῶν ὅτι ἰσχύσουσιν· κβ ἀλλὰ τοῦ δικαίου εἰσακούσεται· κγ καὶ εἶπεν ὅτι ἐπιστραφήσονται ἐξ ἀδικίας· κδ ἐὰν ἀκούσωσι καὶ δουλεύσωσι :

:: ἢ ὅταν ἀναμνησθῶσιν· ἢ ὅτι κατεδυνάστευον κατὰ τὰ ἔργα αὐτῶν.

:: οἱ δὲ καὶ ἀποκαλύψει τὸ οὖς αὐτῶν εἰς παιδείας·

※ ὁμοίως οἱ δὲ ἐκ θ'· ἢ ἵνα μετανοήσωσιν. ※

Ὀλυμπιοδώρου : Τοὺς δὲ ἀδίκους φησὶ δεσμώτας ἐξεργασάμενος. καὶ καταδήσας πενίᾳ διὰ τῶν συμφορῶν, εἰς ἀνάμνησιν ἄγει τῶν οἰκείων ἔργων καὶ παραπτωμάτων ἅπερ ἔπραξαν διὰ τῆς ἰδίας ἰσχύος : Τοῦ αὐτοῦ : κα

Τοῦτο τῷ ἀνωτέρω θεωρουμένῳ συνῳδά, ἵνα ᾖ οὕτως. οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ· ἀλλὰ τοῦ δικαίου εἰσακούσεται : Τοῦ αὐτοῦ : Πεδούμενος δέ φησι καὶ τῶν ἀδίκων ὁ θεὸς δεσμοῖς αὐτοὺς καὶ πενίᾳ περιέξει, ὡς ἂν εἰς συναίσθησιν ἐλθόντες τῶν ἡμαρτημένων ἐπιστρέψωσιν ἐκ τῆς ἀδικίας : Τὸ διὰ τῶν ἔργων ἐπιστρεπτικὴν παιδείαν τοῦ θεοῦ λέγει· ὥσπερ τινὰ νουθεσίαν ἀκουστήν. εἰς συναίσθησιν ἄγουσαν τοὺς παιδευομένους. ἐὰν οὖν φησὶν ἀκούσαντες τοῦ ψυχοφελοῦς τούτου μαθήματος δουλεύσωσι θεῷ. ἐν εὐπραγίᾳ καὶ ἀγαθῶν ἀφθονίᾳ βιοτεύσουσι : κβ

συνετέλεσσαν τὰς ἡμέρας αὐτῶν ἐν ἀγαθοῖς· καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις· ἀσεβεῖς δὲ οὐ διασώζει παρὰ τὸ μὴ βούλεσθαι αὐτοὺς εἰδέναι τὸν κν̄· καὶ διότι νουθετούμενοι ἀνήκοοι ἦσαν καὶ ὑποκριταὶ καρδίᾳ τάσσουσι θυμόν· οὐ βοήσονται ὅτι ἔδησεν αὐτούς :: ※ ε' παλαιώσουσιν· :: ※ ε' μετ' εὐθείας· :: ※ ε' ἐποίησαν ὀργήν· ἐκ θ' οἱ β'·

::: ※ Ὀλυμπιοδώρου:

κε Τοὺς δὲ ἀσεβεῖς φησὶν οὐ διασώζει ὁ θς· οὐκ αἴτιος αὐτοῖς τῆς ἀπωλείας γενόμενος αὐτός· ἀλλ' ἐπειδήπερ αὐτοὶ ἑαυτοῖς τοῦτο κατέστησαν αἴτιοι, μήτε τῷ ἐμφύτῳ καὶ φυσικῷ λόγῳ τὸν θν̄ ἐπιγνῶναι θελήσαντες· μήτε τῇ ἐπιστολικῇ παιδείᾳ καὶ νουθεσίᾳ κατήκοοι θῡ γενέσθαι βουληθέντες: Τοῦ αὐτοῦ:

κς Οἱ δὲ τῇ καρδίᾳ ὑποκριταί φησιν· οἱ σχῆμα μόνον εὐσεβείας περικείμενοι· αὐτοὶ ἑαυτῶν καταλαμβάνουσι καὶ καθορίζουσι τὴν θείαν ὀργήν· καὶ οὐκ ἀεὶ βλέπουσι πρὸς θν̄ καὶ ἐξομολογοῦνται· ἐπειδὴ κατέδησεν αὐτοὺς ἡ ὑπόκρισις· τὸ δὲ τάσσουσι θυμόν, δύναται καὶ οὕτως· ὅτι τοὐναντίον ὀργίζονται μᾶλλον καὶ παιδευόμενοι καὶ βλασφημοῦσι τὸν ποιητήν:

Ἀποθάνοι τοίνυν ἐν νεότητι ἡ ψυχὴ αὐτῶν· ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη ὑπὸ ἀγγέλων· ἀνθ' ὧν ἔθλιψαν ἀσθενῆ καὶ ἀδύνατον· κρῖμα δὲ πενήτων ἐκδικήσει· καὶ προσέτι ἐπαλήσει σε ἐκ στόματος ἐχθροῦ: :: ε' παγαλωθήσεται· :: ÷ οὐ κεῖται παρ' ἑβραίοις τὸ ἡμιστίχιον·

::: ἐκ θ' οἱ γ'· Ὀλυμπιοδώρου:

Διὰ τοῦτό φησι καὶ ἄωροι ἀποθνήσκουσιν ὑπὸ τῶν φονι- κζ
κωτέρων ἀγγέλων τιτρωσκόμενοι, ἢ καὶ ζῶντες ἀποθνήσκουσι
ταῖς νεωτερικαῖς ἐπιθυμίαις ὑπὸ τῶν τιμωρῶν ἀγγέλων
αἰκιαζόμενοι· καὶ ἔλεγε αἰτία δι' ἃς ἐξεγέλαντο,
κατὰ τῶν ὑποδεεστέρων θλίψεις καὶ ἀδικίας: οὐ ἀδήλου:
τῶν δὲ πενήτων τὸ κρίμα δώσει θεός. τοῦτο γὰρ σημαίνει κη
τὸ ἐκθήσει, ἀντὶ τοῦ οὐ περιόψεται αὐτοὺς ἀδικουμένους:
τοῦ αὐτοῦ : Διαρμόσου λεκτικῶς τὸ κρίμα δὲ κθ
πενήτων ἐκθήσει· ὡς περὶ τὸ τῶν ὑποκειμένων πρόσωπον
ἐπήγαγε· ὅτι τιμωροῦνται οἱ ὑποκείμενοι· οὐ μόνον φησὶ
δι' ἃς προεῖπον αἰτίας· ἀλλ' ἐπειδὴ καὶ ἀπατῶσι τοὺς αὐτοὺς
διὰ τοῦ ἑαυτῶν ἐχθροῦ στόματος· τὸ δὲ κοινὸν ὡς ἐπὶ ἰδικοῦ
προσώπου λεκτικῶς εἶπεν ἠπάτησέ σε : Καὶ ἐπειδὴ ἐξ κθ
ἐχθροῦ στόματος ἠπάτησέ σε ὁ ὑποκείμενος· αὐτῷ μὲν ἡ ἄβυ-
σσος καὶ ἡ ὑποκάτω αὐτῆς κατάχυσις· τουτέστι τὸ σκότος τὸ ἐξώ-
τερον· σοὶ δὲ ἐπισταθήσεται τράπεζα πλήρης πιότητος:
λ̄ ἄβυσσος κατάχυσις ὑποκάτω αὐτῆς· λᾱ καὶ κατέβη τράπεζά σου
πλήρης πιότητος· οὐχ ὑστερήσει δὲ ἀπὸ δικαίων κρίμα·
θυμὸς δὲ ἐπ' ἀσεβεῖς ἔσται· δι' ἀσέβειαν δώρων ὧν ἐδέχοντο
ἐπ' ἀδικίαις: :: καὶ θέσις τῆς τραπέζης σου.
:: τὸ τιμωρητικὸν τοῦ θεοῦ : Ὀλυμπιοδώρου :
Εἰ μὲν περὶ τῶν ὑποκειμένων ὁ λόγος ἐστὶ καί φησιν ἀβύσσοις λ̄
βαθέως καὶ ἐγκαθέτως βουλευόμενοι· καὶ ὥσπερ ἡ τῶν ὑδάτων
κατάχυσις ὑποκάτω ἑαυτῆς τὰς ὑψηλοὺς ἐπικαλύπτει πέτρας

καὶ λανθάνοντα τοῖς πλείοσι φέρει τὸν κίνδυνον· οὕτω δὴ καὶ ἡ τούτων γνώμη τῷ πρὸς σχήματι τῆς ὑποκρίσεως ἐπισκιαζομένη αὐτὴν παρασκευάζει τοὺς αὐτοῖς καταπιστεύοντας· εἰ δὲ δεῖ τῆς θαυματουργίας τοῦ θεοῦ διὰ μέσου παρεντεθῆναι τὸ ἐπί· ὑποκάτω φησὶ τῆς ἀβύσσου οὐδείς ἐστιν ὁ καταδραμεῖται· θαυμαστῶς δὲ οὕτως τὸ ἐπὶ σχήματος ἐργάσασθαι : Τοῦ αὐτοῦ :

λα Τοῦ δὲ δικαίου φησὶν οὐχ ὑστερεῖ τὸ κρῖμα· τουτέστιν ἀπονέμει αὐτοῖς τὸ κατ' ἀξίαν ὁ θεὸς ὡς καὶ ἐκ πολλῶν αὐτοῖς πεπρά-ξαν δίκη ποιοῦντος· προηγουμένως μὲν τὴν τῆς γνώσεως τῶν πνευματικῶν· κατὰ τὸ δὲ παρακολούθημα ἴσως που καὶ τῶν ἐν αἰσθητοῖς ἀγαθοῖς : Κἂν παραυτίκα δοκῶσιν ἀτιμώρητοι μένειν οἱ ἀσεβεῖς· ἀλλ' οὐ κἀκεῖνοι αὐτοὺς τὴν θείαν διαδρᾶναι δίκην· ὅτι δὴ καὶ τὸ δίκαιον παρέφθειρον ζητήμασι· καὶ ἀσεβεῖν μᾶλλον καὶ ἀδικεῖν, ὡς δή τι μέγιστον εἵλοντο· κρίναντες γὰρ ἀδίκως, δικαίως κριθήσονται :

Μή σε ἐκκλινάτω ἑκὼν ὁ νοῦς· δεήσεως ἐν ἀνάγκῃ ὄντων ἀδυνάτων· καὶ πάντας τοὺς κραταιοῦντας ἰσχύϊ· μὴ ἐξελκύσῃς τὴν νύκτα, τοῦ ἀναβῆναι λαοὺς ἀντ' αὐτῶν· ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄτοπα· ἀπὸ τούτων γὰρ ἐξείλου ἀπὸ πτωχείας : :: ἐν δ' οἱ γ' · :: ὁ μὴ πενθυμηθεὶς νύκτος ἐπαναβῆναι λαοὺς ἐπὶ τοῦ τόπου αὐτῶν. :: ἵνα ταύτην προκρίνῃς πτωχείας : Ὀλυμπιοδώρου :

Μὴ ἑκὼν φησὶ τῆς εὐθείας ὁδοῦ παρατραπῇς· ὅταν τῆς σῆς ἐπικουρίας δέωνται οἱ ἐν ἀνάγκῃ ὄντες ἀδύνατοι· ἀλλ' ὅπα-

-μενον κατὰ δύναμιν. λέγει δὲ ταῦτα νῦν, οὐχὶ νουθετῶν τὸν
ἰώβ. εἰ καὶ τὸ σχῆμα τοῦ λόγου τοιοῦτον. οὐ γὰρ ἔχει καιρὸν
ἡ παραίνεσις πρὸς ἄνδρα ἐν ἀνάγκαις οὕτω καὶ τοσαύταις.
ἀλλ' ἐπειδὴ τῆς κατὰ τῶν προφητῶν ἐμνημόνευσε δίκης.
ἐβουλήθη καὶ νουθεσίαν εἰσενέγκασθαι κοινῶς, εἰς τὰ τοι-
-αῦτα φέρειν. ὑπογράφει δὴ οὖν ἐπὶ προσώπου τὸ πρᾶγμα.
ἵνα οὕτως ἐναργέστερός τε καὶ εὐάφορμος ὁ λόγος γένηται:

Μὴ δὲ τοὺς ἰσχυροὺς ἀδικήσῃς. μὴ δὲ κατὰ τὸ πλῆθος λογί-
σαι διαφθεῖραι τὸν δίκαιον χρήμασιν: Ὀλυμπιοδώρου:

Ὥσπερ δή φησιν οὐ χρὴ τοὺς ἀδυνάτους πιέζειν. οὕτως οὐδὲ λγ
τοὺς δυνατοὺς ἐφεδρεύειν ἐν νυκτὶ μετὰ πλήθους καὶ
τῶν οἰκείων ἐκβαλεῖν. διδάσκει δὲ ὅτι τὴν ἰσότητα καὶ
τὸ δίκαιον πρὸς πάντας φυλάττειν προσήκει. ἄλλοι δὲ οὕτως
ἡρμήνευσαν. καὶ παρελκύσῃς φησὶν ὅλην τὴν νύκτα καθεύ-
δων ἵνα μὴ ἐκβάλῃς τοὺς ἀγαθοὺς λογισμοὺς τοὺς κρατοῦ-
ντας τὴν ἰσχὺν τῆς ψυχῆς. ἑτέρους φαύλους καὶ ἀλόγους ἀν-
τεισαγαγὼν ἀντ' αὐτῶν. πᾶσιν οὖν φυλακὴ τῶν ἀτόπων ἀπέχεσθαι
δεῖ. ἀπὸ γὰρ τῶν τοιούτων πράξεων φησὶν εἰς ὕψος ἀναχθή-
σῃ διανοίας. μηδὲν ἔτι ταπεινὸν ἢ χαμαιπετὲς φρονῶν:

λδ Ποῦ ὁ ἰσχυρὸς κραταιώσει ἐν τῇ ἰσχύϊ αὐτοῦ. τίς γὰρ ἐστὶ
λε κατ' αὐτῶν δυνάστης. τίς δὲ ἐστὶν ὁ ἐλέγχων αὐτοῦ τὰ ἔργα.
ἢ τίς ὁ εἰπών, ἔπραξεν ἄδικα. λς μνήσθητι ὅτι μεγάλα τὰ
ἔργα αὐτοῦ ἐστίν, ὧν ἦρξαν οἱ ἄνδρες:

:: τοὺς ὀρθὰ κρίνοντας. :: ἀντὶ τοῦ οὐδείς. ἕως

ἐξετάζει· ::: ἄλλ(ος) ἔξει· ::: αὐτί τοῦ θαυμαστά·

::: χω ἐν β οἱ β : Ὀλυμπιοδώρου :

λδ Ἀπὸ τοῦ περὶ δικαιοσύνης αὐτοῦ λόγου, εἰς τὸν περὶ ἰσχύος
θεοῦ καὶ δικαιοσύνης ἐμβαίνει λόγον, ἐπὶ σωμάτων καὶ τὸν
τῆς μεγαλοπρεπείας αὐτοῦ καὶ σοφίας, καὶ τῶν ἀνεξιχνιάστων
τῆς θείας προνοίας ἔργων· θεωρῶμεν οὖν φησὶν ὡς ὁ ἰσχυ-
ρὸς θεὸς κραταιοῖ πάντα καὶ μετὰ θεϊκῆς δυνάμεως
ἐργάζεται· καὶ οὐκ ἔστιν ὁ τῇ αὐτοῦ δυνάμει παραβαλλό-
λε μενος : τοῦ αὐτοῦ : Ἀλλ' εἰ καὶ τοσοῦτός ἐστι φησὶ
τὴν ἰσχύν, οὐχ ὡς ἐξουσίαν ἔχων ἄτοπόν τι πράττει· οὐδὲ δύ-
ναταί τις ἀνεξιχνίαστον αὐτοῦ τὰ ἔργα, ἐπιδεῖξαι τί πεπραγμένον
ἀδίκως· ὥστε εἰ καὶ μὴ δυνατὸν ἐτάζειν καὶ ἀνεξιχνιάζειν τοῦ
θεοῦ τὰς πράξεις· ἀνεξιχνίαστοι γὰρ καὶ ἀκατάληπτοι·
ἀλλ' οὖν εὐσεβεῖ διανοίᾳ προσήκει πιστεύειν, ὡς οὐδὲν ἄ-
δικον παρὰ τῷ δικαίῳ θεῷ : τοῦ αὐτοῦ :

λϛ Ἀναπόμνησι φησὶν οἷα ἐστὶ τὰ κατὰ τὴν τοῦ θεοῦ κτίσιν ὧν
ἄρχειν ἐξ ἀρχῆς ἐτάχθησαν οἱ ἄνθρωποι, ὃ καὶ ἐν τῇ Γενέσει λέ-
γει· ποιήσωμεν κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίω-
σιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν
τοῦ οὐρανοῦ, καὶ πάσης τῆς γῆς· τὸ γὰρ μνήσθητι αὐτί τοῦ εἰς νοῦν
βαλόμενος σκόπησον, ἃ ἐκ τῆς συνηθείας ἴσως εὐκαταφρό-
νητα φαίνεται· ἢ καὶ τῶν παθῶν ἐπιτακτικοὶ συνοχῆς οὐ συγχω-
ρεῖ· τὸ δὲ μεγάλα, αὐτί τοῦ θαυμαστά:

λζ Πᾶς ἄνθρωπος ἴδεν ἐν ἑαυτῷ· ὅσοι τιτρωσκόμενοι εἰσὶ βροτοί·

ἰδοὺ ὁ ἰσχυρὸς

ἰδοὺ ὁ ἰσχυρὸς πολὺς καὶ οὐ γνωσόμεθα· ἀριθμὸς ἐτῶν αὐτοῦ
λθ
καὶ ἀπέραντος· ἀριθμηταὶ δὲ αὐτῷ σταγόνες ὑετοῦ· καὶ ἐπι-
χυθήσονται ὑετῷ εἰς νεφέλην : ※ ς
ἕκαστος ἀποβλέπων μακρόθεν· ※. ἐν θ' οἱ γ' ὑπὲρ
τὴν γνῶσιν ἡμῶν· τουτέστιν ἀΐδιος : Ὀλυμπιοδώρου:
Τὴν γὰρ περὶ θεοῦ γνῶσιν πᾶς ἄνθρωπος ἔχει· εἰ καὶ ὀλίγοις ἐν μέρει λζ
οἱ λόγοι τῶν ἔργων αὐτοῦ γεγόνασι γνώριμοι :
Τοῦ αὐτοῦ : Τοῦτο δύναται οὕτω, πάντες ὅσοι τῷ λζ
θείῳ πόθῳ τιτρώσκονται, γνωστικώτεροι γίνονται :
Τοῦ αὐτοῦ : Ὅσοι αὐτὸν ἴδου πάντες· τῷ γὰρ κέν- λη
τρῳ τῆς ἁμαρτίας τουτέστι τῷ θανάτῳ πάντες τιτρώσκονται.
οὐκ ἐπειδὴ οὖν φησὶ τὴν περὶ θεοῦ γνῶσιν ἅπαντες ἔχομεν,
ἤδη τὰς αὐτοῦ καὶ ἐφίκεσθαι δυνάμεθα. ἀκατάληπτος γὰρ
καὶ ἀΐδιος· τινὰ δὲ τῶν ἀντιγράφων ἀριθμὸς ἐτῶν ἔχει.
ἵνα εἴπῃ ὅτι ἀνεξιχνίαστοι εἰσὶν ἃς ποιεῖται ἐν ἡμῖν προνοίας.
τουτέστι κρίματα : Τοῦ ἁγίου Ἰω(άννου) :
Τουτέστιν ἀπολλύμενοι καθ' ἑκάστην ἡμέραν ὅσους ἀναιρεῖ : λη
Ὀλυμπιοδώρου : Ἵνα εἴπῃ ὅτι τὴν δὲ τοῦ θεοῦ γνῶσιν οὐ- λθ
-δὲν ἐκφεύγει· καὶ οὐκ ἀμελῶς φησίν· ἀλλ' ἐναριθμίως
διὰ τῶν νεφελῶν χέει τὸν ὑετόν· ἐκπορεύονται ἐξ αὐτῶν
οἱ σταλαγμοί· ταῦτα γὰρ δὴ πηγαιώματα εἶπε. διὰ τὸ
ἄνωθεν καὶ ἐκ πηγαίου τοῦ γὰρ οὕτω γίνεσθαι κατὰ τὴν θείαν
διάταξιν, ἤτοι πηγαιώματα ἐκ τοῦ τὰ πηγαῖα γίνεσθαι καὶ
ἐκρεῖ: ἄλλο: Παγιώματα αἱ λεπταί, ἢ ὅπως.

οἱ ὑετοὶ πίπτοντες εἰς τὴν γῆν διὰ τῶν ἀναθυμιαμάτων ποι-
οῦσι νεφέλας· καὶ πάλιν τὸ πηγαῖον οὕτως ἀναλυτικῶς ἐξέρχεται ἡ
νεφέλη ῥεῦσα εἰς ὑετόν: Τοῦ ἁγίου Ἰω(άννου):

λθ Ἐπλάτυνε τὴν γνῶσιν φησὶ καὶ τὴν πρόνοιαν:

ῥυήσονται παλαιώματα· ἐσκίασε δὲ νέφη ἐπὶ ἀμυθήτων
βροτῶν· ὥραν ἔθετο κτήνεσιν· οἴδασι δὲ κοίτης τάξιν· ἐπὶ
τούτοις πᾶσιν οὐκ ἐξίσταταί σου ἡ διάνοια· οὐδὲ διαλλάσσεταί
σου ἡ καρδία ἀπὸ σώματος: ∴ ἄλλα ῥυ-
ήσονται ἐκ τοῦ αἰθέρος· ∴ ÷ μέτεα καὶ ὄρους·

∴ ÷ ∴ ÷ ∴ ÷ Ὀλυμπιοδώρου:

μ Ἀμαθής τις φησὶν εὐκόλως ὑποπτεύων ἀκριβῶς ὅπως ὁ χαυνωθεὶς
ἀὴρ οὕτω συγκρούεται εἰς νεφέλας, ὥστε καὶ σκιάζει τοῖς ἀνθρώποις
τὸν οὐρανόν: Οὗτοι οἱ στίχοι οὐ κεῖνται ἐν τῷ ἑβραϊκῷ.
διὸ καὶ ὠβελίσθησαν. ἐν τισὶ δὲ ἀντὶ τοῦ ἐκτάσεις ἐπλάτυνε κεῖ-
ται· ὥραν ἔθετο κτήνεσιν· οἴδασι δὲ κοίτης τάξιν· ἐπὶ
τούτοις πᾶσιν οὐκ ἐξίσταταί σου ἡ διάνοια, οὐδὲ διαλλάσσε-
ταί σου ἡ καρδία ἀπὸ σώματος:

Καὶ ἐὰν συνῇ ἀπεκτάσεις νεφέλης ἰσότητα σκηνῆς αὐτοῦ·
ἰδοὺ ἐκτείνει ἐπ' αὐτὸν ἠδώ· καὶ ῥιζώματα τῆς θαλάσσης
ἐκάλυψεν· ἐν γὰρ αὐτοῖς κρινεῖ λαούς:

∴ ἐκ τῶν θ' τὸ ἡμιστίχιον καὶ οἱ β'. ∴ ※ ὁ ἐκπετάξει
ἐπ' αὐτὴν φῶς αὐτοῦ. ∴ ἀ' ε' εἶξας. ∴ ὁ διὰ
μα γὰρ αὐτῶν: Ὀλυμπιοδώρου: Ἐὰν οὖν συνῆτε
φησὶν εἰς ζήτησιν ἔλθῃς αὐτοῖς, πῶς μὴ καὶ προφανῆ

νεφέλης περὶ ὅλον τὸν οὐρανὸν ἡ πύκνωσις ἐκτείνεται τῶν νεφῶν. σκηνὴν γὰρ λέγει τὸν οὐρανόν, ὡς καὶ Ἡσαΐας φησίν, ὁ στήσας τὸν οὐρανὸν ὡς καμάραν, καὶ διατείνας ὡς σκηνὴν κατοικεῖν. τί δὲ καὶ ἐπὶ ταύτης τῆς καταπυκνώσεως ἐκτείνει τὴν ἠδώ· ἠδὼ δὲ ἑρμηνεύεται φῶς αὐτοῦ. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἐξέδωκεν. ἕνεκα δὲ αὐτὴ τέθειται, ὅτι τοῦ ἠδὼ τόξον ἔχουσιν. ἐπὶ τούτῳ φησὶν ἐν νεφέσι καὶ σκηνῇ αὐτοῦ, πῶς συννεφείας οὔσης αἱ ἡλιακαὶ ἀκτῖνες εἰς τὴν τῶν νεφῶν ἀραίωσιν προσβάλλουσαι ποιοῦσι τὸ τόξον, ὃ παρὰ τοῖς πολλοῖς ἶρις καλεῖται. περὶ οὗ καὶ ἐν τῇ γενέσει λέγεται· ἰδοὺ τίθημι τὸ τόξον μου ἐν τῇ νεφέλῃ, εἰς σημεῖον τοῦ μὴ γίνεσθαι κατακλυσμόν, θαυμάσεται τοῦ δημιουργοῦ τὴν σοφίαν,· πῶς ἐν μὲν τῇ τῶν νεφῶν πυκνότητι, τὴν ὠφέλιμον τοῦ ὑετοῦ τοῖς ἀνθρώποις χρείαν ἐργάζεται. ἐν δὲ τῇ μανότητι καὶ ἀραιότητι φαίνεσθαι τὸ τόξον παρασκευάζει, παραμυθούμενος τοὺς ἐπὶ τῆς γῆς· ὅτι δῆτα, οὐ τῇ ἐπομβρίᾳ τούτους κατακλύσει. ἀλλὰ ἀνέχει τῶν ὑδάτων τὴν ἄμετρον φορὰν κατὰ τὴν οἰκείαν ἐπαγγελίαν : τοῦ αὐτοῦ :

λς' τοῦτο λέγει ὅτι τὸ τόξον μέχρι καὶ τῆς θαλάσσης διήκει. ἢ ὅτι ὁ θεὸς τὰ ῥιζώματα τῆς θαλάσσης ἐκάλυψεν. οὐδεὶς γὰρ οἶδεν ὑπό τινος βαστάζεται ἡ θάλασσα. ἐν δὲ τούτοις τοῖς θαυμαστοῖς κρίνει καὶ τιμωρεῖται τοὺς ἀνθρώπους ὁ θεός. διὰ ἐπαγωγῆς θαλάσσης τυχὸν ἢ χαλάζης καὶ τῶν τοιούτων : μβ

δ ὥσπερ τεφρῶ τῷ ἰσχύοντι. ἐπὶ χειρῶν ἐκάλυψε φῶς, καὶ

ἐνετείλατο περὶ αὐτῆς ἐν ἀπαντῶντι. ἀναγγελεῖ περὶ

::::

αὐτοῦ φίλον αὐτοῦ· (μζ) κλῆσις καὶ περὶ αὐτηκίας:

:: ε παμπόλλην· :: ε παράμειψις· :: ε ὥστε ἀπαλεῖ-

σαι· ::: ε ἀπαγγελεῖ περὶ τοῦ ἑταίρῳ ἑαυτοῦ· ::: ε

μγ ζῆλος: Ὀλυμπιοδώρου: Ὁ σύμμαχος παρέ-

ξει τὸ φῶς παμπόλλην ἐκδέδωκε· καλῶς μὲν οὖν τὸ περί χει-

ρον λέγει, ὅτι τὸ φῶς ἰσχυρὸν καὶ πολλήν· ἀντὶ τοῦ καὶ περὶ τοῦ

ἀφθονίαν τῶν ὑετῶν ἐξαρκεῖν χρεία· πρὸς δὲ διάνοιαν·

τὸ φῶς ἐστι γνῶσις τοῦ θεοῦ τῷ ἰσχύοντι καὶ δυναμένῳ

γνῶναι τὴν αὐτοῦ θαυματουργίαν: Τοῦ αὐτοῦ:

μδ Ἐν τῇ ἑαυτοῦ δυνάμει φησὶ καὶ ἐνεργείᾳ κρύπτει τοῦ φωτὸς

τὴν αὐγήν· οὐδεὶς γὰρ ἕτερος δύναται ἀποκρύψαι τὸ φῶς:

με Τοῦ αὐτοῦ: Ὁ σύμμαχος καὶ ἐπιτάξει αὐτῷ ὥστε

ἀπαντῆσαι ἐξ ἐμηνευσε· καλύπτων γὰρ φησὶ τὸ φῶς καὶ νύκτα

ἐπαγόμενος, ἐντέλλεται αὐτῷ ὥστε ἀπαρτῆσαι, ἵνα εἴπῃ ὅτι

καὶ ἡ νὺξ καὶ ἡ ἡμέρα τῷ αὐτοῦ βουλήματι ἀλλήλας διαδέ-

χονται· τὸ οὖν περὶ αὐτῆς τῆς ἡμέρας φησίν· ἐν ἀπαντῶντι

μς δὲ τῷ ἡλίῳ: Τοῦ αὐτοῦ: Ὁ σύμμαχος ἀπαγγελεῖ

περὶ τούτου ἑτέρῳ αὐτοῦ ἐκδέδωκεν· ἀντὶ τοῦ μὴ περὶ τῆς

τούτων δημιουργίας μετά τινος βουλεύεται· ἢ ἑτέρῳ ἑαυτοῦ

ἀνακοινοῦται ταῦτα· τί ἡ καὶ ἐρώτησιν ἡ ἀνάγνωσις· δυνατὸν

δὲ καὶ οὕτω νοῆσαι, ὅτι ἐάν τινι θεὸς τὴν περὶ τούτων χα-

ρίσηται γνῶσιν· τοῦτον λοιπὸν φίλον ἑαυτοῦ καλεῖ, καὶ οὐ-

κέτι δοῦλον, ὡς καὶ πρὸς τοὺς μαθητὰς ἔλεγεν· ὑμεῖς καὶ

μζ φίλοι μου ἐστέ: Τοῦ αὐτοῦ: Θέκεα αὐτῆ ἔσται.

κυ κλῆσις ἔχουσι· σύμμαχος δὲ ζῆλον· περὶ ἀδικίας ἐκδέδω-
κεν. ὁ δὲ νοῦς οὗτος, μὴ ἀνακοινοῦται θεὸς ἑτέρῳ τινὶ περὶ τῆς
ἑαυτοῦ κλήσεως. πῶς τε εἰς ζῆλον κινεῖται καὶ τιμωρεῖται
τοὺς ἀδίκους· ἢ καὶ οὕτως· κλῆσις καὶ περὶ ἀδικίας· αὐτὶ
τοῦ ἀναγγελεῖ θεὸς τοῖς ἑαυτοῦ φίλοις ὥστε κτήσασθαι αὐτοῦ
τὴν σοφίαν καὶ μὴ τὰ ἄδικα· κτήσασθε γάρ φησι σοφίαν
καὶ μὴ ἀργύριον :

› Καὶ ταύτης ἐταράχθη ἡ καρδία μου· καὶ ἀπερρύη ἐκ τοῦ
› τόπου αὐτῆς· ἄκουε ἀκοὴν ἐν ὀργῇ θυμοῦ κυ· καὶ μελέτη
› ἐκ στόματος αὐτοῦ ἐξελεύσεται· ὑποκάτω παντὸς τοῦ οὐρανοῦ
› ἀρχὴ αὐτοῦ : ∴ ※ ∷ ※ ∷ ※
∷ ※ ἀ καὶ φθογγὴ ∷ ἀ ἐφεδρεύσεις αὐτοῦ :

Ὀλυμπιοδώρου : Διὸ ἀπὸ ταύτης τῆς θεωρίας φησίν, μὴ
οὐ δυναμένη μου ἡ ψυχὴ εἰς τὸ ἀκατάληπτον τῆς τοῦ θεοῦ σο-
φίας ἐνατενίζειν· κλόνον ὑπέστη· καὶ τῆς οἰκείας στάσεως πα-
ρερρύη· μονονουχὶ καὶ ἐκπιπτωκὼς ἀπὸ τοῦ θαύματος· τοιοῦτον
τι καὶ ὁ θεσπέσιος παῦλος πεπονθὼς θαυμαστικὴν ἀφῆ-
κε φωνήν· ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ
καὶ τὰ ἑξῆς : Τοῦ αὐτοῦ : Ἄκουε ἀκοὴν ἀεὶ
εἰς ζωὴν αἰσθητοῖν εἶναι· διάνοιξόν σου τὴν ἀκουστικὴν τῆς
ψυχῆς δύναμιν· καὶ κατάμαθε τὰ ἐξ ὀργῆς τοῦ θεοῦ τοῖς
ἀνθρώποις ἐπιφερόμενα, οἷον τὰς ἀπὸ τῆς χαλάζης βλάβας, τὰς
ἐπομβρείας, τοὺς λιμούς, τῶν καρπῶν τὴν φθοράν· διὰ γὰρ
τῶν τοιούτων θεὸς μονονουχὶ φωνὴν ἀφιεὶς· ἐκδιδάσκει

ἡμᾶς τὴν ἑαυτοῦ δύναμιν καὶ σοφίαν καὶ δεῖς φόβον ἐνά-
γει· μελετήσω ἡμῖν τὰ τοιαῦτα καὶ ὑπογραμμὸς καὶ διδαχὴ
φοβεῖσθαι παρασκευάζουσα τὸν ταῦτα κατεργαζόμενον :

μ̄ οὐ αὐτοῦ :    ἥκει δέ φησιν ἡ ἀρχὴ τοῦ θεοῦ μέχρι
καὶ αὐτῶν τῶν καταχθονίων· καὶ οὐ πάντα ἄρα οὐδὲ αὐτὰ ὑποσκό-
τια τυγχάνει τὰ καθ' ἡμᾶς· ἀλλὰ γὰρ καὶ ἅμα ἡμέρα διαυγάσει
τὰ πέρατα τῆς γῆς ὑπ' αὐτοῦ καταφωτίζεται :

> καὶ τὸ φῶς αὐτοῦ ἐπὶ πτερύγων τῆς γῆς· νᾱ ὀπίσω αὐτοῦ βοήσεται
> φωνῇ· βροντήσει ἐν φωνῇ ὕβρεως αὐτοῦ· νβ̄ καὶ οὐκ ἀνταλλά-
> ξει αὐτούς ὅτι ἀκούσει φωνὴν αὐτοῦ· νγ̄ βροντήσει ὁ ἰσχυρὸς
> ἐν φωνῇ αὐτοῦ θαυμάσια :    ※ ἐνθ οἱ γ̄.
※ ἐ ἀκρων    ※    ※    λυμεθοι :

να νῦν τοῦ ὕβρεως αὐτοῦ ὁ ἀκύλας ὑπερφερείας αὐτοῦ ἐκδέ-
δωκεν· τουτέστιν ὑπεροχῆς ἢ ἀπειλῆς. τὸ μεγαλεῖον δὲ τοῦ θεοῦ
παραστῆσαι θέλων· ὥσπερ τινὶ στρατηγῷ ἢ καὶ βασιλεῖ, με-
γάλους τινὰς καὶ φοβερούς ἔταξε τῆς βροντῆς τοὺς ἤχους· ὅταν
οὖν φησὶν ἐθέλῃ θεὸς κελεύει τοῖς ἑπομένοις αὐτῷ· εὐθὺς
αἱ ὀπὰ τῆς βροντῆς καταρρήγνυνται φωναί· ἢ βουλομένου
αὐτοῦ τινὰς αὐτίκους ἐξύβρισαι· παραδηλοῦνται τὴν ἀπειλὴν
ἢ τὴν ὑπερφέρειαν αὐτοῦ· δυνατόν δὲ καὶ οὕτω τὸ ὀπίσω
αὐτοῦ νοῆσαι· ἀντὶ τοῦ θελήσαντος αὐτοῦ· ἅμα τε γὰρ ἐθέλει,
να ἕπεται τῷ ἔργῳ :    οὐ αὐτοῦ :    πίσω αὐτοῦ, τὸ
ἑπομένη καὶ παρακολουθοῦσα τῷ θεῷ. ἢ ὅτι πάλαι μὲν ἡ ἀληθη-
-τὴ γνῶσις γνώστος θεοῦ· ἡ δὲ νοητὴ πρόσωπον· διὸ καὶ μωυσῆς

ἀπαρτίζεις τὰ περὶ τῆς ἀληθινῆς γνώσεως, καὶ ὅτι αἰτία τοῦ θεοῦ
λέγεται ἐπισκιάσαι. ὅτι μὴ ἐκεῖνον ἐκείνου γνωρίσματα·
οὐδεὶς δὲ τῶν ζώντων ὄψεται αὐτοῦ τὸ πρόσωπον:
τοῦ αὐτοῦ : Τὸ σὺ καταλάξει, ἵνα εἰδῇ ὅτι οὐχ οἷός νβ
τε ἐστὶν αὐτὸς αὐτὰ ἅπαντα τε παρασχεῖν, εἰς τὸ μὴ γενέσθαι
ἢ ἀκουσθῆναι τοὺς ἐκ τῶν βροντῶν ἤχους. ὁ δὲ σύμμαχος οὕτω
ἐκδέδωκε. καὶ οὐκ ἐξιχνιασθήσεται ἀκουσθέντος τοῦ ψόφου
αὐτῆς· ἀντὶ τοῦ οὐδεὶς δύναται ἐξιχνιάσαι καὶ καταλαβεῖν
ὅπως ὁ ἀὴρ συστρέφεται. ὅπως συγκρούεται. ὅπως τε ὁ ἦχος τῆς
βροντῆς ἀποτελεῖται βροντή: τοῦ αὐτοῦ :
Ὥσπερ δέ φησι τινὰ φωνὴν ἐκπέμπων τὴν βροντὴν γίνεσθαι νγ
παρασκευάζει θεός. εἰς τὴν τῶν ἀκουόντων κατάπληξιν·
φωνὴν δὲ θεοῦ. τὴν βροντὴν εἶπε, διὰ τὸ ἐκ προστάγματος
αὐτοῦ γίνεσθαι :
νη Ὡς ἂν ἔγραψε κλήνεσιν· οἴδασι δὲ κοίτης τάξιν. νε ἐπὶ τούτοις
ἐπ' οὐκ ἐξίσταταί σου ἡ διάνοια, οὐδὲ διαλλάσσεταί σου
ἡ καρδία ἀπὸ σώματος· νϛ ἐποίησε γὰρ μεγάλα ἃ οὐκ ᾔδειμεν·
νζ συντάσσων χιόνι γίνου ἐπὶ γῆς. ∵ ÷ ∷ ÷
∷ ÷ ∷ ÷ ∷ οἱ γ΄ ἐξῆς: Ὀλυμπιοδώρου·
Πέθετο ὅρους. ὥστε τὰ μὲν ὑπουργεῖν αὐτοῖς· τὰ δὲ μὴ ὑπολά- νη
-πτεσθαι. καὶ τὰ μὲν νύκτας. τὰ δὲ ἡμέρας προστάξειν οἰκο-
-νομικῶς, ἵνα τῆς κατ' αὐτῶν ἐφόδου παύσοιντο:
Οὗτοι οἱ ἀθετιζόμενοι οἱ δ΄· ἐν τοῖς αὐτῶν ἐκάφοις ὀπίσω νη
κεῖνται πρὸ τῶν στίχων μετὰ τὸ ἐσκίασε δὲ νέφη ἐπ' ἀμοι-

– σπίλων βροντῶν, ὡς καὶ ἐν τοῖς τελεσφόροις ἀειζώους ηὗρεν:

νδ Ἀέρα οὖν φησίν, οὐχ ἱκανὰ ταῦτα ἐκπλῆξαι διάνοιαν καὶ τέρψον
τινὰ διαχωρίσαι ψυχὴν ἀπὸ σώματος: Ὀλυμπιοδώρου:

νε Ἀνέκτου μεγάλα μὲν εἰσὶ τὰ ἔργα τοῦ θεοῦ· τοὺς δὲ λόγους
αὐτῶν γνῶναι οὐ δυνάμεθα:. Τοῦ ἁγίου Ἰω:

νδ Καίτοι πόσου ἀποστερεῖ μὲν ἀπὸ τῆς φύσεως ἐγνώσαμεν· προοιμι–
άζεται περὶ τούτων περὶ ὧν μέλλει αὐτῷ ὁ θεὸς διαλέγεσθαι:

νε Τοῦ αὐτοῦ: Ὁ ἐκεῖθεν οὐ θαυμάζει, ἀλλ' οὐκ ἐξίσταται·
οὕτως γὰρ ἐκπλαγεὶς καὶ φρίκη· πόθεν τὰ ἄλογα τοιαύτην εὐτα–
–ξίαν φυλάττει· ἵνα μάθῃς ὅτι καὶ τὸ οὐκ ἀπὸ τοῦ λόγου, ἀλλ' ἀπὸ
τοῦ λόγου δεδωκότος κυβερνᾶ: Ὀλυμπιοδώρου:

νξ Δείκνυσι δέ φησι τοῦ θεοῦ τὴν δυναστείαν, ἡ ἐν χειμῶνι τῶν
ὑετῶν ἐπομβεία, καὶ τῆς χιόνος ἡ ἀποστολή· ὅσῳ ἄκρος
–χειμὼν καὶ ἡ χιὼν κατασφραγίζει καὶ οἱονεὶ καταδεσμεύει
τῶν ἀνθρώπων τὰς χεῖρας· καὶ τῶν ἔργων ἀποκωλύει πρὸς τὸ ἕκα–
στον ἡμῶν τῆς ἀνθρωπίνης ἀσθενείας ἐπιγνώμονα γενέ–
σθαι· καὶ τὰ θηρία χειμὼν ἐντεῦθεν ὑπὸ φωλεοῖς καὶ αὐ–
–λεοις κατακρύπτονται, παραχωροῦντα τῷ κρύει:

Καὶ χειμὼν ὑετὸν δυναστείας αὐτοῦ. ἐν χειρὶ παντὸς ἀνθρώπου
κατασφραγίζει· ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν.
εἰσῆλθε δὲ θηρία ὑπὸ σκέπην· ἡσύχασαν δὲ ἐπὶ κοίτης.
ἐκ ταμιείων ἐπέρχονται ὀδύναι: ※ ἐκ θ οἱ
β· ς καὶ χειμὼν ὑετοῖς χειμάσει ὄμβρος ἰσχύος αὐτοῦ·
※ τὰ πάντα τοῦ ἀνθρώπου· ἀστερισμός· θ ς καλαι:

Τοῦ ἁγίου ἰω(άννου): Δι᾽ ὅλου φησὶν οὕτω μεγάλα τοῦ θεοῦ τὰ δημιουργήματα, δι᾽ ὅλου ψῦχος καὶ καῦμα· δι᾽ ὅλου τῶν ἀέρων ἀνωμαλία· μὴ γὰρ συνεχῶς γλυκάσθαι κτῆσιν· καὶ ἵνα πανταχόθεν κωλύει τοῦ φρονήματος τὸ ὑπερέχον καὶ διανιστάμενον· ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν: Καὶ μετ᾽ ὀλίγα: Πάντα πρὸς τὸ ἐναντίον κατεσκεύασεν ὁ θεὸς καὶ τὴν κτίσιν καὶ τὴν κατασκευὴν τοῦ σώματος· καὶ τὴν διαγωγὴν τοῦ βίου· ὥστε ταῦτα πάντα διὰ τὴν σωφροσύνην ἵνα μάθωμεν μετριάζειν, καὶ ἵνα τὴν ἀσθένειαν ἐπιγνῶμεν τὴν ἑαυτῶν, ἵνα λέγωμεν κατὰ τὸν ἰώβ· ἐγώ εἰμι γῆ καὶ σποδός· ἵνα λέγωμεν κατὰ τὸν δαδ· ἐγώ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος· ἵνα λέγωμεν κατὰ τὸν ἀπόστολον· ὅτι ἐμοὶ ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη· ἀσθενῆ αὐτὸν ἐποίησε καὶ νομίζει ἰσχυρὸς εἶναι· διὸ καὶ ἀσθενέστερος γίνεται: Ὀλυμπιοδώρου:

Ταμιείων, τῶν ἐνδοτάτων τῶν ἀποκρύφων· ὀδύνας δὲ λέγει, τὰς ἐκ τοῦ κρυμοῦ καὶ ψύχους· ἐκ τῶν ἐνδοτάτων οὖν καὶ ἀποκρύφων φησί, τὸ ὀδυνηρὸν γίνεται ψῦχος· τὸ δὲ πάγος διὰ πνεύματος ἀνεμιαίου συνίσταται· πνοὴ δὲ ἰσχυροῦ τὸ πν(εῦμ)α ἐκάλεσεν· ἐπειδὴ προστάξει γίνεται τοῦ θεοῦ: [νη]

Ὅμοιον· ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ:

Ἀπὸ δὲ ἀκρωτηρίων ψῦχος· καὶ ἀπὸ πνοῆς ἰσχυροῦ δώσει πάγος· [νθ] οἰακίζει δὲ τὸ ὕδωρ ὡς ἐὰν βούληται· καὶ [ξ] ἐκλεκτὸν καταπλάσσει νεφέλη· [ξα] διασκορπιεῖ νέφος φῶς αὐτοῦ· [ξβ] καὶ αὐτὸς κυκλώματα διαστρέψει:

∴ ※ σὺ θ οἱ β· ∴ ※ ε ἀπὸ ἐμφυσήματος θεοῦ δο-
θήσεται πάγος· ∴ α ζ κ(αὶ) καταπλήττει· ∴ ※ σὺ θ οἱ γ·
∴ ε αὐτὸς δὲ κυκλόθεν ἀναστρέφεται: Ὀλυμπιοδώρου:

νθ Χρῆται δὲ τῷ ὕδατι ὡς ἂν ἐθέλῃ θεὸς κατὰ τὴν ἰδίαν σοφίαν,
ὥσπερ τὶς κυβερνήτης ἔμπειρος ἐπὶ τῶν οἰάκων καθήμενος:
ξ Τοῦ αὐτοῦ: Ἐκπλήττεσθαι φησὶν ἐπὶ τοῖς τοιούτοις
θαύμασι τὸν ἐκλεκτόν, τουτέστι τὸν συνετὸν παρασκευάζει
ἡ τοῦ ἀέρος συστροφὴ καὶ σύγχωσις· ὁ δὲ σύμμαχος οὕτως
ἐκδέδωκεν· ἀλλὰ καὶ καθαρὸν ἐπιβρίσει νεφέλη· ἀντὶ τοῦ
ταῦτα γίνεται, ὅτε τοῖς πέρασι τῆς γῆς ἐπισκιάζει νεφέλη· ἐκ-
λεκτὸν οὖν τὸν καθαρὸν λέγει· καταπλάσει δὲ ἀντὶ τοῦ ἐπι-
σκιάζει κατὰ τὴν συμμάχου διάνοιαν: Τοῦ αὐτοῦ:

ξα Ἢ τοῦτο λέγει, ὅτι τῶν νεφελῶν πληρούμενος ὁ ἀὴρ διασκορπίζει
καὶ κρύπτει τὸ φῶς· ἢ ὅτι τὸ φῶς τὸ ἡλιακὸν ἐπιλάμψαν δια-
σκορπίζει τὴν ἐκ τῶν νεφῶν τοῦ ἀέρος κατήφειαν· ἢ ὅτι ἀγνοεῖ
αἱ νεφέλαι συρρηγνύμεναι φῶς ἐκλάμπουσιν, ἵνα εἴπῃ ὅτι
ἐκ τῶν ἀστραπῶν αἴτια τὰ νέφη γίνεται: Τοῦ αὐτοῦ:

ξβ Αὐτὸς δὲ φησὶν ὁ θεὸς τῷ τάχει κυκλόθεν τὰ νέφη περι-
φέρει· ἢ καὶ αὐτὸς ὁ θεὸς κυκλόθεν ἀναστρέφεται ἀντὶ τοῦ πάντα
ἐφοδεύει, πᾶσι παρὼν διὰ τὸ περιεκτικὸν τῆς οὐσίας:

ξγ Ἐν θεεβουλαθωθ εἰς ἔργα αὐτῶν· ξδ πάντα ὅσα ἂν ἐντείληται
αὐτοῖς· ταῦτα συντέτακται παρ' αὐτοῦ ἐπὶ τῆς γῆς· ξε ἐάν τε εἰς
παιδείαν ἐάν τε εἰς τὴν γῆν αὐτοῦ· ἐὰν εἰς ἔλεος εὑρήσει αὐτόν·
ξς ἐνωτίζου ταῦτα ἰώβ: ∴ δ ἐν οἷς ἀκούσεσι· ε ἐν

τῇ κυβερνήσει αὐτοῦ· :: ϛ φησίν· Ὀλυμπιοδώρου:

Σύμμαχος οὕτως ἐκδέδωκεν, ἐν τῇ κυβερνήσει αὐτοῦ εἰς τὸ ἐργά- ξγ
ζεσθαι αὐτά· ἵνα εἴπῃ ὅτι πάντα ταῦτα θεὸς ἐργάζεται, τῇ
ἡμετέρᾳ κυβερνήσει· ἕτερα δὲ ἀντίγραφα οὕτως ἔχει ἐν τοῖς
κατωτάτω θεὶς ἔργα αὐτοῦ· σημαίνει δὲ πάλιν ἡ τοιαύτη
γραφὴ ὅτι ταῦτα ἐργάζεται θεὸς διὰ τοὺς κάτω τουτέστι τοὺς
ἐπὶ γῆς ἀνθρώπους: Τοῦ αὐτοῦ: Γίνονται δέ φησι τὰ ξδ
ἐπὶ τοῦ ἀέρος ἐπὶ τῆς γῆς καὶ τὰς ἐντολὰς καὶ πρόσταγμα θεοῦ.
ἢ καὶ τοῦτο λέγει, ὅτι πάντα τὰ παρ' αὐτοῦ οὐ πρόσφατά εἰσιν.
ἀπ' ἀρχῆς οὕτω γινόμενα: Τοῦ αὐτοῦ:
Καὶ γίνονται φησὶ ταῦτα ἢ εἰς τὸ παιδεῦσαι καὶ ἐπιστρέψαι αὐτοὺς ξε
ἁμαρτάνοντας· ἢ εἰς καρποφορίαν τῆς γῆς, ἢ καὶ δι' ἄλλας αἰτίας,
ἀγνώστους μὲν ἡμῖν· πάντως δὲ δήπου ἀνθρώποις ἔλεον· εὑρή-
σει οὖν τις αὐτόν, διὰ ταύτας τὰς αἰτίας ταῦτα ποιοῦντα φη-
σίν: Τοῦ αὐτοῦ: Τουτέστιν ἐγκατάθου τῇ δια- ξϛ
νοίᾳ τὰ εἰρημένα, καὶ ἀναλόγισαι τοῦ θεοῦ τὴν ἰσχὺν
ὅσην τις τυγχάνει: Στῆθι νουθετοῦ δύνα-
μιν κυρίου· οἴδαμεν ὅτι κύριος ἔθετο ἔργα αὐτοῦ, φῶς ποιή-
σας ἐκ σκότους· ἐπίσταται δὲ διάκρισιν νεφῶν· ἐξαίσια δὲ
πτώματα πονηρῶν· σοῦ δὲ ἡ στολὴ θερμή:

:: α κατανόησον· β καὶ σκέψαι· γ ἐνθυμήθητι· :: γ
ἆρα γνώσῃ πότε ἔταξεν ὁ θεὸς περὶ αὐτῶν: Ὀλυμπιοδώρου:
Οἴδαμεν οὖν φησὶν ὅτι θεός ἐστιν ὁ ταῦτα ἐργαζόμενος, οὐ ξζ
καὶ πρώτη φωνή, γενηθήτω φῶς· τὸ πρῶτον οὐκοῦν δηλαδή·

τοῦτο γάρ ἐστι τὸ ἐπίστασθαι ὅτι καὶ τὰ νέφη διακρίνων καὶ διο-
ρίζων ὥσπερ ἂν ἐθέλῃ κατὰ τὴν ἰδίαν ἐπιστήμην:
Διαφορὰν αὐτῶν ἀπὸ σχήματος ἀπὸ χωρήσεως, ἀπὸ χρώματος,
ἀπὸ ἀποτελέσματος, ποῖα ὕει, ποῖα ψεκάζει· ποῖα νί-
ξη φει: Ὀλυμπιοδώρου: Θαυμάζει τοίνυν φησὶν
ἄξιον· πῶς δι' ἀέρος τιμωρεῖται θεὸς τοὺς πονηρούς· καὶ πῶς
μετὰ τοὺς κρυμούς· μετὰ τοὺς ὄμβρους θέρος γίνεται, ὡς δὲ
δύνασθαι στολῆς θερινῆς προσφόρους τῷ καιρῷ πρὸς τὸ μὴ ἐνο-
χλεῖσθαι, κατὰ ὑψηλοτέραν ἔννοιαν· ἐπειδὴ τὰ περὶ διαφορᾶς
θεοῦ καὶ σοφίας ἐξηγησάμεθα· μάνθανε ὡς τῶν μὲν πο-
νηρῶν μετ' ὀλίγα τὰ πτώματα· τοῦ δὲ τοῦ δικαίου ἡ στολή, του-
τέστιν ἡ τῶν ἀρετῶν ἔνδυσις θερμή, αὐτὴ τοῦ καινὴ καὶ ἐξηρω-
ξη μένη: Καὶ πῶς ἐξαιφνιδίως ἐπιφοιτᾷ τοῖς ἁμαρτωλοῖς
ἐν θερμαινομένων τῶν ἀγῶν ἀνθῶν: Τοῦ ἁγίου Ἰω(άννου):
θ Τοῦτό φησιν ὅτι ἐν πνοιαῖς εἰ γνῶ· ἀλλ' ὕστερον ἀναπαύσει, καὶ
τοῦτο τῆς τοῦ θεοῦ σοφίας τὸ λῦσαι τινὰ καὶ πέρας ἐπινοῆσαι
τοῖς ἀνθρωπίνοις κακοῖς τὸν θάνατον:
ξθ Ἡσυχάζεται ἐπὶ τῆς γῆς ἀπὸ νότου: στερεώσεις μετ' αὐτοῦ εἰς
παλαιώματα· ἰσχυρὰ ὡς ὅρασις ἐπιχύσεως· διατί; δίδαξόν με
τί ἐροῦμεν αὐτῷ, καὶ παυσόμεθα πολλὰ λέγοντες:
∴ ※ ἐν ἄλλ(ῳ) :: Ἀ ἐκλεπτῆς Σ ἐκτείνεται αὐτὸς
ἐστερέωσε τὸν οὐρανὸν εἰς ἕσπας· ∴ ※ Α ἐνισχύ-
-ουσι ὡς ὅρασις συγχύσεως: Ὀλυμπιοδώρου:
ξθ Ἡσυχάζει δέ φησιν ἡ περὶ τούτων γνῶσις ἐπὶ τῆς γῆς· καὶ γὰρ ἀγνο-

-σωμεν τούτων τοὺς λόγους· καὶ πῶς νότου φυσῶντος ἐν τῶν νεφ· παγιώματα τουτέστι πήγματα στόνες στερεαὶ καταρρέουσι· ὡς ὅρασις αὐτῶν τὴν ἐπίχυσιν· ψεκάζοντος μὲν γὰρ ἴσως διὰ τὴν λεπτότητα, οὐχ ὁρῶμεν τὸν ὑετόν· σταλαγμῶν δὲ καταφερομένων, πάντες ὁρῶσι τὴν αὐτῶν ἐπίχυσιν: Ἄλλως: Ἔστι δὲ καὶ οὕτω νοῆσαι, ἢ σὺ λάξει ἐπιστήσῃ σὺ τοῦ ἀέρος ἐπὶ τῆς γῆς, ὡς καὶ νότον καὶ θερμὴν εἶγνωναι· καὶ ἴσως τούτων ἐρωτῆς ὁποίους δήποτε λόγους· τί δὲ λέγομεν περὶ τοῦ οὐρανοῦ τοῦ ἐξ ἀρχῆς καὶ ἐκ παλαιοῦ στερεμνίου κατασκευασθέντος· καὶ ὥσπερ τὰ ἐπιχύματα κατὰ τῶν ὀφθαλμῶν, οὕτω ἡμῶν ὑπερκειμένου καὶ μὴ συγχωροῦντος ἡμᾶς τὰ ὑπὲρ αὐτῶν: Τοῦ αὐτοῦ: Τί οὖν φήσομεν περὶ τούτων· τί συνεῖναι δυνάμεθα· ἆρα τολμῶμεν λέγειν θεῷ, διατί ταῦτα οὕτως ἐποίησας, οὐ σιωπῇ θαυμάζομεν αὐτοῦ τὴν σοφίαν, οὐκ ὀκνοῦ τοῦ πολλὰ λέγειν ἐπίσχωμεν παραχωροῦντες αὐτῷ σοφίας τῆς ὑπὲρ ἡμᾶς:

Τοῦ ἁγίου Ἰω: Τουτέστι διατί ταῦτα γέγονεν, μὴ δυνάμενοι αὐτῷ ἐξωτῆσαι· οὐδὲν λέγω φησὶν ἂν ταῦτα μὴ δυνηθῶμεν μαθεῖν:

[οα] Μὴ βίβλος ἢ γραμματεύς μοι παρέστηκεν. ἵνα ἄνθρωπον ἑστηκὼς κατασιωπήσω· πᾶσι [οβ] δὲ οὐχ ὁρατὸν τὸ φῶς· τηλαυγές ἐστιν ἐν τοῖς παλαιώμασιν· [ογ] ὥσπερ τὸ παρ' αὐτοῦ ἐπὶ νεφῶν, ἀπὸ βορρᾶ νέφη χρυσαυγοῦντα· [οδ] ἐπὶ τούτοις μεγάλη ἡ δόξα: :: ἐὰν εἴπῃ ἀνὴρ καταποθήσεται :: θ

τουτέστιν ἐξ ἀναριθμήτων χρόνων· ::: λθ χριστοῦ ἥξει·
::: θ ἐστὶ τῷ θεῷ μεγάλη ἡ δόξα ἐπεὶ δὲ θεοῦ φοβερὸς αἶνος:

οα Ὀλυμπιοδώρου: Μὴ ἀπὸ τίνος φησὶ βιβλίου ταῦτα λαλῶ, ἢ φιλονεικία μου τίς ἐστιν ἵνα σε νικήσω, οὐδαμῶς· ἀλλ' ἀπὸ γνώσεως θεοῦ ταῦτα λέγω· αὐτὸ τοῦτο οὐκ ἐδεήθην παρ' ἑτέρου μαθεῖν· ἐπεὶ γὰρ πρόδηλα τυγχάνει τοῖς γε νοῦν ἔχουσιν· διὸ καὶ ἐπάγει: Ἄλλως: Μὴ ἐπεξυσμένου φησὶ διαλέγομαί σοι ἀναισχυντῶ εἰς ἀπόκρισιν οὐ δίδους· ἢ δῆλον ὡς ἡ ἀλήθειά σε καταπλήξει: τοῦ αὐτοῦ ἰω:

οα Μὴ γὰρ ἀπὸ βιβλίου φησὶ ταῦτα λέγομεν πρὸς αὐτόν· μὴ γὰρ ἄπορος ἐστὶν εὐχερὲς αὐτὴ τεκμήρασθαι τὴν δημιουργίαν πᾶσαν πανταχοῦ βοῶσαν: Ὀλυμπιοδώρου:

οβ Ὥσπερ γὰρ φησὶ τὸ φῶς ἅπασι πρόκειται· οὕτω καὶ ταῦτα κατάδηλα τυγχάνει θεοῦ ἔργα ὄντα καὶ δῆλος ἐστὶν ἐκ τοῦ δικαίου τοῦ οὕτω θεὸς διοικούμενος: τοῦ αὐτοῦ:

οβ Ὁρατὸν μὲν ἅπασι τὸ φῶς, οὐ νοητὸν δέ: τοῦ αὐτοῦ:

ογ Ὥσπερ ἀμέλει καὶ τοῦτο τὸ ἔργον φησὶ παρ' αὐτοῦ γίνεται· καὶ ὁ ἀὴρ ἐκ συννεφίας καὶ σκυθρωπότητος ποτὲ καθαίρεται· βορρᾶς δὲ αὐτὸν ἀποκαθαίρει, χρυσαυγεῖς καὶ ὑπερύθρους νε-

οδ φέλας ἀνάγων: τοῦ αὐτοῦ: Ἐκ τῶν τοιούτων ἐστὶν ἀναλογίσασθαι, ὡς μεγάλην ὀφείλομεν ἀναπέμπειν τῷ θεῷ τὴν δοξολογίαν· ἐφ' οἷς ἡμῶν τὸ γένος ἐτίμησεν ὁ ἀσύγκριτον ἔχων σοφίαν καὶ δύναμιν: Ἰουλιανοῦ:

οδ Ἰστέον δὲ ὅτι οὐχ ἁπλῶς οὐδὲ τῶν ὑπερκοσμίων δυνάμεων

μνημονεύει· ἀλλ' ἐκ τῶν ὀφθαλμῶν τὴν δοξολογίαν ποιεῖται:

καὶ τιμὴ παρὰ παντοκράτορος, καὶ οὐχ εὑρίσκομεν ἄλλον ὅμοι-
-ον τῇ ἰσχύϊ αὐτοῦ· ὅτι τὰ δίκαια κρίνων οὐκ οἴῃ ἐπακούειν
αὐτόν· διὸ φοβηθήσονται ἄνθρωποι αὐτόν· φοβηθήσονται δὲ
αὐτὸν καὶ οἱ σοφοὶ καρδία: ∴ οὐ δὲ αὐτοὶ
τὸ τέλειον κατειληφότες: Ὀλυμπιοδώρου:

Τούτων τοίνυν οὕτως ὡμολογημένων, καὶ τῆς καθόλου τοῦ θεοῦ σε
προνοίας καὶ δικαιοκρισίας δειχθείσης, μὴ νόμιζε τῶν ἁ-
πάντων ποιητὴν καὶ κατ' εἰκόνα τῶν ἡμετέρων παραμελεῖν:

τοῦ αὐτοῦ: Ἐπειδὴ λέγει ὁ Ἰὼβ κεκράξομαι καὶ οὐ- σε
δαμοῦ κρίμα: τοῦ αὐτοῦ: τοῦτο τοῦ συμ- σς
περάσματος χάριν διεξοδικῶς ἅπασι προσῆλθε τοῖς προ-
ειρημένοις εἰς φόβον ἄγειν οἰόμενος τὸν Ἰώβ· τὸν μη-
δέποτε τὸν τοῦ θεοῦ καταλιπόντα φόβον, τῷ οἰκείῳ δόκει
λέγοντα· χεῖρα δὲ ποῦ εἰ μὴ ἐπεποίθειν· διὰ γὰρ ταῦτα φη-
σι πάντα καὶ ὁ πολὺς καὶ ἀκατάληπτος ἄνθρωπος δεδοικέναι τὸν θεὸν
ὀφείλει· καὶ οἱ σοφοὶ δὲ καὶ συνετοί, μᾶλλον τοῦτο ποιεῖν
ὀφείλουσιν, ὅσῳ καὶ πλείονος ἀξιοῦνται τῆς γνώσεως:

†

+

+ προθεωρεία κεφαλαίου κϛ:

+

Πλοῦτος καὶ πενία, ὑγεία καὶ νόσος, τιμὴ καὶ ἀτιμία, καὶ ἁπλῶς ἕκαστον τῶν ἀνθρωπίνων ὅλος ὁ βίος παλαιστήριον ἐστίν, ὡς αὐτὸς ἡμᾶς ὁ μέγας Ἰὼβ ἐδίδαξε διὰ πάντων τῶν ἀγωνισμάτων ἐγγυμνασάμενος, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν· διὰ δόξης καὶ ἀτιμίας, ὥς που ὁ ἱερὸς ἀπόστολος ἔφη· καὶ πλούσιος μὲν ὢν κοινὸς ὑπῆρχε τῶν δεομένων θησαυρός· ἔνδοξος δὲ καὶ δύναμιν περιβεβλημένος, τῶν ἀδικουμένων ἐπίκουρος, οὐχ ὁ πλοῦτος αὐτοῦ εἰς ἐξιτηλίαν αὐτοῦ ἐκίνησεν· οὐχ ὑπερηφάνεια τὴν ἀλαζονίαν ἔτεκεν. οὕτως ἀνδρείως τὰ πρῶτα πηδήσας σκάμματα, ἐπὶ τοὺς δευτέρους καὶ χαλεπωτέρους ἀγῶνας ἀπεδύσατο συγχωρήσει θεοῦ· πρὸς ὅλην αὐτοῦ τοῦ διαβόλου τὴν κακουργίαν γενναίως ἀντιταξάμενος· καὶ ὁ βασιλεὺς ὡς ἐν μονοζώνοις ὁ πολύπαις καὶ ἔνδοξος, καὶ τῷ πλούτῳ πανταχόθεν περιρρεόμενος, ἐπὶ τῆς κοπρίας ἐρριπτόμενος, ἄδοξος, καταξαινόμενος, ἑλκούμενος· ἰχῶρας ῥέων. πάντας νικήσας τῇ ταλαιπωρίᾳ τοὺς πώποτε γεγενημένους· καὶ ὅσους ὕστερον ἴδεν ὁ βίος ἐν συμφοραῖς ἐξεταζομένους· προσθήκη δὲ αὐτῷ γέγονε τῶν κακῶν, καὶ ἡ τῶν φίλων διάλεξις, ἀντὶ λόγων παρακλητικῶν· ἀθυμίας αὐτῷ καὶ ὀδύνης ἐπίτασιν

ἀπεγραψάμην. ἐπειδὴ δὲ ὁ μέγας ἀθλητὴς ἅπαντα νο-
μίμως διεξῆλθε τὰ παλαίσματα· καὶ τὸν περὶ τοῦ στεφάνου
ἐνθέσμως ἀνεδήσατο. τότε δὴ τότε τῆς θείας ἀκροᾶται φωνῆς,
ἀναγορευούσης μὲν αὐτοῦ τοὺς καλοὺς ἀγῶνας· οὕτω γὰρ φησί·
συνεχώρουν σε γυμνείῳ [illegible] ἵνα ἀναφανῇς δίκαιος.
ἀνδριάντα δὲ αὐτὸν ὑπομονῆς καὶ παρακλήσεως τῶν αὐτὸν
ἀνιστώσης γλύφει. εἴτε γάρ τις ἐκ πολυπλούτου γεγένηται πέ-
νης, τὸν Ἰὼβ ἔχει παράκλησιν. εἴτε καὶ ἀφανὴς ἐκ περιφα-
νίας πρὸς αὐτὸν βλέπων, ἐπικουφίζει τὰ λυπηρά. εἰ δὲ καὶ
ἄπαις ἐκ πολυπαίδος ἐμοῦ καὶ καλλιπαίδος, διδασκέσθω λέγειν,
ὁ κύριος ἔδωκεν ὁ κύριος ἀφείλατο. εἰ δὲ καὶ εἱλκωμένον, εἰ δὲ
καὶ ὑπὸ ἀνοίας γυναικὸς εἰς ἀτόπους ἐρεθίζοιτο λόγους·
ἐπιτιμήσει μὲν τῇ ταῦτα συμβουλευούσῃ· καρτερικῶς δὲ
ὁμοῦ καὶ ἀνεξικάκως ἐρεῖ· ἀναμένω χρόνον ἔτι μικρὸν
προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου. ἔστιν οὖν
παρακλήσεως φάρμακον, πρὸς παντοδαπὴν ἀθυμίαν
ἡ κατὰ τὸν Ἰὼβ ὑπόθεσις, καὶ οὐ ξενίζεταί τις ἀνηκέστῳ
περιπίπτων συμφορᾷ· οὐδ᾽ ἂν οἱ ἀγαθοὶ αὐτῷ πρὸς φιλί-
αν συνηρμοσμένοι ἐπεμβαίνωσι κειμένῳ καὶ ὀνειδίζωσιν.
ἐνθυμούμενοι καὶ ἡμεῖς τοὺς γενναίους ὡς οἱ καλῶς ἀγωνιζό-
μενοι ἐπάθλων καὶ θείας ἀξιοῦνται προσρήσεως, μὴ διὰ
τὸν κόρον πλουτοῦντες ὑβρίσωμεν, μὴ καταπέσωμεν ἐν
συμφοραῖς· ἀλλὰ πάντα ὑμῖν τὰ συμβαίνοντα, ὁποῖα ποτ᾽ ἂν
ὦσιν, ὑψηλῷ ἀρετῆς ἐκδεξώμεθα· ἀλλ᾽ ἤδη ὥσπερ λοιπὸν τῆς θεί

ἀκροάσεως ἐπακούσωμεν, διὰ βραχέων ἐπισκεψάμενοι
κατὰ τὴν ἐκ τῆς θείας δωρεᾶς ἐπιμετρουμένην ἡμῖν δύ-
ναμιν, δι' ἣν αἰτίαν τοιούτοις ὁ θεὸς πρὸς τὸν Ἰὼβ κέχρηται ῥή-
μασι. τῶν φίλων τοιγαροῦν ἄριστα μὲν τὰ περὶ θεοῦ δοξα-
ζόντων, καὶ τῆς αὐτοῦ σοφίας καὶ δυνάμεως καὶ μεγαλοπρεπεί(ας)·
ἀποφαινομένων δὲ ὡς πάντως δι' ἁμαρτίας πάσχουσιν οἱ ἄν-
θρωποι· καὶ ἀγνοούντων τὸν τρόπον τῆς γυμναστικῆς τῶν πειρα-
σμῶν ἐπαγωγῆς· οὐκ ἐν καιρῷ δὲ οὐδὲ ἐπὶ τοῦ τοιούτου προσώ-
που τοῖς λόγοις χρωμένων ὁ μακάριος Ἰώβ, ἄριστα μὲν
καὶ αὐτὸς καὶ τελειότατα περὶ θεοῦ σοφίας καὶ δυνάμεως
μεγαλοπρεπῶς ἐξηγήσατο· ἀληθινὸς δὲ ὢν καὶ ἄκακος, καὶ
οὐδὲν αὑτῷ συνειδὼς τῶν τοσούτων πληγῶν ἄξιον· οὐ συνε-
τίθετο τοῖς φίλοις λέγουσιν ὅτι δι' ἁμαρτίας κολάζεται. πλὴν
ἀλλὰ καὶ αὐτὸς ἠγνόει τοῦ καθ' ἑαυτὸν ἀγῶνος τὴν ὑπόθε-
σιν. ὅθεν ὁ Ἐλιοὺς εἰς μέσον παρελθών, οὐ καταδικάζει
μὲν τὸν δίκαιον, οὐδὲ ἀποφαίνεται δι' ἁμαρτίας αὐτῷ
τὰς κακώσεις ἐπενηνέχθαι. κατὰ τοῦτο μὲν τῶν φίλων
κρείττων φαινόμενος· οὐ νοήσας δὲ τοῦ Ἰὼβ τὴν ἔννοιαν,
ἐξ ἧς τοὺς δοκοῦντας εἶναι κατὰ θεοῦ προεφέρετο λόγους.
καὶ καταμέμφεται τὸν Ἰὼβ ὡς ἀσέβεια λαλοῦντα ῥήματα.
καλῶς δὲ καὶ ὁ Ἐλιοὺς καὶ θαυμασίως τὰ περὶ θεοῦ σο-
φίας καὶ δυνάμεως ἀπήγγειλεν. πάντων οὖν ἁπάντων
ὡς καλῶς καὶ ὀρθοδοξαστικῶς τὴν θείαν πρόνοιαν καὶ δύνα-
μιν ἀποθαυμαζόντων· ἀγνοούντων δὲ τὴν κατὰ τὸν Ἰὼβ

ὑπόθεσιν. καὶ ὅτι γυμνάσιον ἀρετῆς ὑπῆρχεν ἡ πληγή,
καὶ οὐχ ἁμαρτημάτων ἀντίδοσις τῶν εἰρημένων πάντων ὁ
κς ποιούμενος τὴν ἐπίκρισιν. τὰ μὲν περὶ τῆς θείας προ-
νοίας καὶ δυνάμεως καὶ σοφίας παρὰ πάντων εἰρημένα
ὡς καλῶς λεχθέντα ἀποδέχεται. διὸ καὶ αὐτὸς περιμηκέ-
στερον τὰ περὶ τούτων ἐπεξέρχεται. πρὸς μὲν τὸν ἑαυτοῦ
φίλον τὸν δίκαιον ἰώβ, ἡμέρως καὶ πράως διαλεγόμενος
καὶ ἐπικυρῶν μὲν τὰ παρὰ πάντων εἰρημένα περὶ θεοῦ,
διὸ καὶ αὐτὸς ἐπιδιδάσκει περὶ ἑαυτοῦ τὰ ὅμοια. διδάσκ
δὲ ἡμᾶς ὡς ἀκατάληπτα τῆς θείας προνοίας τὰ κρίματα.
καὶ ἀνεξιχνίασται αἱ ὁδοὶ τῆς τοῦ θεοῦ σοφίας. τοῖς δὲ φί-
λοις ἐπιτιμᾷ ὡς ἀποφηναμένοις περὶ ὧν οὐκ ᾔδεισαν. μὴ
γὰρ πρὸ καιροῦ τι κρίνετε φησὶν ὁ θεῖος ἀπόστολος. ἕως ἂν
ἔλθῃ ὁ κς ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φα-
νερώσει τὰς βουλὰς τῶν καρδιῶν, καὶ τὰ ἑξῆς. τόν τε ἐλιοῦ
οὔτε ἐπαινεῖ· οὐ γὰρ ἔγνω τοῦ ἰὼβ τὴν διάνοιαν ἐξ ἧς τοὺς
λόγους προέφερεν. ἀλλ' οὐδὲ τοῦ ἀγῶνος τὴν ὑπόθεσιν, οὔτε
ψέγει. ἐπεὶ μὴ κατεδίκασε τὸν δίκαιον. ἰὼβ στεφανοῖ καὶ
ἀναγορεύει καὶ ἀνακηρύττει τοῖς λόγοις, ὡς οὐδαμοῦ μὲν
ἐνπταίσαντα· πταίσαντα δὲ νομίμως ἀγωνισάμενον τὰ
παραίσματα, καὶ τὸ ἀπόρρητον ἀναπτύσσει, καὶ δημο-
σιεύει τοῦ πειρασμοῦ τὴν αἰτίαν. οὐ γὰρ ὡς ἄδικος πέ-
πονθε φησὶν ὁ δίκαιος, ἀλλ' ἵνα δίκαιος ἀναφανῇ, καὶ ἀπὸ
θείας ψήφου ἀναγορευθῇ τὰ κατὰ τὴν ἀρετὴν τοῦ ἰώβ.

ἐπαλείφων δὲ αὐτὸν τοῖς λόγοις καὶ ἀναρρωννὺς καὶ παρα-
τείνων αὐτῷ τὴν διάλεξιν· δίκαιος γὰρ ὢν παρὰ τοὺς ἄλλους
πλείονος ὁμιλίας ἀπολαῦσαι χρῆν· ὅσῳ καὶ πλείονα χρόνον
τοῖς πάθεσιν ἐνεκαρτέρησεν· διδάσκει καὶ τὰ περὶ τῆς
ἐνανθρωπήσεως τοῦ μονογενοῦς μυστήρια, καὶ δημοσι-
εύει δὲ ἀπὸ τῶν μνηστικῶν καὶ ἐπικεκοιμημένων τοῦ κοι-
νοῦ βίου τῆς ἀνθρωπότητος ἐχθίστου δράκοντος, καὶ ἀπὸ τοῦ
δέοντος περιφρονεῖ τήν τε ζήλω καὶ ἰταμότητα καὶ κακό-
νοιαν· ἡμῖν μὲν τὰ κατ᾽ αὐτὸν ἀπογυμνῶν· τὸν δὲ δίκαιον πε-
ἀναφορέων· καὶ θαρραλεώτερον γίνεσθαι παρασκευάζων,
μονονουχὶ μεγάλῃ τῇ φωνῇ πρὸς τοὺς συνιέναι δυναμένους
λέγων, ὅτι πρὸς τοσοῦτον ἔσχεν ἀντίπαλον, καὶ δι᾽ ὅλων ἄρρηκ-
τος ἔμεινεν· μετὰ δὲ τοὺς πολλοὺς ἀγῶνας καὶ τὴν ἐκ τῆς θεί-
φωνῆς παράκλησιν, ὑγιᾶ μὲν αὐθὺς συνέλεξε καὶ δια-
θεῶσος τῶν ἐν τοῖς σωμάτεσιν ἰχῶρας ἀναβλύζων τοὺς σ-
κώληκας ἐξο βρῶν· συνέλεγον παλαιχρόνιοι γνώρι-
μοι καὶ ξενίοις ἐδεξιοῦντο· περιούσιον ἠκολούθει πάντα.
οἱ δὲ παῖδες ἰσάριθμοι· οὐ γὰρ εἰς ἀνύπαρξιν ἐχώρη-
σαν οἱ τοῦ σώματος ἐκπεπτωκότες, ὥστε καὶ αὐτοὶ διπλοῖ
τὸν ἀριθμὸν ἐτύγχανον ζώντων μὲν τῶν προαπελθόντων·
προστεθέντων δὲ τῶν ὕστερον ἐπιγινομένων· ὥσπερ γὰρ πρό-
τερον ὑπὸ τῆς θείας ἐγκαταλείψεως, πρὸς γυμνασίαν τῆς
γεγυμνασμένης ἅπαντα ἦν σκυθρωπά, πενία καὶ ἀπαιδία,
ἕλκη καὶ ἰχῶρες καὶ ἀτιμία· οὕτως ὕστερον ὑπὸ τῆς θεί-

ἐπιλάμψεως

ἐπιλάμψεως φαιδρὰ πάντα καὶ ἱλαρὰ καὶ εὐμηδίας
ἀναμέστα· καὶ ἐπὶ πλείονα μὲν ἐν τῷ παρόντι· παραπέ-
μπονται δὲ πρὸς τὰ τοῖς δικαίοις ἐπηγγελμένα. reliqua nō possumus legere.

· · · · · · · :~

\+

\+ πρώτη τοῦ κυ̅ [κυρίου] τῷ ἰὼβ διάλεξις : κε κς :

\+

Μετὰ δὲ τὸ παύσασθαι ἐλιοῦ τῆς λέξεως· εἶπεν ὁ κς̅ [κύριος] τῷ ἰὼβ
διὰ λαίλαπος καὶ νεφῶν : Ἰουλιανοῦ :

Καταισχύναντος τοῦ μὲν ἰὼβ τοὺς φίλους· τοῦ δὲ ἐλιοῦς τὸν οξ
ἰὼβ· ἐπίκρισιν καὶ πέρας τῶν λόγων ἐξενεχθῆναι, ὅπερ ὁ ποι-
ήσων οὐκ ἦν πλὴν θεοῦ· διὰ λαίλαπος δὴ αὐτὸ φαίνεται τοῖς
φίλοις, καὶ διὰ νεφῶν τῷ ἰὼβ, ὡς τῷ μὲν ἰσραὴλ διὰ φωνῶν·
τῷ δὲ μωϋσῇ διὰ στύλου νεφέλης : Μεθοδίου :

Ὁ κς̅ [κύριος] ἀρχῆθεν αὐτοῖς οὐ λαλεῖ· ἀλλ' ἐπὰν παρασκευάσῃ τὴν ψυχὴν οξ
διὰ πλειόνων καὶ ὠφεληθῇ διά τε αὐτῶν καὶ διὰ τῆς ἰδίας προ-
σευχῆς καὶ ἐπιμελείας καὶ γυμνάσῃ τε καὶ ἀναβῇ εἰς ὕψος

καθόσον δυνατὸν ἀνθρωπίνῃ φύσει. τότε ὁ κ(ύριο)ς λαλεῖ καὶ τοὺς ἑ-
-αυτοῦ λόγους ἀποκαλύπτει τοῖς εἰς τοσοῦτον ἀναβεβηκόσιν. οὕτω
τοιγαροῦν καὶ τῷ ἰὼβ πεποίηκεν. διετήρει γὰρ αὐτῷ τὸν
λόγον ὁ στέφανος. ζητήσωμεν δὲ καὶ τὸ διὰ λαίλαπος καὶ
νεφῶν. οὐ γὰρ φαίνεται τινὶ τὸ προλεχθὲν διὰ λαίλαπος λε-
-λαληκὼς ὁ θεός. ἡ οὖν λαῖλαψ χειμῶνος ἐστὶ ποιητική. ἐπεὶ
δὲ ἰὼβ μέγιστος ὡς χειμὼν ἐπηλύθη ὅλος ὁ διάβολος συνέσκε-
ψεν αὐτῷ. τοῦτο αἰτήσας ἀπὸ θ(εο)ῦ. χειμὼν ἦν τῷ ἰὼβ καὶ ὁ
λόγος τῶν φίλων. ἐν τῷ τοιούτῳ χειμῶνι ἀπέστη καὶ ἐκαρ-
τέρησεν. ὡς δὲ νοήμων κυβερνήτης [illegible] ἐπεὶ τὴν ἀλη-
θινὴν πίστιν οὐκ ἐναυάγησε. διὰ τοῦτο ὁ χρηματίζων αὐτῷ πρὸς
σύμβολον τοῦ καταλαμβάνοντος αὐτῷ χειμῶνος, ἐν ᾧ
καὶ διέλαμψε, διὰ λαίλαπος χρηματίζει, καὶ εἰ μὴ [illegible]
ἔμεινεν τὰ τοῦ ἰὼβ ἐν τῇ πειράσει ταύτῃ αὐτῷ καταλειφθῆ-
ναι ταῦτα πάσχοντα καὶ ἐξελθεῖν τὸν βίον. ἐλάλησεν ἂν αὐ-
-τῷ ὁ κ(ύριο)ς διὰ λαίλαπος μόνος. νῦν δὲ μεταβάλλεται ἐπειδὴ αὐ-
-τοῦ τὰ πράγματα ἀπὸ χειμῶνος εἰς εὐδίαν. καὶ ἐπειδὴ
ἀπείληφε τὴν ὑγείαν τοῦ σώματος. διὰ τοῦτο ὁ χρηματίζων
αὐτῷ, οὐ μόνον διὰ λαίλαπος, ἀλλὰ καὶ διὰ νεφέλης λαλεῖ:
οξ Τοῦ ἁγίου ἰω(άννου): Ἐπειδὴ σύμβολον οὐρανοῦ νέφος.
ὡς ἂν εἰ αὐτοῦ ἐπιστῆναι βουλόμενος τὸν οὐρανὸν τῷ ἰώβ. οἱ-
-ονεὶ τὸν θρόνον αὐτοῦ ἤγγικε πλησίον αὐτοῦ. ὥστε αὐτοῦ διέ-
-τεινε τὴν διάνοιαν, καὶ ἐπείθετο ὅτι ἄνωθεν αὐτῷ φέρεται ἡ
φωνή. καθάπερ ὅτι τὸ ἱλαστήριον ἀπὸ τῆς κιβωτοῦ. τοῦτό μοι

δοκεῖ καὶ ἐπὶ τοῦ ὄρους γενέσθαι, ὅτι νεφέλη ἐπέστη, ἵνα μάθωσιν ὅτι ἄνωθεν ἡ φωνή:

ιη Τίς οὗτος ὁ κρύπτων με βουλήν· συνέχων δὲ ῥήματα ἐν καρδίᾳ:

σ. σκοτεινὸς γνώμη: Ὀλυμπιοδώρου:

Ἐπειδὴ τὰ μὲν ἀσαφῶς ὁ Ἰὼβ διελέχθη, εὐσεβεῖ μὲν τῇ διανοίᾳ χρώμενος, τραχυτέρᾳ μὲν τῇ ἑρμηνείᾳ· καὶ ἐπειδὴ συνετίθετο μὲν τοῖς τοῦ Ἐλιοὺς λόγοις ὀρθοδοξαστικῶς τὰ περὶ θεοῦ λέγοντος, ἐσιώπα δὲ καὶ οὐκ ἀπεκρίνατο· καὶ οἱ φίλοι γὰρ καὶ ἐξ ἀρχῆς καίτοι ὡς ἀσεβῆ τὸν Ἰὼβ συνειδότες, ὅμως ὡς ἁμαρτωλὸν κατέκριναν. φησὶν ὁ θεός· τίς οὗτος ὁ κρύπτων με βουλήν, ἀντὶ τοῦ οὐδεὶς οἶδεν ἀποκρύψαι με δύναται· ἀλλὰ καὶ τὰ τῶν καρδιῶν οἶδα κινήματα, κἂν τὰ διὰ λόγων μὴ ἐξαγγέλλονται. ἐπιρρωννὺς οὖν τὸν Ἰὼβ ὡς πρὸς φίλον ταῦτά φησιν, ἵνα εἴπῃ ὅτι οὐκ ἠγνόησά σου τὴν εἰλικρινῆ διάθεσιν ὦ Ἰώβ, κἂν δοκῇς, κἂν ἀσεβεστέροις κέχρησαι τοῖς λόγοις. οἶδα καὶ τῶν σῶν φίλων ἐν τοῖς περὶ σοῦ λόγοις τὴν τοῦ δικαίου παραλεσθήν: οη

Ἰουλιανοῦ:

Τίς οὗτος ὁ κρύπτων με· οὐχ ὡς τοῦ Ἰὼβ οὕτω περὶ τοῦ θεοῦ φρονοῦντος· ἀλλ' ἐπειδὴ πρὸς τὰ παρὰ τοῦ Ἐλιοὺς σιωπῶν ὁ Ἰὼβ ἠγνοεῖτο διὰ τὴν αἰτίαν σιωπᾷ, πότερον ὑπερφρονήσας τοῦ Ἐλιοὺς ἢ οὐκ ἔχων τί εἴπῃ, ἐπιφανεὶς ὁ θεὸς τὸν μὲν ἀξιοῖ τῆς θείας ὁμιλίας, τοῦ δὲ τὴν ἀμφιβολίαν λύει ὡς οὐχ ὑπερεπτικῶς ἐσιώπα, ἀλλὰ τῷ εὐλόγῳ τῶν εἰρημάτων ἐξευθείς· οὐκοῦν ὁ μὲν δίκαιος ὡς πρὸς τοῦ θεοῦ μαρτυρούμενος, οη

ὁ δὲ ἀπηλπισμένος, ὡς μηδὲν αἰσχρὸν καὶ ἀνάξιον θεοῦ φθεγ-
ση ξάμενος: Μεθοδίου: Ἐπειδὴ νενίκηται ὁ περιεράξων,
μέγα φρονεῖ ὁ ἀγωνοθέτης, ἐπειδὴ τῷ ἰδίῳ ἀθλητῇ φησὶν ὡς περὶ
τοῦ νενικημένου· τίς οὗτος ὁ κρύπτων. τίνι γὰρ ἐφαρμόζει λέγε-
σθαι τοῦτο. ὁ Ἰὼβ οὐκ ἔκρυπτεν εὐσεβὴς καὶ δίκαιος ὑπάρχων· οὗ-
τος δὲ ὁ ἐπίβουλος κρύπτειν ἐθέλει καὶ ὑπολαμβάνει τὸν θεὸν
τὰς βουλὰς αὐτοῦ μὴ κρυπτομένας ἀπὸ τοῦ θεοῦ, πλὴν αὐτὸς
ταῦτα ποιεῖ ὡς κρύπτων· καὶ γὰρ ὁ ἀδὰμ ὅτε ἥμαρτεν, ὡς
τὸ κρύπτεσθαι ἀπὸ προσώπου κυρίου:
Τίς οὗτος ὁ κρύπτων με βουλήν, συνέχων δὲ ῥήματα ἐν καρ-
δίᾳ· ἐμὲ δὲ οἴεται κρύπτειν· ἔστιν ὥσπερ ἀνὴρ τῶν σοφῶν
σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι:
ση Τοῦ ἁγίου Ἰω(άννου): Θαυμαστὰ ποιεῖ. ἐμοὶ δοκεῖ ἀπὸ τῶν
ῥημάτων τούτων παραξομένῳ ἕτερον ἢ αὐτοῦ τὴν διάνοιαν εἰ-
δέναι· ἐπειδὴ γὰρ πολλὰ ἦν ἀκατάλληλα διάνοιαν ἔσχεν ὁ Ἰὼβ
καὶ εἰς μέσον ἐξενεγκεῖν οὐκ ἐτόλμα· ἀπὸ τούτου πρώτου διανί-
στησιν αὐτόν, καὶ δείκνυσιν ὅτι προνοεῖ τῶν ἀνθρωπίνων πραγ-
μάτων καὶ πάντα οἶδε σαφῶς· ὥστε ἀπὸ τῶν προτέρων ἐκείνων τὰ
ἀρχαῖα τῶν μᾶλλον ἀσυγγνώστων. εἰ γὰρ ἅπερ ἐτόλμησεν εἰπεῖν
οὕτω φορτικὰ καὶ ἐπαχθῆ πολλῷ μᾶλλον ἐκεῖνα· διὰ τοῦτο προ-
τέροις αὐτοῖς ἐπιτίθησι τὸ φάρμακον· τίς οὗτος φησίν, ὅ μου
ἐκ προοιμίων δείκνυσι, τὸ μέσον τοῦ θεοῦ, οἷον τίς ὁ κρύπ-
των με ἐπιχειρῶν εἰπεῖν μοι τὸν τὰ ἀπόρρητα μετὰ ἀκριβείας εἰ-
δότα. μὴ γὰρ οὐκ ἐπειδὴ οὐκ εἶπες ἀλλὰ ὀλίγα ῥήματα εἰπών· ἐ-

γέγονε καὶ γέγονε λόγος ἐν κρύπταις· ὁρᾷς πῶς δὴ ἡμέρως
πῶς διορθωτικῶς καὶ ἐλεγκτικῶς : Ὀλυμπιοδώρου :

Ἀνδρείως τοίνυν ἀπορρίψων τὴν ἀθυμίαν· καὶ ἐπειδήπερ οθ
φησὶν ἐπεθύμεις εἰς ἐμὴν ὁμιλίαν ἐλθεῖν, ἰδού σοι δια-
λέγομαι· ἰδοὺ πληρώσω τὴν αἴτησιν, ἀποκρίθητι πρὸς τὰ
λεγόμενα : Μεθοδίου : Ὡς πρὸς τὸν διάβολ(ον) οη
γενναίως εἶπε· ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου καὶ ἐρω-
τήσω σε· οὐ πιστεύεις με εἶναί σου σοφώτερον· ἐμοὶ ἀμείψας
εἶναι νοῦς· οὕτω γὰρ καὶ ὑπὸ τοῦ ἡσαΐου λέλεκται ὁ διά-
βολος· ἐπάξω ἐπὶ τὸν νοῦν τὸν μέγαν τὸν ἄρχοντα τὸν ἀσσυ-
ρίωνα· λέγει οὖν αὐτῷ· ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου.
οὐ ζώννυται δέ· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι· ὁ
δὲ οὐ δύναται αὐτῷ ἀποκριθῆναι· τίς γὰρ ἔγνω νοῦν κυρίου,
ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο : τοῦ ἁγίου Ἰω(άννου) :

Ἐπειδὴ καταβεβλημένος ὑπὸ τῆς ἀθυμίας ἦν διανίστησιν οθ
αὐτὸν διὰ τῶν ἐγκωμίων, ὥστε προσέχειν τοῖς λεγομένοις.
καὶ κατὰ ἐρώτησιν προάγει τὸν λόγον, ὅπερ ἐστὶν ἐλεγκτι-
κώτατον· μάλιστα δείκνυσιν ὅτι πᾶσα σοφία καὶ συνέσε-
σοία, καὶ οὐκ ἦν τοῦ τοσαῦτα μὲ σοφίας καὶ συνέσεως
ἐξηγουμένου, ἂν τὸ δύνασθαι ταῦτα ἐλεγχθῆναι παρίστησιν
καὶ ὡς εἰκότα πάσχοντα κακῶς :

Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν· ἀπάγγειλον δέ μοι
εἰ ἐπίστῃ σύνεσιν : Ὀλυμπιοδώρου :

Ἐπειδὴ ἐπεθύμεις φησὶν ὅτι ἠγνόεις τῶν ἐπαγομένων σοι π

τὴν ἔκβασιν καὶ τῶν σῶν ἀγώνων τὴν ὑπόθεσιν· ἰδοὺ ἐρωτῶ σε
καὶ ἄλλα μυρία ὧν τοὺς λόγους ἀγνοεῖς· διδάσκει δὲ ἡμᾶς ὁ θεὸς
πρὸς τὸν ἑαυτοῦ φίλον διαλεγόμενος· ὅτι καὶ ποιητὴς τῶν ὅλων
ἐστί· καὶ ὅτι ἀνέφικτα τὰ βάθη τῆς αὐτοῦ σοφίας· τίς γε δὲ
ὅτι νῦν πρῶτον θείας φωνῆς ὅπερ τῆς δημιουργίας τῆς κτί-
σεως ἐπιγράφεται λόγος· καὶ γὰρ ἔφαμεν ὡς πρὸ τοῦ νόμου
ἰὼβ ἐτύγχανεν· ἢ γὰρ καὶ ἀπὸ μεγέθους καὶ καλλονῆς
τῶν κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖ-
-ται καὶ τοῦτο ἴσασιν οἱ φιλόθεοι· ἀλλ' ἐκ θείας φωνῆς νῦν
πρῶτον τοῦτο ἀκούομεν· εἰ οὖν ἔχεις φησὶ σύνεσιν τῆς ποι-
ήσεως τῶν κτισμάτων ἀποκρίθητί μοι : Μεθοδίου :
π Ἐμοὶ φιλονεικεῖς καὶ πρὸς ἐμὲ ἵστασαι καὶ τοῖς ἐμοῖς ἀντι-
-τοῖς ἀνταγωνίζῃ· ποῦ δὲ ἦς ὅτε ἐγὼ τὴν γῆν περιεγραφόμην·
τίς ἦς τότε ἤδη φησὶ πεπολόκεις· καὶ γὰρ ἐν τῇ ἀρχῇ τῆς κοσμο-
ποιΐας σκότος ἦν φησὶν ἐπάνω τῆς ἀβύσσου· σκότος ἦν δὲ
τοῦτο οὐ κληθὲν σκότος, ἀλλὰ παραστατικῶς ἐξ ἀμοίρου
εἶναι σκότος τὴν τοῦ φωτὸς χώρισιν : Τοῦ ἁγίου Ἰω :
π Τί λέγεις φησὶ μετὰ ἀκριβείας αὐτὸς ἐπέδειξα διὰ σὲ
σὲ τὰ φρασόμενα, ὅπου ἐκείνην ἐποίησα, διὰ τοῦτο σοι
λέγει τῆς πλάσεως τὴν σοφίαν καὶ τὴν δημιουργίαν τὴν
κατὰ τὴν σκευήν· ἀλλ' ἐκ περιουσίας ἀπὸ τῆς γῆς, ἀπὸ
τοῦ οὐρανοῦ δεικνύς· ὅτι ὁ κόσμος φησὶ τοιαύτης ἀπο-
λαύει προνοίας διὰ σὲ πολλῷ μᾶλλον : Καὶ μετ' ὀλίγα :
Οὐκ εἶπεν ὅτι ἐποίησεν· ἀλλ' ὅτι ἐθεμελίωσα· καὶ γὰρ αὐτό

τὸ στῆναι αὐτήν, μεγάλης τέχνης ἦν, οὐκ ἔχουσα θεμέλιον
οὔτε κρηπῖδα· ὥσπερ οὐδὲ ἐπὶ βάθρα σώματος ὄγκον, τοσοῦτον
συναρμῶσαι καὶ πῆξαι βεβαίως· οὕτως ὡς ἐν τοσούτῳ χρό-
νῳ μὴ παρασαλευθῆναι:

Τίς ἔθετο τὰ μέτρα αὐτῆς εἰ οἶδας· ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον
ἐπ' αὐτῆς· ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασιν· τίς δέ ἐστιν ὁ
βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς:

∴ ε σχοινίου μέτρου· α κανόνα: Ὀλυμπιοδώρου:

Ἐξ ὁμοιωμάτων τῶν παρ' ἡμῖν οἰκοδομικῶν μέτρα ἔθετο πα
καὶ σπαρτίον ἐπὶ τὸ ὀρθὸν τῶν οἰκοδομημάτων ἀποτει-
νόμενον, καὶ λίθον ἐκάλεσεν γωνιαῖον συνδέοντα τοὺς
τοίχους· κρίκους δὲ λέγει τοὺς ἀναβαστάζοντας· εἶτα οἷον
φησίν εἰ τούτων τοὺς λόγους ἐπίστασαι: Μεθοδίου:
οὐχὶ τὸ μέτρον, ἀλλὰ τὰ μέτρα, ἵνα τὰς διαφορὰς τῆς γῆς πα- πα
ραστήσῃ, τῆς τόδε τι τυχὸν φερούσης, καὶ τῆς ἕτερόν τι καὶ ἄλλης
ἄλλο: Τοῦ ἁγίου Ἰω(άννου): Ἀπόρρητα μανθάνο- πα
μεν μυστήρια οὕτως, καὶ τί πρὸς τὸν Ἰὼβ λεγόμενον,
οὐ πρὸς ἐκεῖνο ἤρετο μᾶλλον ἢ πρὸς ἡμᾶς· ζῶσαι ὥσ-
περ ἀνὴρ τὴν ὀσφύν σου· καὶ γὰρ εἰ μὴ ταύτης δεῖ τῆς προ-
θυμίας καὶ τῆς ἀναστάσεως: Τοῦ αὐτοῦ:

Πρῶτον μὲν ἐκρέμνησε, εἶτα φησί· ποῖοι κρίκοι αὐτὴν φέ-
ρουσι· πάλιν οὐχ ὡς τούτων ὄντων, ἀλλ' ὡς ἀσφαλῶς οὔσης
βεβηκυίας αὐτῆς· ὥσπερ γὰρ οἱ κρίκοι ἦσαν ἄνωθεν βαστά-
ζοντες καὶ πεπηγότες· ἐπειδὴ γὰρ οἱ κρίκοι μετέωρον φέρ

φέρει τὸ σῶμα· τὸ δὲ μηκέτι ὥσπερ οὐχ ἑστηκέναι. δηλοῦν τὸ φησί
οτο προσπήγνυσιν: τοῦ ἁγίου ἰω(άννου): Ἄρα οὐχ ἁπλῶς
τοιαύτης γεγένηται, οὐδὲ ὡς ἔτυχεν· ἀλλ' ἐμοὶ δοκεῖ ἡ καὶ
τὸ τυχὸν δεῖ ἔθει ἀναίτιον εἶναι· καὶ ὥσπερ ἀφηγεῖται
μοι ὡς τῷ λόγῳ πάλαι αὐτὴν κεκινῆσθαι: τοῦ αὐτοῦ:
οτο Τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς. ὅτι οὕτως ἐστή-
κει ἑδραῖος ὥσπερ ἐπὶ οἰκοδομῆς ἐπ' ἀσφαλείᾳ βεβηκυῖα
θεμελιῶσαι τῇ βουλήσει τοῦ θεοῦ· ἐν τῇ γὰρ χειρὶ αὐτοῦ
οτο τὰ πέρατα τῆς γῆς: τοῦ αὐτοῦ: Λίθον
γωνιαῖον τοῦτο δύναται καὶ εἰς τὸν μονογενῆ τοῦ θεοῦ
υἱὸν δηλονότι ἐφαρμοσθέντα νοεῖσθαι κατὰ τὸ ἐν ψαλμοῖς·
λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες. οἱ τῶν ἰου-
δαίων διδάσκαλοι οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας·
εὐδοκία γὰρ τοῦ πατρὸς ἐλθὼν ἐπὶ γῆς, συνῆψεν ἐν ἑαυτῷ
τοὺς δύο λαοὺς τῶν ἰουδαίων τε καὶ ἐθνῶν. ὥσπερ ἀμέ-
λει καὶ ὁ γωνιαῖος λίθος ἀμφοτέρους συνδεῖ τοὺς τοίχους:
Ὅτε ἐγενήθησαν ἄστρα· ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες
ἄγγελοί μου· ἔφραξα δὲ θάλασσαν πύλαις· ὅτε ἐμαίμα-
σεν ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπορευομένη:
∴ ἀγ(γελοι) θ(εοῦ) ἅμα υἱοὶ θεοῦ: Ὀλυμπιοδώρου:
πβ Ἐντεῦθεν διδασκόμεθα πρὸ τοῦ αἰσθητοῦ κόσμου τοὺς ἀγ-
γέλους εἶναι ἐκπληττομένους ἐφ' ἑκάστῳ τῶν δημιουργη-
μάτων, καὶ ὑμνολογοῦντας τὸν τούτων τε καὶ τὸν ἑαυτῶν
πβ ποιητήν: Μεθοδίου: Φωνῇ δὲ μεγάλῃ, ἤγου-

γλῶσσα φθεγγομένη, ὡς τὸ ἀποστολικόν· ἴδετε πηλίκοις
ὑμῖν γράμμασιν ἔγραψα· τοῖς τὰ ἡλικαῦτα ἐπὶ ὅλῳ (?) σημαί-
νουσιν· τοῦ ἁγίου Ἰω(άννου): καὶ ὕμνησαν φω- πδ
νῇ μεγάλῃ, ἐπιστρέφοντες τὸ πλῆθος, τὸ κάλλος, τὴν θέσιν,
τὴν χρείαν, τὴν φαιδρότητα, τὴν λαμπηδόνα, τὴν ἁρμονίαν,
τὰ ἄλλα πάντα. ἅπερ ἀκριβέστερον ἡμῶν συνορῶσιν ἐ-
κεῖνοι: τοῦ αὐτοῦ: ἀπὸ τούτου δῆλον ὅτι πδ
πρῶτοι ἄγγελοι τοῦ κόσμου γεγένηνται. καὶ φωνῇ φησὶ
μεγάλῃ ᾔνεσαν. τουτέστιν ὑπὸ τῆς ὄψεως αὐτὸν ἐξεπλά-
γησαν: Πύλαις αὐτὴν τοῖς ὅροις (?) τοῖς θείοις περιέκλεισε πε
προστάγμασι: Ὀλυμπιοδώρου: Ἐμαίμασσε· πϛ
τουτέστιν ὁρμητικῶς ἦλθε καὶ πρὸς τὰ κοινὰ καὶ σύμμε-
τρα αὐτῆς χωρεῖα καλεῖ (?) πρόσταγμα· ἀκούουσα τοῦ θεί-
ου προστάγματος· συναχθήτω τὸ ὕδωρ εἰς συναγωγὴν μί-
αν. μήτραν δὲ αὐτῆς τὴν ἄβυσσον λέγει ἢ καὶ τὴν ἑαυτοῦ δύνα-
μιν, ὡς αἰτίαν αὐτῆς τῆς ὑπάρξεως:
Ἐμαίμασσεν οἰονεί. ἀνάλογα (?) δὲ ἐκ τοῦ πάγαι ἥν φησιν (?) πϛ
ἐμαίμασσεν οἷον ὡς βρέφος πηδῶντα (?) ἀποκριθῆναι
τῆς ἀβύσσου: τοῦ ἁγίου Γρηγορίου:
Ἐμαίμασσε, αὐτὴ τοῦ ἀναρράσσειν (?)· ὑπερμαίνεται προσθεῖ- πϛ
μαν (?) τινὰ ἔχων θυμοῦ συγγενῶν (?): τοῦ ἁγίου Ἰω(άννου):
Τουτέστιν ὅτε ἐγεννᾶτο σὺ αὐτὴν ἐστοίχησας· τινὲς δὲ ἐν ἐκ- πϛ
φησὶν ὅτι ἐμαιοῦτο· οὕτω παρήχθη ὅτι κατὰ μικρὸν
γίνεται καὶ οὐχ ὁμοῦ· οὕτω παρήχθη· παρὰ πέμπτῃ δὲ πρὸς

τὴν διήγησιν τὴν κινήσεως τοῦ ἀκροατὴν κατασκευαζομένη.
οὕτω πρῶτον μὲν διεχύθη· εἶτα δὲ ἐπλάσθη καὶ ζωώθη:
Ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν· ὁμίχλῃ δὲ αὐτὴν ἐσπαρ-
γάνωσα· ἐθέμην δὲ αὐτῇ ὅρια περιθεὶς κλεῖθρα καὶ
πύλας· εἶπα δὲ αὐτῇ μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερ-
βήσῃ: ∴ Σ καὶ ὡς νεφέλην περιείλησα αὐτῷ.
∴ Σ ἕως ὧδε τελαχθῶ τὸ ἔπαρμα τῶν κυμάτων σου:
πε Ὀλυμπιοδώρου: Νέφος λέγει καὶ ὁμίχλην τὴν ἀγνω-
σίαν καὶ ἀκαταληψίαν· φησὶ οὖν ὅτι οὐδ' ἂν εὕροι τις ὅπῃ
τὴν θάλασσαν περιέδησα, ὅθεν καὶ ἐπιφέρει:
πε Τοῦ αὐτοῦ: Ἐξ αὐτῆς γὰρ νέφη καὶ ὁμίχλαι, ὡσ-
περεὶ βρέφους δὲ τὸ ἐθέμην καὶ ἐσπαργάνωσα:
πε ἢ δὲ τοῦτο τῆς φύσεως εἶναι νομίσῃς τοὺς ἀλίμους τοὺς
ἀπὸ τῶν ὑδάτων, καὶ τοῦτο ἀπὸ τοῦ ἐμοῦ προστάγματος
φησί: Τοῦ ἄλλου ἰω: Τίνος ἕνεκε φησὶν ἐσπαρ-
γάνωσα· ἆρα ὡς τῷ βρέφει χρήσιμα τὰ σπάργανα,
οὕτω καὶ τῇ θαλάσσῃ, ὅτι ἐξ ἀρχῆς τοῦτο γέγονεν, ἢ ὅτι
τοῦτο αὐτὴν κατέχει· ἢ τὸ θαυμαστὸν δείκνυσιν· ὅτι τὸ ῥευ-
στὸν περιεβάλλων ἄκρη· καὶ ὅτι οὐχ ὑπὸ γῆς μόνης, ἀλλὰ καὶ
ὑπὸ ἀέρος κατέχεται· οὔτε πρὸς ὀλίγον ἐξενεχθῆναι παρὰ
τὸ μέτρον δυναμένη: Ὀλυμπιοδώρου:
πς Ὅμοιον τῷ [illegible]ωτέρῳ ἔφραξα δὲ θάλασσαν πύλαις· πε-
ριώρισα γάρ φησι τῆς θαλάσσης τὰ κύματα ἵνα μὴ τὴν
ὁροθεσίαν ὑπερβαίνοντα τὴν γείτονα λυμαίνοντα χέρσον:

τοῦ ἁγίου Ἰω(άννου): Πτ ἀλλ' ὁ τοιοῦτος ἀσφαλῶς ἐστι· πς
ὥσπερεὶ δεδεμένον· διὰ μὲν τὸ ἀσφαλές· διὰ δὲ τὸ ἐξῆς
τὸ εὔκολον δείκνυσιν: τοῦ αὐτοῦ:
Πτ ἀλλ' εὐθέως ἐπὶ τὸν οὐρανὸν αὐτὸν εἵλκυσε, ἐπείπερ
ἀπὸ τῶν κάτω διαλεχθείς: τοῦ αὐτοῦ: +
Ὀ οὕτω μὲν γὰρ ἀσφαλῶς κατέχει αὐτῶν, ὥσπερεὶ κλείθροις· +
οὕτω δὲ εὐκόλως, ὥσπερεὶ ἐπιτάξας· εἶπε γάρ φησι καὶ οὐ-
κέτι αὐτὴ ἐπεὶ· ὅταν μηδεμιᾶς αὐτὴν ἀνάγκης ὠθού-
σης τοῦτο γίνεται· ἀλλὰ καίτοι πολλῆς τῆς βίας καὶ τῆς ῥύμης,
οὕτως αὐτὴν μαστίζουσι· διὰ γὰρ τοῦτο οὐ καθῆκεν αὐτὴν
εἶναι γαληνιαίαν· οὐ ἡμέρων δὲ ἀνακηρύττει τοῦ θεοῦ
τὴν ἰσχὺν τῆς φύσεως τῷ προστάγματι μαχομένης, καὶ τοῦ
προστάγματος πανταχοῦ νικῶντος· ἡ γὰρ ἡμερωθεῖσα τὸ ὕδωρ,
τῇ φύσει τοῦ ὕδατος τὴν εὐταξίαν ἀνελογίσαντο πολλοί·
νῦν δὲ ταραττομένης, μαστιζομένης ὠθουμένης ἔνδον,
καὶ τὰ ὅρια ὑπερβῆναι μὴ δυναμένης, διὰ τῆς ταραχῆς
κηρύττει τοῦ θεοῦ τὴν ἰσχύν:
> λ' ἢ ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα· ἢ ἐπὶ σοῦ
> συντέταχα φέγγος πρωϊνόν· ἑωσφόρος δὲ εἶδε τὴν ἑαυτοῦ
> τάξιν ἐπιλαβέσθαι πτερύγων γῆς· ἐκτινάξαι ἀσεβεῖς
> ἐξ αὐτῆς: λβ ἐγνώρισας τῷ ὄρθρῳ τόπον αὐτοῦ·
τοὺς ἐν σκότῳ λῃστάς: Ὀλυμπιοδώρου:
Πτ ἀρχὴ δέ φησιν ὅτι εἶπον γενηθήτω φῶς, καὶ τῷ λόγῳ πξ
τὸ ἔργον παρηκολούθησεν· ἢ ὅτι ἑωσφόρος γεγονώς, τὰ

ἄκρα τῆς γῆς καταφωτίσαι· λέγεται δὲ οὕτως ὁ ἑωσφόρος
καὶ ἐν μιᾷ νυκτὶ καταλαμβάνειν τὸ ἄκρον τῆς γῆς· κατὰ
δὲ ἀλληγορίαν ὁ ἑωσφόρος τοῦ θεοῦ λόγος κατὰ τὸν ὕστερον και-
ρὸν ἐπ' ἐσχάτου τῶν ἡμερῶν κηρυχθεὶς μέχρι τῶν ἄκρων
ἐξετάθη τῆς γῆς· εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος
ου αὐτῶν: Τοῦ ἁγίου ἰὼβ: Τῶν ἀστέρων ὁ
δρόμος· ὅρα καὶ ἐκεῖ τὴν εὐταξίαν ἀπὸ τῶν ὁρατῶν ἐ-
μάθομεν, ὅτι καὶ ἐν οὐρανῷ οὐ φύσει τὰ πράγματα οἰκο-
νομεῖται· ἀλλὰ προνοίᾳ θεοῦ. εἰ γὰρ ἐν ῥευστῇ φύσει καὶ
ἀτάκτῳ, τοσαύτη κεῖται εὐταξία· τοσοῦτος δὲ ῥυθμός,
ὅταν ἴδῃς καὶ ἐν οὐρανῷ τοῦτο· οὐ θαυμάσεις τοῦ αὐτοῦ
ξ τούτων γινομένου: Τοῦ αὐτοῦ: Τοῦτ' ἐστὶ πε-
ποίηκεν τί ἐστιν ἐπιλαβέσθαι, ὅτι ὅπου ἂν ᾖ τὸ φῶς πανταχοῦ
τῆς οἰκουμένης ἐκπέμπει καὶ τοῖς εἰς τὰ πέρατα
ὄντων οὐδὲν θαυμαστὸν περὶ τοῦ ἡλίου τούτου, ὅπου γε καὶ
αὐτοῖς ἄστροις τοῦτο ἐστίν: Ὀλυμπιοδώρου:

Ἐπειδὴ φωτὸς ἀνατολῆς ἐμνήσθη εὐκαίρως εἶπεν ὅτι ἐποι-
ήσατο τὸ φῶς, ἐξ οὗ περ οἱ ἀσεβεῖς ἐκβαλλόμενοι εἰς ἀ-
φεγγῆ καὶ σκοτεινὰ χωρία παραπέμπονται. κατὰ θε-
ωρίαν δὲ τοὺς ἀσεβεῖς δαίμονας ἐξετίναξεν ὁ λόγος ἐν
τῆς διδασκαλίας ὁ εὐαγγελικός: Τοῦ ἁγίου ἰώβ:

πη Περὶ τῶν λῃστῶν καὶ τῶν τυμβωρύχων καὶ τῶν ἄλλων τῶν
λέγει τῶν τῇ νυκτὶ πρὸς τὴν οἰκίαν κεχρημένων
πονηρίαν: Σὺ λαβὼν γῆς πηλὸν ἔπλασας

ζῷον· καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ γῆς· ἀφεῖλες δὲ ἀπὸ ἀ-
σεβῶν τὸ φῶς· βραχίονα δὲ ὑπερηφάνων συνέθλιψας· ἦλθες
δὲ ἐπὶ πηγὴν θαλάσσης· ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας:
∴ τὸν χοῦν ὕδατι βεβρεγμένον· ∷ τῶν ἀσεβῶς
ἐκκλινομένων· ∴ ἃ συνέθλιψας, ἕως συνοχῆς πη-
γῆς· ∴ ἃ ἑωσφόρου ἐκάλεσα: Ὀλυμπιοδώρου:
Ἀλλὰ σύ φησιν ὦ Ἰὼβ λαβὼν χοῦν ἀπὸ γῆς ἔπλασας τὸν ἄνθρωπον· πθ
καὶ λόγῳ τοῦτον ἐκόσμησας ὥσπερ ἐγώ: Σευήρου ἐ-
πισκόπου Ἀντιοχείας: τουτέστι τὸ λογικὸν, τὸ ἐκ πη- πθ
λοῦ πεπλασμένον ἔχων τὸ σῶμα: Τοῦ ἁγίου Ἰω(άννου):
Ὅταν δηλονότι τὰ ἄλλα σιγᾷ τοῦτο· οὐ γὰρ ἄνω ἐξαίρε- πθ
τον αὐτῷ τὸ ἄνω προσθήσω ἀπὸ τῆς ψυχῆς· φωνὴν δὲ ταύ-
την εὔρυθμον καὶ ἐναρμόνιον· ὥσπερ ὅτι οὔτε τοῖς ἄστροις,
οὔτε τοῖς ἄλλοις μαρτυρεῖ αὐτοῦ: Σευήρου Ἀντιοχείας:
ὁ δὲ τεθῆναι ἐπὶ τῆς γῆς ὑπάρχει· τὸ τεθῆναι κυρι-
εύειν καὶ ἄρχειν πάντων τῶν ἐπὶ γῆς· καὶ διὰ τούτου δη-
λῶν καὶ εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ γεγενῆσθαι τοῦ Θεοῦ
πλάσματος: Ἰουλιανοῦ: Ὥσπερ οὖν ἐ-
γὼ φησὶ τοῦ κόσμου κόσμον ἀνέδειξα:
Ὀλυμπιοδώρου: Τοῦτο καὶ περὶ ἀνθρώπων ἀσεβῶν
καὶ περὶ δαιμόνων ἐστὶν ἐκλαβεῖν· ἀφῃρέθη γὰρ
ἀπ' αὐτῶν ἡ γνῶσις τῆς ἀληθείας, καὶ ἡ δύναμις συν-
τριβήσεται· καὶ λύεται ἐντεῦθεν τὸ ἄπορον· τὸ πολλάκις
ὁρᾶσθαι τοὺς ἀσεβεῖς, μηδὲν ἐν τῷδε τῷ βίῳ πάσχοντας

δύσχερές: Τοῦ αὐτοῦ: Ἔπως δὲ φησὶν πό-
θεν ἡ θάλασσα ἔσχε τὴν ἀρχήν. ἢ τὰ ἴχνη τουτέστι τῆς ἀβύσσου
ϛα κατείληφας: Ἰουλιανοῦ: Ὡς ἐκ προ-
σώπου τοῦ πρς, μέγα τί φησιν δεῖ πεπονθέναι τὸν Ἰώβ·
ὅπου γε ὁ ἐμὸς υἱὸς ὁ ἀγαπητὸς οὐχ ὑπεύθυνος ὢν θανάτου
ἤλθε θάνατον· καὶ ἐν ἴχνεσι τῆς ἀβύσσου περιεπάτησας·
ἵνα τοὺς ὑποκειμένους θανάτῳ λυτρώσηται:
ϛα Μεθοδίου: Εἰς ἄβυσσον πολλοὶ καταβεβήκασι· κα-
ταβεβήκασι δέ, ὥστε δεσμίους εἶναι· οὐχ ὥστε περιπατεῖν
ἐν αὐτῇ. εἷς μόνος ἐν ἀβύσσῳ περιεπάτησεν ὡς ἐλεύθε-
ρος. ὅπου ἴχνη περιπατούντων οὐκ ἔστι· καὶ λέγει τοῖς
ἐν δεσμοῖς ἐξέλθατε: Τοῦ ἁγίου Ἰω:
ϛα Πηγὴν ἐπὶ τὴν θάλασσαν τῷ λόγῳ μετήγαγεν· οὐχ ὡς πηγῆς
τῆς θαλάσσης ἐχούσης· ἀλλ' ὡς μὴ ἐκλειπούσης καθάπερ
πηγὴν ἐχούσης: ιϛβ Ἀνοίγονται δέ σοι φόβῳ πύλαι
θανάτου· πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν· νενουθέ-
τησαι δὲ τὸ εὖρος τῆς ὑπουρανοῦ· ἀνάγγειλον δή μοι πό-
σον τίς ἐστιν: ∴ ÷ α ἐνεξιχνίασω· ∴ ÷
∴ α ἀνενόησας· β ζωπήσας· γ ἐνενόησας:
ϛβ Ἰουλιανοῦ: Ταῦτα γέγονεν, ὅτε ὁ κς εἰς ᾅδου
κατέβη τοῖς ἐκεῖ πᾶσι κηρύξαι: Τοῦ ἁγίου Ἰω:
ϛδ Ταῦτα πάντα ἀπὸ τῶν φαινομένων κἀκεῖνα δῆλα· του-
τέστιν ὁ τῆς ζωῆς καὶ θανάτου ἔχων τὴν ἐξουσίαν· πο-
μωτεῖόν μοι ἐστὶν ὁ ᾅδης: Θεοφίλου ἀρχιεπισκόπου

ἀλεξανδρείας : Πηγωερί δὲ φράξων ἀπὸ οὐδὸν εο
ἔθηξαν. τῆς ἐπιφανείας αὐτοῦ κατημελόσι παρ' ἑλλαψίν
ἑρμηνεύει, καὶ τῷ ἔθηξαν λέγων. σημαίνει τὸ θαῦμα.
βασιλεὺς γὰρ ὢν οὐράνιος. καὶ πρὸ φαινόμενος. καὶ τὸ συ-
-γνὸν χωρεῖον τῶν καταλυθοίσων εἰς ἄδου ψυχῶν τῷ με-
γαλοπρεπεῖ τῆς θεότητος καταλάμπων φωτί: τοῦ αὐτοῦ:
Φοβερὸς γὰρ ὢν ἄδη ἐγένετο ὁ σωτήρ : τοῦ ἁγίου ἰω :
Οὐ λέγω ὅτι οὐδὲν δύναται ποιῆσαι ὧν ἐποίησα. ἀλλ' ὅτι οὔτε
οἶδας πῶς γέγονεν. οὐδὲ εἰδέναι αὐτὰ δύνασαι οὐδὲ
θεωρῆσαι πάντα μετὰ ἀκριβείας. διὰ τούτων διδάσκει
αὐτὸν τὸ μέσον αὐτοῦ καὶ ἐκείνου :
> Ποίᾳ δὲ γῇ αὐλίζεται τὸ φῶς. σκότους δὲ ποῖος ὁ τόπος.
> εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν. εἰ δὲ καὶ ἐπίστασαι τρί-
> βους αὐτῶν. οἶδας ἄρα ὅτι τότε γεγέννησαι. ἀριθμὸς
> δὲ ἐτῶν σου πολύς. ἦλθες δὲ ἐπὶ θησαυροὺς χιόνος. θη-
> -σαυροὺς δὲ χαλάζης ἑώρακας : ᾱ θ̄ σκιωσοι ἠρεμεῖ.
:: ὁ ἀλεκποους οἰκήσεως : Εἰπὲ δέ μοι φησὶ ξγ
καὶ ποῦ φωτὸς καὶ σκότους ποῦ ἀποκλείονται, καὶ πόθεν
ἐκπορεύονται. εἰ δὲ τούτων τὰς ὁδοὺς εἰδέναι φαίης. λέγε
ὅτι καὶ τοῦτο ἐγεννήθην ὅτε ταῦτα ὁρισθῆναι ἤθησαν. διδάσκει
δὲ ἐνταῦθα ὅτι καὶ τὸ τοῦ ἀνθρώπου ὀλιγοχρόνιον, οὐδὲ γνῶναι
αὐτῷ τὰ πολλὰ ἐπιτρέπει : τοῦ ἁγίου ἰω :
Ἀνάγγειλόν μοι φησὶ ποῦ τὸ φῶς καὶ ποῦ τὸ σκότος ἀπέρχεται. ξγ
καὶ τί λέγω τὰ τοιαῦτα τὰ κατὰ σαυτόν. εἰπὲ πότε ἐγεννήθη,

καὶ μικρὸν δὴ ἀλλὰ περὶ ἑτέρων μαθών· ἀλλὰ πόσος ὁ χρό-
-νος, τὰ κατὰ τοῦτον οὐκ οἶδας:

τ Δῆλον οὖν ὡς ὑπὸ γῆν καταδύεται ὁ ἥλιος:

ψ Ἀντὶ μισθοδοσίου γὰρ αὐτοῖς τὸ πρόσωπον τοῦ θεοῦ:

υ Ἄνθρωποι μὲν γὰρ ἐξ ἀποθηκῶν ἐξάγουσι· θεὸς δὲ ἐξ οὐκ ὄν-
σϛ -τος ποιεῖ: Τοῦ ἁγίου Ἰω(άννου): Θησαυροὺς λέγει,
τὰ ἀπόκρυφα· ὅτι ἃ οὖν φησὶ πῶς τὴν μὴ φαινομένην
χιόνα καὶ χάλαζαν ἐκπέμπεσθαι παρασκευάζω· εἰ δὲ ἀνα-
-τὸς ἐπὶ τούτοις καταπολεμίων χρήσασθαι ὅπερ ἐγὼ ποιεῖν
σϛ ἱκανός: Τοῦ ἁγίου Ἰω(άννου): Οὐχ ὅτι ἀποθή-
-και εἰσίν· ἀλλ' ὅτι οὕτως ἑτοίμως ὥσπερ ἐκ θησαυρῶν, καὶ
ἐκβαλλομένων δείκνυσιν αὐτὰ ὅταν βούληται:

Ἀπόκειται δέ σοι εἰς ὥραν ἐχθρῶν, εἰς ἡμέραν πολέμου καὶ
μάχης· πόθεν δὲ ἐκπορεύεται πάχνη· ἢ διασκεδάννυται νότος
εἰς τὴν ὑπουρανόν· τίς δὲ ἡτοίμασεν ὑετῷ λάβρῳ ῥύσιν·
ὁδὸν δὲ κυδοιμῶν· τοῦ ὑετίσαι ἐπὶ γῆν οὗ οὐκ ἀνήρ:
:: ἀ. θ. φῶς· :: σ. ἄνεμος· ::: ἀ. θ. τίς δὲ ἔτεμε
τῷ κατακλυσμῷ ὑδραγωγόν· ::: ἀ. εἰς κλύδωνα φω-
-νῶν· σ. ψόφου βροντῆς: Τοῦ ἁγίου Ἰω(άννου):

Ὁρᾷς ὅτι τοῦτο βούλεται τὸ εὐκαιρεῖν δηλῶσαι· ὡς ἄρα κατὰ
καιρὸν τοῦτο γίνεται καὶ οὐχ ἁπλῶς· εἶτα καὶ περὶ τῶν ἄλλων
ἀπαύλων ὑετῶν λέγω καὶ χαλάζης καὶ τῶν ἐναντίων νότου:

σε Ὀλυμπιοδώρου: Πόθεν δὲ ἡ πάχνη, ἢ πῶς ὁ νότος
πολλάκις καθόλης πνεῖ τὴν ὑπουρανόν· πῶς δὲ λαβεῖς

ὁ ὑετὸς καταράσσει· σύνθημα βροντῆς· κυδοιμὸν γὰρ τὴν βροντὴν καλεῖ· μὴ ταῦτα φησὶν ἀνθρωπίας ἔργα τέχνης· οὐκ ἀπορρήτου σοφίας δημιουργήματα: ἰουλιανοῦ :

διὸ διαλύεται ὥσπερ χειμάρρους ἐν τῷ νότῳ· ἄνεμος δέ ἐστιν ῥεῦμα ἀέρος ταῖς τῶν τόπων ἐξαλλαγαῖς, ὅθεν ῥητέας ἐπωνυμίας ἀμείβων : τοῦ καὶ ὀλίγον ἐπίτασιν τῆς βροντῆς : ὕει δέ φησιν ὑετὸς καὶ εἰς τὴν ἀοίκητον, δῆλον δὲ ὅτι καὶ τῶν θηρείων προνοοῦντος τοῦ θεοῦ, καὶ ἡ ἔρημος σπάζη· καὶ χλόην φέρει δίχα τινὸς ἐπιμελείας ἀνθρωπίνης :

Ἔρημον οὗ οὐχ ὑπέχει ἀνὴρ ἐν αὐτῇ· τοῦ χορτάσαι ἄβατον καὶ ἀοίκητον· καὶ τοῦ ἐκβλαστῆσαι ἔξοδον χλόης· τίς ἐστιν ὑετοῦ πατήρ· τίς δέ ἐστιν ὁ τετοκὼς βώλους δρόσου :

※ ※ ※ ἀνάφιον· ::: ἀθ μητι. ὁ ἄρα : τοῦ ἁγίου ἰω(άννου) : ὁρᾷς ὅτι οἰκεῖ ἐν ἡμέρει ἰσχυρὸς ὁ θεός, ἀλλ' ἐν ἅπασι : ὀλυμπιοδώρου :

Ἔχεις δὲ εἰπεῖν ὑετοῦ πατέρα ἢ δρόσου· βώλους δὲ δρόσου, τὰς συστάσεις φησὶ τοῦ δρόσου· ἢ κρυστάλλου, ἢ πάχνης· ἢ τῆς σωισαμένης περὶ τὸ στερέωμα· οὐρανὸν δὲ ἐνταῦθα λέγει τὸν εἰς ὕψος ἀέρα· ὥσπερ ὕδωρ καταράσσει· οὐ θεοῦ ταῦτα σοφίας ἔργα : σευήρου ἀρχιεπισκόπου ἀντιοχείας ἀπὸ λόγου ριγ : ἀσοφίαν ἐμποιῆσαι βουλόμενος ὁ θεὸς τῷ ἰώβ, καὶ ἐλέγξαι αὐτὸν ὅτι πολλὰ ἀγνοεῖ, ὁ δὲ αὐτὶ φιλοσοφεῖν ἐν τοῖς πάθεσιν, εἶπε

τοῦτο ὁ υἱός· οὐ μὴν ὅτι ἐγὼ ταῦτα γεγέννηκα ἢ τεκών· ἀλλ' ἐπειδὴ ἔθος τοῖς ἐπὶ γῆς ἐν χρόνῳ μετά τινος πόνου γεννᾶν· δεικνὺς ὅτι ὀξέως ἄνευ μολυσμοῦ τινὸς βούλεται καὶ παράγει, εἶπε τοῦτο. [illegible]ῶ καὶ τὰ ὀνόματα προσήκει νοεῖν, πρὸς τὴν κατάληψιν τῶν λέξεων τὰ λοιπὰ κανονίζειν· ἕτερος γάρ τις ὑετοῦ πατὴρ ἀπεύει(?) καὶ ἕτερος ὕει καὶ τούτου μονογενοῦς· ὥσπερ δὴ ὁρίζει τὸν μονοτόκως γεννηθέντα ἐκ πατρός, καὶ οὐχ αἱ ὁμωνυμίαι πάντως τὴν φύσιν παρακαλῶν(?) συνάπτουσι(?) καθὼς ὀνομάζονται: —

Ἐκ γαστρὸς δέ τινος ἐκπορεύεται κρύσταλλος· πάχνην δὲ ἐν οὐρανῷ τίς τέτοκεν· ἣ καταβαίνει ὥσπερ ὕδωρ ῥέον· πρόσωπον δὲ ἀσεβοῦς τίς ἔπηξεν· συνῆκας δὲ δεσμὸν πλειάδος:

∴ λθ πέρας. :: Κ Εἰ συνάψεις μωεῖα(?) πλειάδος:

τοῦ ἁγίου Ἰω(άννου): Οὐχ ὅτι ἐκ γαστρὸς αὐτοῦ μὴ γένοιτο, ἀλλά τι βούλεται ὁ λόγος ἐνταῦθα καὶ ἡ γαστήρ· ὥσπερ ὅταν φησὶ περὶ τῆς θαλάσσης· οὐ(?) ἡμῖν τῶν αὐτῶν ἐστίν· οὐχὶ μητέρα λέγει θαλάσσης· οὕτω καὶ ἐνταῦθα· οὐχ ὅτι ἀπὸ γαστρὸς ἐξῆλθεν· ἀλλὰ τὴν διάπλασιν καὶ τὴν αἰτίαν· οὕτω καὶ ἐνταῦθα· τίνος οὖν ἕνεκεν τὸ ὄνομα τοῦτο προστέθηκεν ἐνταῦθα συνεχῶς· ἐμοὶ δοκεῖ καὶ τὸν αἴτιον αἰνίττεσθαι βουλόμενος, τὸ πρῶτον καὶ μόνον καὶ τὸ διαπλάττεσθαι τὰ δημιουργήματα καὶ πείνῃ(?) ἀλλὰ ἀμαρτηθῆναι· ὥστε κἂν ἐπὶ τοῦ υἱοῦ ταῦτα λέγηται· περὶ τὸ αὐτὰ περιφέρουσιν· ἐκεῖ γὰρ ὁ υἱὸς καὶ τὸ ἐγέννησα καὶ τὸ μονογενές,

ὅτι τοιαῦτα· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον :

Ἡ πάχνη κατιοῦσα κρυσταλλοῦται εἰς θαλάμους ὁ ἀήρ γάλα : σ

Ὀλυμπιοδώρου : Κατὰ μὲν τὸ ῥητὸν ἐπὶ ἁπλῶς ἀ- ξη
στέρος τοῦτο νοήσεις· πρὸς δὲ διάνοιαν τὴν ἁρμόττουσαν τοῦ
ἐχθροῦ· τῶ δὲ σημαίνει τὸ πρόσωπον τίς ἠφάνισεν· οὐχ ὁ
μονογενὴς τοῦ θεοῦ λόγος, ὁ καὶ τῆς κτίσεως ποιητής :

Τοῦ αὐτοῦ : Τῆς δὲ σῆς φύσεως φησί τοιοῦτον
ἔργον τὸ ὥσπερ δεδέσθαι· καίτοι ὡς δὲ συγκεῖσθαι τοὺς
συμπληροῦντας τὴν πλειάδα ἀστέρας· ἢ τὴν αἰτίαν οἶδας,
δι' ἣν οὕτως ἀλλήλοις συνηρμόσθησαν :. Τοῦ ἁγίου :

Τουτέστι ποία ἀνάγκη, ποῖος σύνδεσμος ἐκεῖνα τὰ ἄστρα ξθ
συνεχῶς συναγελάζεσθαι ποιεῖ :

> Καὶ φραγμὸν ὠρίωνος ἤνοιξας· ἢ διανοίξεις μαζουρὼθ ἐν και-
> ρῷ αὐτοῦ· καὶ ἕσπερον ἐπὶ κόμης αὐτοῦ ἄξεις αὐτόν· ἐπίστα-
> σαι δὲ τροπὰς οὐρανοῦ. ἢ τὰ ὑπουρανὸν ὁμοθυμαδὸν γινό-
> μενα· καλέσεις δὲ νέφος φωνῇ :

∴ ἢ ἀναφώσεις τὰ σκορπισθέντα, κατὰ καιρὸν αὐτῶ ἕ-
καστον· ∴ α̂ καθοδηγήσεις· ∴ β̂ συντάγματα,
γ̂ διαλέξεις : Ὀλυμπιοδώρου :

Ἐπειδὴ κατὰ καιρὸν ὁ ὠρίων φαίνεται, ἢ σύ φησί παρασκευ- ξ
άζεις αὐτόν, ὥσπερ τινὶ διαφράγματι ἀποκρύπτεσθαι καὶ
πάλιν φαίνεσθαι : Τοῦ αὐτοῦ :

Μαζουρὼθ ἐν καιρῷ αὐτοῦ τὰ συστήματα λέγει τῶν ἀ- α
στέρων ἃ ἡ συνήθεια ζώδια καλοῦσι· ποῦ οὖν φησίν

ἀποκέκλεισται ταῦτα, καὶ καλὰ ἤκουσεν φαίνεται· ἄλλοι δὲ
φασὶ μαζουρὼθ ἑβραϊκὴν εἶναι τὴν λέξιν· σημαίνει
δὲ τὸν ἀστρῷον κύνα: τοῦ αὐτοῦ:
ϛ̄ Κόμην τὴν ὑπερβολὴν τῆς λάμψεως λέγει καὶ τὴν εὐπρέπειαν·
μὴ σύ γε φησὶ τοὺς παράγῃς, οὕτω λαμπρῶς ἐκλάμ-
γ̄ πουσα: τοῦ αὐτοῦ: Τὰς δὲ τοῦ ἀέρος
φησὶν ἐπισταλαι λειβάς, ἢ ἅπαξ ἁπλῶς πάντα τὰ ὑπουρα-
νοῦ γινόμενα ὅπως γίνεται· ἀλλὰ σπεύδει ἐπὶ τὰ ἔξω νέφε-
σιν, καὶ οἱονεὶ τρέμοντα ὑπακούσονται τῷ σῷ προστάγματι
πειθόμενα τὰ ὕδατα:
Καὶ τρέμω ὕδατος λαβεῖν ὑπακούσεται σου· ἀποστελεῖς δὲ
κεραυνοὺς καὶ πορεύσονται· ἐροῦσί σοι ἰδοὺ πάρεσμεν. τίς δὲ
ἔδωκε γυναιξὶ ὑφάσματος σοφίαν:
:: ἀθ καὶ ὁρμὴ ὑδάτων· :: οἷον ἀστραπαῖς·
::: ἀ ἰδοὺ ἡμεῖς πάρεσμεν· ::: καίτοι τὰ ἄλλα
ἀσθενέστερ' ὄντα εἰς: Ὀλυμπιοδώρου:
Ἴσως ὥσπερ φησὶ τινὲς οἴκεται οἱ κεραυνοὶ ἐπιτάττονται παρὰ
σοῦ πορεύεσθαι καθ' ὧν ἂν ἐκπέμπονται, καὶ ἕτοιμοι ὄντες
πρὸς τὸ ἐπίταγμα, μονονουχὶ φωνὴν ἀφιέντες λέγουσι τί
ἐστιν ὃ ποιεῖν ἡμᾶς προστάττεις: τοῦ ἁγίου ἰω:
Τέως ἀπὸ τῶν καθ' οὐρανὸν πραγμάτων τῶν κολαστικῶν, τῶν
εὐεργετικῶν· ὅρα καὶ κεραυνοὺς ἀποκρινομένους· οὐχ ὅτι
ἐροῦσιν οἱ κεραυνοὶ ἰδοὺ πάρεσμεν· ἀλλ' ὅτι ἅπαντα καθάπερ ἔμψυ-
χα οὕτως ὑπακούει τῷ θεῷ: τοῦ αὐτοῦ:

Πέρα καὶ τὸ

Ὅρα καὶ τὸ χρήσιμον, τοῖς μεγάλοις ἀναμίγνυσι τὰ μικρά· ϛο
οὐ γὰρ ἡ τυχοῦσα σοφία ποικίλη τῆς ὕλης· οὐ γὰρ μικρὰ ἡ
χρῆσις· ἦ γὰρ ἂν προεῖτο τὰ ἔργα τῆς τέχνης μὴ προσθείσης· καὶ
ὅρα οἷον αὐτῶν ἔλαβε τέλος: Ὀλυμπιοδώρου:

Τίς δὲ γυναῖκας ἐσόφισεν εἰς ὑφασμάτων κατασκευήν, καὶ ε
εἰς τὸ ταῦτα καταποικίλλειν ταῖς τῶν ἐρίων βαφαῖς τε καὶ
χρώμασι· δείκνυται δὲ διὰ τούτων, ὅτι καὶ ἡ τεχνικὴ σοφία
τοῖς αὐτοῖς παρὰ θεοῦ: Σευήρου ἐπισκόπου
Ἀντιοχείας, ἐκ τῆς πρὸς Ἀναστασίαν ἐπιστολῆς:

Τῆς περὶ τοὺς ἱστοὺς φιλοτεχνίας καταμελήσῃς, καὶ ὡς ε
ἀπερριμμένας λογίσῃ· καὶ γὰρ καὶ ἐν τούτοις ἔνεστι θεία
σοφία, καὶ τὸ οὐκ αἰσχύνεται θεὸς ἰδίαν ἀποκαλεῖν ἑαυτοῦ.
οὐ καλὸν εἶναι ταύτης πατέρα καὶ χορηγόν· ἀπαριθμού-
μενος γὰρ τὴν οὐρανοῦ καὶ γῆς ποίησιν, καὶ θαλάττης
κλεῖθρα, καὶ ἀστέρων θέσιν καὶ ὑετῶν ῥύσιν, καὶ τὰ ἄλλα
ὅσων κυβερνᾷ τὴν ἐπιμέλειαν ζώων, ἔφη πρὸς τὸν Ἰώβ· τίς
ἔδωκε γυναιξὶν ὑφάσματος σοφίαν, ἢ ποικιλτικὴν
ἐπιστήμην· πῶς γὰρ ἄρξεις οἰκίας, ἢ πῶς διατάξῃ τὰς ὑπὸ
τὴν σὴν χεῖρα τελούσας τὰ πρέποντα, μὴ πρότερον μαθοῦ-
σα τῶν ἀρχομένων καὶ προερχομένων τὰ ἔργα· καὶ γὰρ
οὔτε στρατηγὸς ἄριστα ἂν τάξειε τοὺς στρατιώτας εἰς πόλεμον,
μὴ πρότερον αὐτὸς στρατιώτης γενόμενος, ἢ κυβερνήτης
τὴν ὁλκάδα πρὸς τὸ δέον ἰθύνει, μὴ ἐν αὐταῖς ταῖς τελέ-
σας, καὶ οὕτως ἐπὶ τὸ πηδάλιον ἀναβάς:

ἢ ποικιλτικὴν ἐπιστήμην· τίς δὲ ὁ ἀριθμῶν νέφη σοφίᾳ· οὐρα-
νὸν δὲ εἰς γῆν ἔκλινεν· κέχυται δὲ ὥσπερ γῆ κονία· κεκόλληκα
δὲ αὐτὸν ὥσπερ λίθῳ κύβον· θηρεύσεις δὲ λέουσι βοράν·
ψυχὰς δὲ δρακόντων ἐμπλήσεις: ∴ σ ἢ τίς ἔδωκε
μεμωρωμένῳ ἔννοιαν· :: σθ ἢ ὄργανα οὐρανοῦ τίς
συνθήσει· ::: θ ὁ θήραν: Ὀλυμπιοδώρου:

ϛ Τίς δὲ ὁ ὑπ' ἀριθμὸν καὶ οὐκ ἀτάκτως φησὶ πρὸς τὴν χρείαν
μᾶλλον τὰ νέφη συνίστασθαι παρασκευάζων· τίς δὲ ὁ τὸν οὐ-
ρανὸν κυκλοφορικὸν ἀπεργασάμενος, ὡς δοκεῖ τοῖς πόρ-
ρωθεν ἀτενίζουσιν, ὅτι τῶν ἄκρων τῆς γῆς ἐφάπτεται:

ϛ Τοῦ ἁγίου Ἰω(άννου): Ὁρᾷς ὅτι τῆς γῆς αὐτῆς ἅπτεται· τοῦτο
γὰρ ἐστὶν ἔκλινεν: Ὀλυμπιοδώρου:

ζ Περικέχυται δὲ τῇ γῇ μελαίνῃ οὔσῃ ὁ οὐρανός, ὥσπερ τίς κονία
διὰ τὸ λαμπρόν· τὴν δὲ λεπτότητα αὐτοῦ φησὶν οὕτω στερεὰν
ἀπεργασάμενος φησί· καθάπερ ἂν εἴ τις λίθῳ κύβον ἐναρ-
μόσει· κύβος δέ ἐστιν ὁ ἐκ τετραγώνου κατὰ τὴν βάσιν, ἢ
κυκλωτέρους εἰς ὀξὺ λήγων· οἱ δὲ τὸ σχῆμα κυβοειδὲς φα-
ζ σιν: Τοῦ ἁγίου Ἰω(άννου): Τὸ λεπτὸν αὐτοῦ αἰνίττεται,
ὃ καὶ Ἡσαΐας φησίν, ὅτι ὥσπερ καπνός ἐστιν:

Τοῦ αὐτοῦ: Τὸ στερεὸν καὶ βέβαιον καὶ τὸ σχῆμα
δι' αὐτοῦ παρέστησεν εἰπών, ὥσπερ κύβον τὸ ἡμισφαίριον
ἤτοι τὸ ἄνωθεν μὴ εἶναι οὕτω, ἀλλὰ τετράγωνον:

η Ὀλυμπιοδώρου: Τίς δὲ τῷ λέοντι τὴν θηρατικὴν
ἐχαρίσατο φύσιν· τίς τοὺς δράκοντας τροφῆς ἐμπιπλᾷ.

τίς ἐδίδαξε τὰ θηρία ἐνεδρεύειν καὶ ἐπιτίθεσθαι πρὸς τροφῆς εὐπορίαν : τοῦ ἁγίου Ἰω(άννου) :

Τίνος ἕνεκεν φησὶ ταῦτα· ὅτι εἰ τῶν [illegible] τοσαύτην ποιοῦμαι πρόνοιαν· τῶν οὐδὲ εἰς δουλείαν ὑμῖν χρησίμων, οὐ πολλῷ μᾶλλον ὑμῶν· τί γὰρ τοσοῦτον ὄφελος ἀνθρώπῳ, πλέον ἀλλ' ἡ φύσει τῶν ἀλόγων ἐνέθηκεν· ταῦτα τίθησιν : ῃ

Εἰ τὰ μικρὰ τῶν ἐπιγείων οὐκ ἔγνως, πῶς πρόνοιαν θεοῦ ἐξιχνιάσεις : ῃ

Δεδοίκασι γὰρ ἐν κοίταις αὐτῶν· κάθηνται δὲ ἐν ὕλαις ἐνεδρεύοντες. τίς δὲ ἡτοίμασε κόρακι βοράν· νεοσσοὶ γὰρ αὐτοῦ πρὸς κύριον κεκράγασι· πλανώμενοι τὰ σῖτα ζητοῦντες· εἰ ἔγνως καιρὸν τοκετοῦ τραγελάφων πέτρας :

∴ ὅτι φωλεύουσιν· :: θ νεβρῶν ἐν πέτρᾳ, ἀντὶ τοῦ αἰγάγρων : Ὀλυμπιοδώρου :

Καίτοι μὴ συναγελαζόμενοι φησὶ μηδὲ νεμόμενοι, ἀλλὰ πανταχόσε χηραμοὺς καὶ καταδύσεις διώκοντες διαφθείρονται λιμῷ : τοῦ αὐτοῦ : Ἀλλὰ καὶ τῶν πτηνῶν φησὶν ὁ θεὸς προνοεῖ· ἀπὸ γὰρ τοῦ μέρους τὸ πᾶν ἐσήμανε· λόγος δὲ τὸν κόρακα φιλόστοργον εἶναι, καὶ ἀτημελήτους ἐᾶν τοὺς νεοττούς· τοὺς δὲ ὑπὸ τῆς ἐνδείας πιεζομένους φυσικῇ τινι κεκραγέναι πρὸς θεὸν τὴν βοήν· τὸν δὲ φιλάγαθον διατρέφειν αὐτοὺς τῇ ἀπορρήτῳ ἑαυτοῦ σοφίᾳ, ὃ καὶ Δαβὶδ ἐξυμνῶν ἔλεγεν· καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν, οὐ λόγῳ ἀλλὰ τῇ χρείᾳ : θ

θ τοῦ αὐτοῦ: μόνος γὰρ οὐ σιτίζει τοὺς νεοσσοὺς ὑπὸ
λαιμαργίας ὁ κόραξ· ὑπὸ δὲ μικρῶν ζωυφίων γινομένων ἐν
ταῖς νοσσιαῖς ἐκτρέφονται: τοῦ ἁγίου Ἰω(άννου):
θ λέγεται γὰρ μὴ ἐκτρέφειν τὰ ἔκγονα· ἀλλ' αὐτοὶ μὲν εἰκότως ἅτε
μεγάλοι ὄντες προσίξουσι τροφῶν· τὰ δὲ ἔκγονα τίς ἐκτρέφει·
οὐχ ὁ τοῦ θεοῦ λόγος; καθὰ καὶ τὸ εὐαγγέλιον φησί· τὰ
πετεινὰ τοῦ οὐρανοῦ οὐ σπείρουσιν οὐδὲ θερίζουσι· καὶ ὁ
πατὴρ ὁ οὐράνιος τρέφει αὐτά: Ὀλυμπιοδώρου:
ι ἀλλ' οὐδὲ τὰ ἐντελέστατα φησὶν οἶδας πῶς κατὰ καιρὸν ἔλα-
φοι, καὶ τραγέλαφοι ὑπὸ αὐτοφυέσι σπηλαίοις ἐν πέτραις
ἀποκυΐσκουσιν· καὶ τίς αὐτοῖς ἀριθμὸς μηνῶν ἐπὶ κύη-
σιν δέδοται· πῶς δὲ ἀποτίκτουσι λυθεισῶν τῶν ὠδίνων·
πῶς τὸ γάλα τοῖς νεοσσοῖς ἐνδίδωσιν· τὰ δὲ τρέφεται ἄνευ
φόβου· τί δὲ ἐξαποστελεῖς αὐτὰ τοῦ παύσεις· ὥστε μὴ ἀεὶ
ἐν ὠδῖσιν εἶναι· εἰ δὲ μὴ ταῦτα σύ· μηδὲ τὴν τούτων γνῶ-
σιν ἔχης, πῶς θεοῦ κρίματα γνῶναι θέλεις· τοῦτο γὰρ ἐν-
τεῦθεν συνάγεται:
ἐφύλαξε δὲ ὠδῖνας ἐλάφων· ἠρίθμησας δὲ μῆνας πλήρεις
τοκετοῦ αὐτῶν· ὠδῖνας δὲ αὐτῶν ἔλυσας· ἐξέθρεψας δὲ αὐτῶν
τὰ παιδία ἔξω φόβου· ὠδῖνας δὲ αὐτῶν ἐξαποστελεῖς· ἀ-
πορρήξουσι τὰ τέκνα αὐτῶν· πληθυνθήσονται ἐν γεννή-
ματι· ἐξελεύσονται καὶ οὐ μὴ ἀνακάμψουσιν αὐτοῖς:
∴ α΄ β΄ σελήνης· ∷ ※ ἐκ β΄ οἱ λ΄· β΄ ἐνδώσουσι τὰ
παιδία αὐτῶν διασώσεις αὐτά: ∷ ※ ε΄ ἀποβαλ-

-λοῦται τὰ τέκνα αὐτῶν· ::: ※ ε´ πληθυνθήσονται ἐν ἀγρο-
τικῇ· ::: ※ ε´ ἐξελθόντα οὐχ ὑποστρέψει πρὸς αὐτ(άς) :
τοῦ ἁγίου Ἰω(άννου) : Καλῶς εἶπεν ἐφύλαξας· ἐπει-
δὴ γὰρ ἀεὶ ἐν φυγῇ καὶ φόβῳ καὶ ἀγωνίᾳ τὸ ζῶον, ἀεὶ πη-
-δῶν καὶ ἐναγόμενον· πῶς φησὶν οὐκ ἀμβλώσκει· ἀλλὰ
πλήρης ὁ τόκος ἐξέρχεται : αὐτομάτως γὰρ ἀπο-
κύουσιν οὐ δεόμεναι μαιεύσεως : καίτοι δῆλον ὅτι
τῶν μητέρων : Ὀλυμπιοδώρου :
Καὶ πῶς φησὶν αἱ μητέρες ἀνδρωθέντα τὰ τέκνα κατα- ια
λιμπάνουσιν· εἰς λήθην ἐλθοῦσαι τῆς φυσικῆς στοργῆς· τὰ
δὲ ἐξελθόντα καὶ νεμόμενα, ἐν τοῖς γεννήμασι τῆς γῆς πλη-
θύνεται· οὐκέτι αὐτοῖς τοῖς γονεῦσιν ἐπαναστρέφοντα :
ιβ τίς γὰρ ἐστὶν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον· δεσμοὺς δὲ
αὐτοῦ τίς ἔλυσεν· ἐθέμην δὲ τὴν δίαιταν αὐτοῦ ἔρημον·
καὶ τὰ σκηνώματα αὐτοῦ ἁλμυρίδα· καταγελῶν πολυ-
οχλίας πόλεως· ιγ μέμψιν δὲ φορολόγου οὐκ ἀκούων :
:: α´ θ´ ε´ οἶκον ἀοίκητον· :: θ´ ※ ς´ γῆν· :: ἀπο-
λαύειν ἀφθόνως τῶν ἐπὶ γῆς : Ὀλυμπιοδώ(ρου) :
Καλὰ μὲν εἶπον πόθεν φησὶ τῷ ὀνάγρῳ ἡ αὐτονομία· πόθεν ιβ
ἀνθρώπων ἐπιτάγματος οὐ δέχεται· ἀλλ' οἴκησιν καὶ διαίτην
ἔχει τὴν ἔρημον· κατασκηνοῖ δὲ ἐν ἁλμυροῖς τόποις. τουτέστιν
ἐν ἀκάρποις καὶ παντελῶς ἐρήμοις· πρὸς δὲ διάνοιαν ὁ μο-
ναδικὸς ὑπογράφεται βίος, ὡς ἔξω τῶν κοσμικῶν καὶ
κινούντων τὴν αἴσθησιν : τοῦ ἁγίου Ἰω(άννου) :

Τίς τοῦτο ἐπελύθρωσε φησί· τίς τοὺς τῆς φύσεως νόμους τέθεικε·
ὅτι γὰρ φησὶν νόμοι διηνεκεῖς εἰσὶ καὶ οὐ παραφθείρονται
ἰσχύειν τὸ ζῶον καὶ ἀδάμαστον, κἂν μυρία φιλονεικῇς, οὐ-
πάρξεις ὑπὸ τὴν χεῖρα τὴν σήν. ὃ ὁ θεὸς βεβούλευται τῆς πα-
ρασπουδάσῃ· πείσῃ ὅτι πάντα προνοίᾳ καὶ αὐτοῦ βουλομένου εἴ-
κει καὶ ὑπακούει : Ὀλυμπιοδώρου :

ιγ Ἐκ τούτου δῆλον ὡς εἰς ἀλληγορίαν ἡμᾶς ὁ λόγος παραπέμπει.
οὐδὲ γὰρ ὁ ὄνος οὗτος μέμψιν ἀκούει φορολόγου· εὔδηλον οὖν
ὅτι περὶ τοῦ ἐθνικοῦ ἀνθρώπου λέγει· τοῦ μὴ ἀνεχομένου τοῦ νο-
μικοῦ πράκτορος· ὃς ὥσπερ τινὰ φόρον ἀπαιτῶν τοὺς ὑφ' ἑαυτὸν
ἐπαναγκάζει δουλεύειν ταῖς ἡδοναῖς καὶ τοῖς πάθεσιν :

Κατασκέψεται ιη ὄρη νομὴν αὐτοῦ· καὶ ὀπίσω παντὸς χλωροῦ
ζητεῖ. βουλήσεται ιθ δέ σοι μονόκερως δουλεῦσαι, ἢ κοιμηθῆ-
ναι ἐπὶ φάτνης σου. δήσεις δὲ ἐν ἱμᾶσι ζυγὸν αὐτοῦ· ἢ ἑλ-
κύσει σου αὔλακας ἐν πεδίῳ. πέποιθας δὲ ἐπ' αὐτῷ
ὅτι πολλὴ ἡ ἰσχὺς αὐτοῦ· ἐπαφήσεις δὲ αὐτῷ τὰ ἔργα σου:
:: ε ἢ ὁμαλιεῖ κοιλάδας ἀκολουθῶν σοι· :: θ μὴ
ἐγκαταλείψεις : Ὀλυμπιοδώρου:

ιδ Κατὰ μὲν τὴν ἱστορίαν ὁ ἄγριος ὄνος τὰ ὄρη περινοστῶν,
τὰς βοτάνας ἀνιχνεύει πρὸς διατροφήν. κατὰ δὲ τὴν θεω-
ρίαν ὁ ἐθνικὸς ἄνθρωπος τῶν οὐρανίων τὰς πολιτείας κατασκέπτε-
ται καὶ ἐπιζητεῖ οὐ τὰ παρόντα, ἀλλὰ τὰ ἐν τῷ μέλλοντι αἰ-
ῶνι τῷ ζωηφόρῳ : Τοῦ αὐτοῦ :

ιε Καθ' ἱστορίαν ὁ μονόκερως οὐ δι' ἀπώλειας εἰ συνεκρατ-

ἔφη· διὰ τὸ κατὰ μέσου τῆς κεφαλῆς τὸ κέρας ἔχειν,
ἀλκιμώτατος ὤν, ἀνυπόστατός ἐστι τῇ ὀξύτητι τοῦ κέρα-
τος πεποιθώς· μὴ ἀνέχεται οὖν φησὶν ὁ μονόκερως ἐπὶ φά-
-τνῃ κατακλείεσθαι, καὶ αὔλακα τέμνειν καὶ ἀροῦν καὶ γη-
πονεῖν καὶ εἰς ἅλωνας σωρεύειν τὰ γεννήματα. πρὸς δὲ
διάνοιαν, μονόκερως ἐστὶν ὁ ἅγιος ὅτι πρὸς θεὸν μόνον
ὁρᾷ καὶ ἐπ' αὐτῷ πέποιθεν, τῶν γηΐνων ἀπάντων κα-
ταφρονῶν: Πιστεύσεις δὲ ὅτι ἀποδώσει
σοι τὸν σπόρον· εἰσοίσει δὲ τὸν ἅλωνα· πτέρυξ τερπομέ-
νων νεέλασσα· ἐὰν συλλάβῃ ἀσιδα καὶ νέσσα· ὅτι ἀφή-
σει εἰς γῆν τὰ ᾠὰ αὐτῆς· καὶ ἐπὶ χοῦν θάλψει· καὶ ἐπε-
λάθετο ὅτι ποὺς σκορπιεῖ· καὶ θηρία ἀγροῦ κατα-
πατήσει: :: ε΄ ἀποκαταστήσει: :: θ΄ ζωά-
ξει. ε΄ συμμίξει. ::: ※ ἐν θ΄ οἱ β΄. ε΄ πλεὸν ἀλλαί-
σκου σκειφύεται· ::: ※ ::: ※ ::: ※
::: ※ ::: ※ Ὀλυμπιοδώρου:

Ζητεῖται εἴπερ διαφέρει τινῶν ὀρνέων, καὶ ὅτι τινὰ μὲν ιϛ
ὑπὸ θεοῦ ζωογονεῖται· τινὰ δὲ φύσει ἀπωλώλεκε· καὶ
φησὶν ὅτι τερπνὸν μέν ἐστι τῇ θέᾳ ἡ νεέλασσα· τὴν δὲ ἀ-
σίδα καὶ νέσσαν ἀσύνετα θεὸς ἐποίησεν· ταῦτα γὰρ
συλλαβόντα τίκτουσιν, ὑπὸ τὴν γῆν θάλπουσι τὰ ᾠὰ καὶ
ἀφίστανται, ὥσπερ ἐπιλαθόμενα ὅτι καὶ ποσὶν ἀνθρώπων
σκορπίζονται· καὶ θηρία καταπατοῦσι ταῦτα· λόγος
δὲ τὴν ἀσίδα οἰκονομικῶς ἀνόητον ὑπὸ θεοῦ γενέσθαι·

καὶ γὰρ ὑπεραίρει μεγέθει καὶ ἰσχύϊ ὡς δύνασθαι κατα-
φρονεῖν καὶ ἱππέως· ἀλλὰ πρὸς τὴν ἰσχὺν οἰκείαν ἔσχε σύνεσιν·
ὥστε μὴ φαύλως σώζεσθαι τοὺς νεοττοὺς καὶ ἐκ τούτου πλη-
θύνεσθαι τὸ εἶδος· τινὲς δὲ ἔφασαν τὴν νεέλασσαν, τὴν ἀρ-
βίδα εἶναι ὄρνιν, οἷς ἐν τῇ μεσοποταμίᾳ εὑρίσκεται:

Ἀσίδα ὁ ἐρωδιὸς κατὰ ἀκύλαν, ἢ ὁ πελαργός:

ε ἀπεσκλήρυνε τὰ τέκνα αὐτῆς ὥστε μὴ ἑαυτῇ· εἰς κενὸν
ἐκοπίασεν ἄνευ φόβου· ὅτι κατεσιώπησεν αὐτῇ ὁ θεὸς
σοφίαν· καὶ οὐκ ἐμέρισεν αὐτῇ ἐν τῇ συνέσει· κατὰ
καιρὸν ἐν ὕψει ὑψώσει· καταγελάσεται ἵππου καὶ τοῦ
ἐπιβάτου αὐτοῦ: ∴ ※ ∷ ※ ∴ ※

ε παρεῖλεν· ∴ ※ ε καὶ οὐκ ἔνειμεν αὐτῇ συνέ-
σει· ∷ ※ ε πελομένη· ∷ ※

ιζ Ἡ αὐτὴ ὄρνις φησὶν ἡ τὸ ᾠὸν μεθεῖσα καὶ ἀμελήσασα ἀπε-
σκλήρυνεν ἀντὶ τοῦ εἴασε καταπονεῖσθαι τοὺς νεοττούς·
ἵνα μὴ ἑαυτὴν καταπονήσῃ νεοττοτροφοῦσα:

ιη τοῦ αὐτοῦ: Οὐ φοβηθεῖσα τοίνυν τὴν τῶν νεοττῶν
ἀπώλειαν, ἀλλὰ ἀμελήσασα· εἰς κενὸν ἐκοπίασεν συλ-
λαβοῦσα καὶ ἀποτεκοῦσα, μὴ φαύλως περισωζομένων

ιθ τῶν νεοττῶν: τοῦ αὐτοῦ: Τοῦτο δὲ ἡ ὄρνις
ὑφίσταται, ἐπειδή φησιν ἀπεσιώπησεν· ἀντὶ τοῦ οὐκ ἔ-
σχε καὶ οὐκ ἐπεμέλησεν αὐτῇ ὁ θεὸς συνέσιν:

κ τοῦ αὐτοῦ: Μετὰ δὲ τὸν καιρόν φησι τοῦ ἀπο-
τεκεῖν εἰς τὸν ἀέρα ἀφίπταται, περιφρονοῦσα ἵππου

συντῷ ἀναβάτῃ, διὰ τὴν ἰσχὺν ὥς φασι καὶ τὸ μέγεθος:~
ἦ σὺ περιέθηκας κα ἵππῳ δύναμιν· ἐνέθηκας δὲ τραχήλῳ
αὐτοῦ φόβον· περιέθηκας δὲ αὐτῷ πανοπλίαν· δόξαν δὲ
στηθέων αὐτοῦ τόλμῃ· κβ ἀνορύσσων ἐν πεδίῳ γαυριᾷ· ἐκπο-
ρεύεται δὲ εἰς πεδίον ἐν ἰσχύϊ· συναντῶν βασιλεῖ κα-
ταγελᾷ: ∴ θ χρεμετισμόν· ε κλαγγήν· ∴ θ
ε φόβος· ∴ α θ ἐν κοιλάδι· ∴ α θ εἰς ἀπάντησιν ὅ-
πλου· ε εἰς ἀπάντησιν καταφρακτῶν· ∴ [illegible]
βέλει· οὐ γὰρ οἶδε διακρίνειν ἀξίαν: Ὀλυμπιοδώρου:
ἀλλὰ σύ φησι τὸν ἵππον δυνατὸν εἰργάσω καὶ ὑψαυχένα, κα
ὥστε φοβερὸν τῇ τοῦ αὐχένος ἀνατάσει φαίνεσθαι ἔτι
καὶ τῷ χρεμετισμῷ τῷ διὰ τοῦ αὐχένος αὐτοῦ ἐξερχο-
μένῳ. παρὰ σοῦ δὲ ὥσπερ κατωπλισμένος θαρρεῖ καὶ
τολμᾷ· ἔνδοξα ἔχων καὶ ὡραῖα τὰ στέρνα, καὶ εὐθαρσῆ
καρδίαν ἐν τοῖς στήθεσιν: τοῦ ἁγίου Ἰω(άννου):
Ἐπὶ τὰ χρησιμώτατα μετάγει τὸν λόγον ἵππου μνημονεύ- κα
-οντα τοῦ χρειοῦ ἤθους· καὶ πολλὰ περὶ τοῦ ζώου τούτου
διαλέγεται· πῶς γαῦρον, πῶς ἀνεστηκώς, πρὸς πόλε-
μον ἐπιτήδειον· πῶς ἱκανὸν αὐτὸν διασώζειν· ὅρα πῶς ἕ-
καστον γαῦρον καὶ τὸν ὄνον καὶ τοῦτον· ἀλλὰ τὸν μὲν τὸ
ὑποκείμενον· τὸν δὲ οὔ· εἶτα καὶ τὸ εὔτακτον· ἀ-
κούει φωνὴν σαλπίγγων, καὶ οἶδε τοῦ πολέμου τὸ
σύνθημα: Ὀλυμπιοδώρου:
Ὅς γε φησὶ τῷ ποδὶ καταξηραίνων τὴν γῆν, γαυριᾷ καὶ κβ

φρυάττεται, καὶ ἐκπορεύεται διὰ τοῦ πεδίου εἰς πόλεμον,
μὴ βέλος δεδοικώς, μὴ σιδήρου ἀκμήν:
Καὶ οὐ μὴ ἀποστραφῇ ἀπὸ σιδήρου· ἐπ' αὐτῷ γὰρ γαυριᾷ
τόξον καὶ μάχαιρα, καὶ ὀργῇ ἀφανιεῖ τὴν γῆν· καὶ οὐ μὴ
πιστεύσῃ ἕως ἂν σημάνῃ σάλπιγξ· σάλπιγγος δὲ σημαι-
νούσης λέγει εὖ γε· πόρρωθεν δὲ ὀσφραίνεται πολέμου
σὺν ἅλματι καὶ κραυγῇ: ∴ θ' σ̄ μαχαίρας:
∴ σ' ἐν σεισμῷ καὶ ὀργῇ ὡς καταπίνων· ∴ σύμμαχα
φέρεται τῶν διὰ πολλῶν ἐπιθυμίαν μὴ πιστεύοντα ἀλ(ηθῶς)·
∴ σ' καὶ οὐ δηλωθήσεται ὑπὸ ἤχους σάλπιγγος:
κγ Ὀλυμπιοδώρου: Διὰ τοῦ ἐπιβάτου δηλονότι
τόξον μὲν ἔχοντος καὶ μάχαιραν· ὀργῇ δὲ διὰ τῶν πολεμίων
ϛ γῆν ἐξαφανίζοντος: Οὕτω διάκειται ὡς καταστρε-
φόμενος τὴν γῆν: Ὀλυμπιοδώρου:
κϛ Καὶ ἕως μὲν οὔπω τὸ σύνθημα τοῦ πολέμου, σφαδάζει
καὶ ὁρμητικῶς ἔχει τὸ ζῶον· οὔπω μέντοι καὶ ἀναπηδᾷ
καὶ ἐξάλλεται· τοῦτο γὰρ σημαίνει, τὸ καὶ οὐ μὴ πιστεύσῃ·
φοβερὸν δὲ ἠχησάσης τῆς σάλπιγγος αἰσθάνεται ὅτι πολέμου
καιρός, καὶ χαίρει τῷ συνθήματι· τοῦτο γὰρ δηλοῖ τὸ λέ-
γειν εὖ γε· καὶ ὁμοῦ τῇ κραυγῇ τοῦ στρατοπέδου ἐξορμώμενον
ἐπιτρέχει τοῖς πολεμίοις· εἰ δὲ λέγοι τις καὶ ταῦτα τῆς φύ-
σεως εἶναι τοῦ ἵππου, ἀλλὰ τῆς διδαχῆς· ἴστω καὶ ἄλλως τὸ
ἀλόγους δύνασθαι διδάσκειν, εἰ μὴ τὸ ζῶον ἐπιτηδείως
ἔχον εἰς τοῦτο ὑπὸ θεοῦ κατεσκεύαστο· ἐπεὶ καὶ δὲ ἄνοι

διασπώμεθά τε, μὴ ἐπιτηδείως ἔχοντες πρὸς τὰ
μαθήματα· ἐνδείκνυται οὖν ὡς διὰ τῶν σκιαγραφιῶν τούτων
τὴν ἄφαντον ἑαυτοῦ σοφίαν· ὡς ἂν διδαχθῶμεν τὰ με-
γάλα καὶ ἀπόκρυφα μὴ πολυθρυλλεῖν:

Ἡ δὲ τῆς ἐπιστήμης ἔοικεν ἱέραξ· ἀναπετάσας
τὰς πτέρυγας ἀκίνητος καθορᾷ τὰ πρὸς νότον· ἐπιπέσοι
προσάπτεται ὑψοῦται ἀετός· γὺψ δὲ ἐπὶ νοσσιὰς αὐτοῦ κα-
ταθεὶς αὐλίζεται· ἐπ' ἐξοχῇ πέτρας καὶ ἀποκρύφῳ:
∴ ε ἐν πέτρᾳ ἠρεμοῦν αὐλιασθήσεται: ∴ θ ※ ἃ ὁ-
χυρώματος: Ὀλυμπιοδώρου:

Ἱστέον ὅτι φησὶ καὶ ἐπιστήμη τὸν ἱέρακα ἐξεικάζει + κε
ζουσιν, ἁπλῶς ταῦτα τὸ πτερὸν ἀκίνητον τῷ ἀέρι φέρε-
σθαι· λέγεται δὲ ὁ ἱέραξ περὶ τὰ νότια μέρη ἐξαπλοῦν τὸ
πτερὸν καὶ ὥσπερ ὅρμιος ἵσταται ἐν τῷ ἀέρι, καὶ ἐπισπα-
σθαι τὸ θέρμα καὶ οὕτως αὐτοῦ καθαίρεσθαι:

τοῦ ἁγίου τῶ: πῶς ἔποσε φησὶ μετέωρον αὐτοῦ κε
ἐπὶ τοῦ ἀέρος· πῶς αὐτῷ τὴν τροφὴν ἔδωκεν. ὅρα ἐξ
ὀλίγων πόσα φησί· τίνος ἕνεκεν οὐκ ἐμνήσθη βοός, οὐδὲ
προβάτων, οὐδὲ τῶν ἄλλων τῶν τοιούτων οὐδενός, ἀλλὰ τῶν
ἀλεήσων, καὶ εἰκῆ δοκούντων εἶναι δεικνὺς ὅτι ἡ ἐν ἐ-
κείνοις σοφία, τοιαύτη καὶ πρόνοια, πολλῷ μᾶλλον ἐν τούτοις,
ἐν τοῖς οὐδὲν δοκοῦσι συντελεῖν· εἰ ἐν τοῖς σαρκοβόροις τινὰ
λογικὴν σοφίαν ἀπὸ τῆς κατὰ φύσιν ἐπιστήμης ἐνοικίσας
ἐκπέσω καὶ προσγνῶσιν· τὸ μὲν πολέμου· τοῖς δὲ τῶν

ἀποθανόντων· ὁρᾷς καὶ ἐν ἀέρι φερόμενον τὸν γῦπα:

κϛ τίνα δὲ ὑψηπέτησιν τοιαύτῃ αὐτῷ προσέταξεν ἔχειν:

ὀλυμπιοδώρου: κατὰ κοινοῦ τὸ ἐπὶ σὲ τῷ σῷ προστάγματι εἰς πετρῶν ἐξοχὰς ὁ γὺψ καθεζόμενος ἀκραιφνεῖς ἔχων τὰς αἰσθήσεις τῶν αἰσθάνεται τοῦ τεθνηκότος σώματος· ἵνα τροφὴν ἑαυτῷ πορίσηται· ἢ σὺ τοὺς αὐτῶν νεοττοὺς ἐπέταξας ἐπὶ μικροὺς οὕτως σαρκοβορεῖν καὶ αἱμάτων ἐρᾶν: τοῦ ἁγίου Ἰω(άννου):

κζ κατὰ θεωρίαν γὺψ ὁ ἀκάθαρτος καὶ φιλόσαρκος ἄνθρωπος, ὀκνηρὸς εἰς ἀρετήν· ὀξὺς δὲ εἰς λαιμαργίαν, ὃς τὰ προκείμενα ἐῶν, τὰ πόρρω σκοπεῖ λέγων· νῦν ἀπολαύσω καὶ ὕστερον μετανοήσω:

Ἐκεῖσε ὢν ζητεῖ τὰ σῖτα· πόρρωθεν οἱ ὀφθαλμοὶ αὐτοῦ σκοπεύουσι· νεοσσοὶ δὲ αὐτοῦ φύρονται ἐν αἵματι· οὗ δ' ἂν ὦσι τεθνεῶτες παραχρῆμα εὑρίσκονται· καὶ ἀπεκρίθη κς ὁ θεὸς τῷ Ἰὼβ καὶ εἶπε· μὴ κρίσιν μετὰ ἱκανοῦ ἐκκλινεῖ· ἐλέγχων θεὸν ἀποκριθήσεται αὐτήν:

:: ὁ καταφρονῶν αἷμα· ἐρῶν τὸν γύπα λάπτειν·

:: ἐκ ὅπου δὲ σάρκες τεθνεωμένων παρέχοιεν· :: ἐ

ἆρα ὁ διακρινόμενος πρὸς τὸν ἱκανὸν περιγενήσεται·

::: ὁ διελεγχόμενος θεῷ ἀντιφθέγξεται τί:

κη ὀλυμπιοδώρου: δυσχερὲς εἰς ἀπόκρισιν· εἶτα μὴ λαβὼν πάλιν αὐτὸς ἀποκρίνεται: τοῦ αὐτοῦ:

κθ Οἱ μὲν πρῶτοι λόγοι σοφίαν θεοῦ καὶ δύναμιν παρίστων τῷ

ἰώβ· νῦν δὲ στρέφει τὸν λόγον καὶ φησὶ πρὸς αὐτόν, μὴ
κρίσιν μετὰ ἱκανοῦ κρίνεις· ἀντὶ τοῦ μετ᾽ ἐμοῦ ταῦτα
διακρίνεις, μὴ οἶδα πῶς γίνονται· μὴ τούτων ἔχεις
τοὺς λόγους ἐλέγχων τὴν ἀποκριθήσεται αὐτήν· τουτέστιν
εἰ νομίζεις δύνασθαί με ἐλέγχειν ὡς οὐκ εὖ εἰρηκό-
-τα λανθάνειν σε τὰ πολλὰ τῶν παρ᾽ ἐμοῦ γινομένων·
ἀποκρίθητι τῷ κρίσιν ὧν προέθηκά σοι· λέγει δὲ ταῦ-
-τα, οὐχ ὡς ἀγνοῶν τοῦ ἰὼβ τὴν εὐσεβῆ γνώμην, ἀλλὰ
τοῖς φίλοις δεῖξαι βουλόμενος οἷος ὢν τὰ πρὸς θεόν, δι᾽ ὧν
αὐτὰ ἀποκρίνεται :

+ ∴

+ προθεωρία κεφαλαίου κϛ:

+

Ὁ φιλόθεος καὶ τῶν οἰκείων μέτρων ἐπιγνώμων Ἰώβ· θείας ἀδοκήτως φωνῆς ἀκροασάμενος προκαλουμένης αὐτὸν εἰς ὁμιλίαν καὶ τῶν λεγομένων ἔλεγχον· περιχαρὴς μὲν γέγονεν ὡς εἰκός, ὁμολογεῖ δὲ σὺν προοιμίῳ τὴν οἰκείαν ἀσθένειαν, καὶ δίδωσι θεῷ τὰ νικητήρια· πρὸς γὰρ θεοῦ σοφίαν οὐδὲν ἕτερον δεῖ ποιεῖν ἢ τῇ σιωπῇ δεικνῦναι τὸ θαῦμα· καὶ τῷ ἀρρήτῳ θαυμάζειν τὸ ἀκατάληπτον:

+

+

+ κεφάλαιον κϛ:

+

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει τῷ κυρίῳ· τί ἔτι ἐγὼ κρίνομαι νουθετούμενος· ἐλέγχων κύριον, ἀκούων τοιαῦτα οὐθὲν ὤν:

∴ σύγκειται ἐν τῷ ἑβραϊκῷ· μετὰ παθητικοῖς λόγοις:

Ὀλυμπιοδώρου: Ἐλεούμενος δέομαι τὴν κρί- λ̂
σιν: Τοῦ ἁγίου Ἰω(άννου): Τί ἔτι φησὶν ἐγὼ κρίνο-
μαι, ἐκ προοιμίων καὶ ἐξ ἀρχῆς παραχωρήσει τῶν πρω-
τείων· ἥττημαι φησὶ παρὰ σοὶ τῷ δικαιώματι· περαι-
τέρω τὴν δίκην ἐπεξῆλθες· τί δυνατὸν ἀποκρίνασθαι:
Ἰουλιανοῦ: Ἐγώ φησι διελέγχομαι τὴν αἰτίαν τῆς γενο- λ̂
μένης ἐπ᾽ ἐμοὶ πληγῆς ζητῶν· εἰς δὲ δημιουργίαν οὐδὲν
συνεκάλυψα καὶ πρὸς τὰ λεχθέντα οὐδὲν ἔχω λέγειν· συντε-
λέσθαι γὰρ δεῖ πρὸς τοιοῦτον ἀντοφθαλμεῖν δεσπότην:
Λείπει τὸ ὡς υἱὸς ἢ ὡς ἐλέγχων κ(ύριό)ν μου νουθετούμενος ὁ ἄθλιος: ω
Ἐγὼ δὲ τίνα ἀποκριθῶ πρὸς ταῦτα; χεῖρα θήσω ἐπὶ
στόματί μου· ἅπαξ λελάληκα, ἐπὶ δὲ τῷ δευτέρῳ
οὐ προσθήσω: ὃ μὲν ἀνεφθεγξάμην
ἃ ἐτόλμησα ὑπὸ ἀγνοίας, μεταμανθάνω ὑπὸ παιδείας:
Ὀλυμπιοδώρου: Ἐγὼ δέ φησι πρὸς τὰ εἰρημένα λα
φθέγξομαι· ἄμεινον κρίνω τὴν σιωπὴν τὴν ἀκατάληπτόν σου
θαυμάζειν σοφίαν: Τοῦ αὐτοῦ:
Ἐλάλησα φησὶν ὅτε πρὸς ἀνθρώπους ἦν ἡ διάλεξις, ὅτε καὶ ἐδικα-
ζόμην, ὡς ἁμαρτίας ἐκτίνων δίκας· πρὸς δὲ τὰ δεύτερα
τουτέστι τὰ περὶ θεοῦ σοφίας τε καὶ δυνάμεως, οὐδὲν ἔτι
προσθῆναι, οὐ φθέγξασθαι, οὐκ ἄλλο τι:

\+

\+ προθεωρία κε(φαλαίου) κη :

\+

Ὑπερβολὴ φιλανθρωπίας καὶ ταπεινότητα τοῦ θεοῦ δείκνυται· ἁ-
γιοπρεπῶς γὰρ τὴν πρὸς θεὸν ἀναδυομένου διάλεξιν,
καὶ τὸ μηδὲν εἶναι ὁμολογοῦντος· ὁ φιλάνθρωπος θεὸς καὶ φιλο-
δίκαιος πράως ὁμοῦ καὶ φιλικῶς φησὶ πρὸς αὐτόν, μὴ σιω-
πήσῃς· ἀλλὰ λάλει· οὐ γὰρ δι' ἄλλο τί σοι κεχρημάτικα· ἀλλ' ἵνα
τὴν σὴν δημοσιεύσω δικαιοσύνην· πάλιν δὲ ἐκ τῆς περὶ
τὸν δίκαιον διαλέξεως ἡμᾶς τὴν ἑαυτοῦ δύναμιν καὶ ὑπερο-
χὴν ὁ θεὸς ἐκδιδάσκει καὶ περὶ θηρίων διαλεγόμενος· εἶ-
τα δὲ καὶ τὸν περὶ τοῦ δράκοντος λόγον, ὃν δή τινες μὲν ὄντως
ζῶον εἶναι καθ' ἱστορίαν ὑπειλήφασιν, ὑπερφερὲς ἰσχύϊ καὶ
μεγέθει· ἕτεροι δὲ τοῦτον ἔφησαν εἶναι τὸν λεγόμενον τὸν τῶν
διαβόλων τὴν ἀρχὴν ὑπηρετησάμενον, καὶ τὴν εὔαν ἐξαπατήσαντα.
λευιαθὰν δὲ οἱ ἑβραῖοι τὰ μεγάλα κήτη προσαγορεύουσιν· οἱ δὲ
πλείονες τῶν ἐν ἐκκλησίᾳ διαλαμψάντων ἐν οἰκείαις ἐξηγή-
σεσι καὶ λογογραφίαις εἰς τὸν διάβολον ἀλληγορικῶς ἀνήνε-
γκαν τὰ ἀναγεγραμμένα· ἐγὼ δὲ εἰ μὲν καὶ ζῶόν ἐστι τοι-
οῦτον οὐκ ἔχω λέγειν· οὔτε γὰρ αὐτὸς εἶδον· οὔτε ἑτέρων ἱστο-
ρούντων ἤκουσα· ὅτι δὲ εἰς τὸν ἀποστάτην δράκοντα
τὸν νοητὸν μάλιστα τῶν ἀσεβείων τουτέστι τὸν σατανᾶ κυρίως
ἀναφέρεται τὰ γεγραμμένα, καὶ τῇ θείᾳ ἕπεσθαι πρέπον.

ἡ τοιαύτη θεωρία, σφόδρα ζητήσομαι. τίνι γὰρ ἔπρεπεν ἢ μόνῳ θεῷ τοῦ ἀρχεκάκου δαίμονος διαπλέξαι ὡς ἐν σώματι ποῖα τήν τε κακίαν καὶ ἰταμότητα, ἵνα τῶν δεῖ τοῦ θείου βαλλόμενοι, πρὸς αὐτὸν χειρωσάμενον καταφρονῶμεν αὐτοῦ. ὅτι δὲ πολλάκις ἡ γραφὴ ὡς περὶ σωματικῶν διαλεγομένη ἐπινοεῖ τὰ ἡμῖν παραπέμπει πράγματα διὰ τὸ μὴ προδήλως, ἀλλὰ μετ' ἐπικρύψεως τὰ μυστηριώδη διαλέγεσθαι, παντί που πρόδηλον τῷ καὶ κατὰ βραχὺ τὴν διάνοιαν τῆς θεοπνεύστου γραφῆς ἐπισκεψαμένῳ, ὅπου γε τὸ ᾆσμα τῶν ᾀσμάτων, σωματικὰ μὲν διαλέγεται πάντα. μυστικὴ δέ ἐστιν ἡ βίβλος, καὶ ὅλη πρὸς ἀλληγορίαν βλέπει. εἰ μὲν οὖν ἔστι τι καὶ τοιοῦτον θηρίον κατὰ ἱστορίαν, οὔπω μὲν πείθομαι· πλὴν οὐ φιλονεικῶ. ὅτι δὲ τὸν διάβολον αἰνίττεται ἡ γραφή, πολλοῖς ἁγίοις ἀνδράσι καὶ ἐν ἐκκλησίᾳ διαπρέψασιν ἔδοξε. διὸ κατὰ ταύτην τὴν ἔννοιαν, τὴν περὶ τούτου λέξιν ἑρμηνεύειν πειρασόμεθα:

# † Κεφάλαιον κη̄ †

Ἐπεὶ δὲ ὑπολαβὼν ὁ κύριος εἶπε τῷ Ἰὼβ ἐκ τοῦ νέφους· μὴ ἀλλὰ λγ
ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου: μὴ σιώπα
φησὶ, ἀλλὰ ἀνδρίζου πρὸς τὰς ἐρωτήσεις: Ὀλυμπιοδώρου:
λγ Ἁγιοπρεπῶς τοῦ Ἰὼβ τὴν πρὸς τὸν θεὸν ἀναδυομένου
διάλεξιν, καὶ τὸ ῥηθὲν εἶναι ὁμολογοῦντος, ὁ φιλάνθρωπος
θεὸς καὶ φιλοδίκαιος πράως ὁμοῦ καὶ φιλικῶς πρὸς αὐτὸν
φησὶ· μὴ σιωπήσῃς· ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου.
τουτέστιν ἀνάλαβε σεαυτόν, ἀνδρίζου, ἀπόσεισαι τὴν ἀθυμίαν
καὶ συνήσας τίς ἐστιν ὁ τὴν ἐρώτησιν ποιούμενος οὕτως
ἀποκρίνεσθαι: Τοῦ ἁγίου Ἰω(άννου):
λγ Οἱ γὰρ περὶ οἰκείαν δικαιωμάτων θαρροῦντες, οὐδὲ φεύγον-
τας τοὺς ἀντιδίκους ἀξιοῦσιν, ὥστε ἐν περιουσίᾳ γε-
νέσθαι τὴν νίκην· εἶτα αὐτῷ καὶ ἀπολογεῖται· ὅτι μέν
μέλει μοι περὶ τῶν ἀνθρώπων· δῆλον ἐντεῦθεν· τίνος δὲ ἕνεκα
τοῦτο ἐπήγαγόν σοι τὸν πειρασμόν: ...ειγλέους:
λγ Δίδωμί σοι παρρησίαν ἐγώ σε ἐρωτήσω, σὺ δέ μοι ἀπό-
κριναι· ἤδη ἆθλον αὐτῷ δίδωσιν ὁ θεός· ἄνθρωπον ἐρωτᾷ,
ὅτι πω θάνατον αὐτοῦ· ὅτι δίδωσιν ἐξουσίαν τῆς ἀπο-
κρίσεως· εἰ μὴ τὸν νενικηκὼς οὐκ ἐλάμβανε· εἰ
μὴ ἦν ὑπομείνας, οὐκ ἂν ἤκουσε ζῶσαι ὥσπερ ἀνὴρ τὴν

ὀσφύν σου, ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀπόκριναι:

Ἄλλως: Μὴ πείθειν ἀποκρίνασθαί τις τῷ θεῷ, ἐὰν μὴ γενόμενος ἀνήρ· ζώσηται ὥσπερ ἀνὴρ τὴν ὀσφὺν αὐτοῦ. ὅσον γὰρ ἡ ὀσφὺς τούτου οὐκ ἔζωσται, ἀλλὰ λέλυται καὶ οὐχὶ περιδέδεται, οὐδὲ ἐπεσφίγκται, οὐ δύναται εὐλόγως ἀποκρίνασθαι τῷ θεῷ:

οφο

Ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι· ἢ ἀποποιῇ μου τὸ κρίμα: ∴ ἄλλ(ος) μὴ ἀποποιοῦ· μὴ ἄδικον ποιήσῃς ἵνα δικαιωθῇς: Ὠριγένους:

Τὰ μὲν τέλεια τῶν ἀγωνισμάτων τοῖς καλῶς ἀθλήσασι, μετὰ τὸν βίον ἀπόκειται τοῦτον. οὐδὲν δὲ ἧττον καὶ ἤδη ἡ χάρις τοῦ θεοῦ ἀρραβωνίζεται τοὺς ἀθλητάς. δηλοῦται ὅτε ἠγωνίσατο τὰ μέγιστα ὁ Ἰώβ. ὅτε ἀποβαλὼν τὰ ὑπάρχοντα, ἐδόξασε τὸν δεδωκότα· ὅτε ἀποθέμενος τὰ τέκνα, ηὐχαρίστησε τῷ παρεσχηκότι, ὅτε νοσήσας ὡς σκώληκας ἀνάγειν αὐτοῦ ἀπὸ τοῦ σώματος· οὐ νενίκηται ἀπὸ τῶν πόνων· προοίμια καὶ ἀρραβῶνα τῶν ἄθλων δίδωσιν αὐτῷ ὁ θεός, χρηματίσας αὐτῷ διὰ λαίλαπος καὶ νεφῶν· ἀνύσας οὖν προτέρων λόγων, δέον ἀποκρίνασθαι πρὸς θεόν· σιωπᾷ ὡς οὐκ ἔχων παρρησίαν ἀποκρίνασθαι πρὸς αὐτόν· οὔπω γὰρ ᾔδει τὸ ὕστερον γεγραμμένον ὑπὸ Μωϋσέως ὡς Μωϋσῆς ἐλάλει· ὁ δὲ θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ· ὡς μὴ ἐπιστάμενος τοίνυν τοῦτο οὐ θέλει ἀποκρίνασθαι πρὸς τὸν θεόν· ὁ δὲ θεὸς

δίδωσιν οὕτω παρρησίαν τοῦ λέγειν : Καὶ μετ' ὀλίγα :

Τοσαύτη ἐστὶν ἡ χρηστότης τοῦ θεοῦ, ὥστε ἀναλαβεῖν αὐτὸν πρόσωπον οὐ κρίνοντος, ἀλλὰ κρινομένου μετὰ τοῦ ἀνθρώπου· καὶ πολλαχοῦ τοῦτον ἐδίδαξεν ἡ γραφή· δεῦτε καὶ διαλεχθῶμεν λέγει κύριος. καὶ λαός μου, μᾶλλον δὲ ὁ θεὸς μετὰ τοῦ λαοῦ διαλεχθήσεται· λαός μου τί ἐποίησά σοι, ἢ τί παρηνώχλησά σοι, ἀποκρίθητί μοι καὶ τὰ ἑξῆς : Ὀλυμπιοδώρου :

τοῦ Μὴ παραιτοῦ φησὶ δικάσασθαι, μὴ δὲ ἀπόφευγε τὴν ἐμὴν κρίσιν· ἐπειδὴ γὰρ ὁ Ἰὼβ ἐδόκει λέγειν ἐπὶ θεοῦ τὰ περισσότερα, θαρρῶν τῇ αὐτοῦ δικαιοπραγίᾳ καὶ ἔλεγεν ὡς πρὸς τοὺς φίλους, ὅτι θεοῦ κρίνοντος οἶδα ὅτι ἀναφανοῦμαι δίκαιος· τοῦτ' αὐτὸν εἰς ἔννοιαν ὁ θεὸς ἄγει δικάζειν λέγων· κρίθητι πρὸς ἐμοί· καλῶς ἐπίστευες· καλῶς ἤλπιζες ἀναφανήσεσθαι δίκαιος. καὶ γὰρ διὰ τοῦτο συνεχώρησα τοὺς πειρασμούς, ἵνα ἐπὶ τέλει χρηματίσω σοι· καὶ πάλιν δημοσιεύσω ταῖς γενεαῖς τὴν σὴν δικαιοσύνην, εἴτε σὴν εὔκλειαν καὶ τῆς οἰκουμένης ὠφέλειαν· ὅθεν φησὶν εἶπεν ἵνα ἀναφανῇς, οὐχ ὥστε ἵνα γένῃ δίκαιος· ἦς γὰρ ἀκριβῶς τὴν δικαιοσύνην ἀσκήσας· ἀλλ' ἵνα δειχθῇς : Μεθοδίου :

Μὴ νομίσῃς φησὶ ταῦτα ἅπερ ὑπέμεινας ἀλόγως κεκρίσθαί μοι, ἀλλὰ προειδομένου μου τὸ συμφέρον σοι· προσέθηκα γὰρ τοῖς πειρασμοῖς τὸν χρηματισμόν· οὐ κατ' ἄλλου τινὸς ἕνεκεν ἵνα δίκαιος ἀναφανῇς, ὅπερ δειχθῇς ὅπερ ἧς :

Μὴ ἀποποιοῦ μου τὸ κρίμα· οἴει δέ με ἄλλως

σοι κεχρη-

+

› σοι κατέκρινας τί ἠλέησας· ἢ ἵνα ἀναφανῇς δίκαιος· ἢ βελτί

› σοι ἐστὶ κατὰ τοῦ ἀνθρώπου : ἑ(τέρα) ἀπορώσεις·

:: ἑ(τέρα) ὡς θεοῦ ὑπάρχης οἷον αὐτὸ τοῦ θεοῦ : Ὠριγένους :

Μὴ ἀποδίδου μου τὸ κρίμα· τούτου τοῦ ἔπους ὡς χρησίμου λγ
μνημονεύομεν· ἀλλ' ὅταν κρίνῃ ὁ θεὸς παθεῖν τι ἡμᾶς, τέκνον
ἀποθάνῃ· ἄρχονται ἀπολέσθαι· νοσῆσαι τὸ σῶμα· ὅτι
δήποτε τούτων ὑπομεῖναι οὐδὲν τούτων οἷόν τε ἐστὶν ἡμᾶς πα-
θεῖν, μὴ κρίνοντος τοῦ θεοῦ· οὐδὲ γὰρ στρουθίον πίπτει
εἰς παγίδα ἄνευ τοῦ βουλήματος τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐ-
ρανοῖς· ἐπεὶ οὖν οὐδὲν τούτων γίνεται χωρὶς κρίματος τοῦ
θεοῦ· λέγεται πρὸς τὸν παθόντα μὴ ἀποδίδου μου τὸ
κρίμα, μὴ ἀπαρνῇ ὅτι ἔκρινα περὶ σέ :

Τοῦ ἁγίου ἰω(άννου) : Τὸν παρόντα λέγει χειμα- ϙ
τισμόν· οὐχ ἵνα σε καταχρίνω λέγω ταῦτα φησίν· ἀλλ' ἵνα
δείξω δίκαιον, ἢ περὶ τοῦ πειρασμοῦ φησί, χειμα-
τισμὸν τὴν ζημίαν φησὶ λέγων, τουτέστι προστεταχέναι
με διά τι τοῦτο γνώσασθαι, οὐκ εἶπεν ἵνα γνῷ, ἀλλ' ἵνα
φανῇς ὅπερ εἶ· ἵνα τοὺς ἄλλους παιδεύσῃς :

Ὠριγένους : Ἀπολογοῦμαί σοι δίκαιος εἶ· ἀλλ' οὐ-
κ ἦς φανερός· ὑπομονὴν εἶχες ἐπιδεῖξαι ἀφορμὴν πα-
ρασχεῖν σοι τοῦ λάμψαι σου τὴν ὑπομονήν· εἶχες ἀν-
δρίαν· ἀλλ' ἐκρύπτετο ἐν σοί· οἱ συμβεβηκότες πόνοι ἐ-
δείξαν σου τὴν ἀνδρείαν : Καὶ μετ' ὀλί(γα) :

Μνημονεύομεν τούτων ἐν τοῖς τῶν πειράσεων καιροῖς,

καὶ στῶ ἔσομεν τοῦ θεοῦ ἀκούειν παρόντος καὶ λέγοντος
ἡμῖν· οἴει δὲ μὴ ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀ-
ναφανῇς δίκαιος, καὶ ἀναφανῶμεν δίκαιοι μὴ δὲ ἀ-
λε' σεβεῖς. Ὀλυμπιοδώρου. Ἐνδείκνυται ὁ κς
τὴν ἑαυτοῦ δύναμιν ἐνδεικνὺς τῷ ἰώβ, δι' ὃ τοῦ τῶν
αἰτίων χάριν. συνεχώρησά σε πληγῆναι θλίψεσιν, οὐ
χωρὶς πολεμῶν σοι, οὐδὲ ὀργιζόμενος, ἀλλ' ἵνα ἀναφανῇς
δίκαιος. ἐπεὶ ποία σοι ἐστὶν ἡ ἰσχὺς ἵνα εἰς πόλεμον ἀν-
τιταχθῶ σοι· καὶ ἄλλως δὲ ἐπειδὴ εἶπεν αὐτῷ ὁ θεὸς
διὰ τοῦτό σοι κεχρημάτικα, ἵνα ἀναφανῇς δίκαιος.
ἵνα μὴ ἐντεῦθεν μεγαλοφρονήσῃ· εὐθὺς αὐτῷ τὴν οἰκεί(αν)
ἐνδείκνυται δύναμιν· εἰ δὲ καὶ ὁ ἰὼβ τοῦτο οὐ καὶ
ἔπαθεν· ἀλλ' ἐπειδὴ κοινωφελεῖς εἰσὶν οἱ λόγοι ἡμᾶς
ἀεὶ καταστέλλεσθαι προσήκει· καὶ εἰς τὸ ἀκρότατον ὕψος
τῆς ἀρετῆς φθάσωμεν: Εὐαγρίου:
λε' Ἐνταῦθα τῆς ἐγκαταλήψεως τὴν αἰτίαν δεδήλωκε:
φωνῇ κατ' αὐτὸν βροντᾷς· ἀνάλαβε δὲ ὕψος καὶ δύ-
ναμιν, δόξαν καὶ τιμὴν ἀμφίασαι· ἀπόστειλον δὲ ἀγγέ(λους)
ὀργῇ· πάντα δὲ ὑβριστὴν ταπείνωσον· ὑπερήφανον
δὲ σβέσον· ἀσεβεῖς δὲ παραχρῆμα σῆψον:
:: ἡ εὐπρέπειαν καὶ ὕψος. :: τοὺς δαίμονας.
:: τὸν ἀρχάγγελον : τοῦ ἁγίου ἰω(άννου):
ου Ὑπάρχει πρὸς ἐπίδειξιν ἡ βροντὴ καὶ τὰ ἄλλα πάντα
πρὸς θεογνωσίαν· ὅσῳ γὰρ πόσων τὸ ταπεινὸν τῆς αὐτοῦ

φύσεως ἐλέγχει αὐτόν καὶ οὐ λέγει ὅτι ταπεινὸς σύ, ἀλλ᾽ ὅτι
μέγας ἐγώ, καὶ οὐ δύνασαι ἅπερ ἐγώ : Ὠριγένους :
Στεφάνωσαι. ἔνδυσαι δόξαν, ἔνδυσαι τιμήν : ϙ
Κόσμησαι τῇ ὑπεροχῇ φοβερά καὶ μετεωρότητι : Ὀλυμπιοδώρου:
Ἐπίλοιπα φησίν, ἀνάλαβε ταῦτα, ἅπερ κατὰ φύσιν ὑπάρχει λς
τῷ θεῷ· χρῆσαι δὲ τοῖς ἀγγέλοις εἰ δύνασαι εἰς τιμωρίαν
τῶν ὑβριστῶν καὶ ὑπερηφάνων : Ὠριγένους :
Νενίκηκας. ἀνάλαβέ σου τὸ ὕψος, ἀνάλαβέ σου τὴν δύ- λς
ναμιν : τοῦ αὐτοῦ : Ὁ ὑβριστὴς ἐστρατεύ- ϙ
σατο κατὰ σοῦ· ἰδέ μοι ὁ ὑβριστὴς ἀπόστειλόν μοι τὴν
χεῖρα σου· ἰδέ μοι ἄψαι ἄψαι πάντων ὧν ἔχει. ἰδέ μοι
πεί σου ὡς ἄρα εἰς πρόσωπόν με εὐλογήσεις· ἀλλ᾽ ὅμω
γε νενίκηκας· διὰ τοῦτό σοι λέγω θάρσει· πάντα δὲ ὑβρι-
στὴν ταπείνωσον, καὶ τοὺς ἀγγέλους αὐτοῦ ταπείνωσον.
ὑπερήφανος ἐκεῖνος γεγένηται κατὰ σοῦ· ἀλλὰ σὺ ὑ-
περήφανον σβέσον· ἀσεβὴς ἐκεῖνος κατὰ σοῦ· ἀλλὰ
σὺ σῆψον ἀσεβεῖς παραχρῆμα : Ὀλυμπιοδώρου :
Ἐργάται δὲ τοὺς ἀσεβεῖς ἀφανεῖς, εἴτε ἀνθρώπους, εἴτε δαίμο- λξ
νας, καὶ εἰς τὰ κατώτατα τῆς γῆς, καὶ εἰς τὸ ἐξώ-
τερον ἐκπέμψων σκότος· δύνασθαι αὐτὴν τοῦ τιμωρεῖ-
σθαι αὐτῶν παρασκευάζων· τὸ δὲ παραχρῆμα· τουτέ-
στιν ἀκωλύτως ὅτε ἂν βουληθῇς :
› Σῆψον δὲ ὁμοθυμαδὸν εἰς γῆν ἔξω· τὰ δὲ πρόσωπα αὐτῶν
› ἀτιμίας ἔμπλησον· κρύψον δὲ εἰς γῆν ἔξω ὁμοθυμαδόν.

ὁμολογήσω ἄρα ὅτι δύναται ἡ δεξιά σου σῶσαι· ἀλλὰ δὴ

ἰδοὺ θηρία παρά σοί· χόρτον ἴσα βουσὶν ἐσθίει:

∴ ἃ καὶ ἀπόρριψον ∴ διὰ τῶν ἐλέγχων ∴

κατάχωσον αὐτοὺς εἰς κόνιν: Ὠριγένους:

λζ Ἔλεγξον ἁμαρτωλούς, δεικνὺς αὐτοὺς ἁμαρτωλούς, πλή-
ρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας διὰ τοῦ ἐλέγχου τοῦ

λη ἐν σοί: Ὀλυμπιοδώρου: Ἐὰν ταῦτα δύ-
νατός τις ἀπεργάζεσθαι, ἕξεις με σὺν ὁμολογοῦντα τὴν σὴν

λθ δύναμιν: Τοῦ αὐτοῦ: Ἐντεῦθεν τῶν περὶ
τῶν νοητῶν θηρίων εἰσάγει λόγον, καὶ αὐτοῦ τε τοῦ σατανᾶ·
ἰδοὺ δή που φησὶν εἰσὶ θηρία παρὰ σοὶ ἄγρια καὶ ἀνή-
μερα, ἅτινα τῇ ἐμῇ ἰσχύϊ κεκολουμένα καὶ χαλινούμεναι,
ὡς οἱ βόες οἱ τὸν χόρτον ἐσθίοντες· χόρτον δὲ ἐσθίειν λέγονται,
διὰ τὸ τοῖς φθαρτοῖς καὶ προσκαίροις τοῦδε τοῦ βίου ἐνηδύ-
νεσθαι, καὶ διὰ τούτων τοὺς πόνους ἐξαπατᾶν:

λθ Μεθοδίου: Ὡς ἀθλητὴς μανθάνει τὰ περὶ τοῦ
δράκοντος τοῦ ἀνταγωνιστοῦ: Ὠριγένους:

λθ Θηρία αἱ ἀντικείμεναι δυνάμεις εἰσί, περὶ ὧν ηὔξατο
ὁ προφήτης λέγων· μὴ παραδῷς με τοῖς θηρίοις ψυχὴν
ἐξομολογουμένην σοι· θηρία εἰσὶν αἱ ἀντικείμεναι
δυνάμεις, ὧν εἴληφας τὸ ἀνετὴν ἐξουσίαν· ἐὰν θεῷ
δουλεύσῃς ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ: Ἄλλο:

Παρὰ σοὶ τῷ θεῷ, παρὰ παντὶ τῷ ὑπομονητικῷ, πα-
ρὰ παντὶ τῷ νενικηκότι: Ἰουλιανοῦ:

τοὺς σκώληκας λέγει τοὺς ἐξ αὐτοῦ αὐτὸν κατεσθίοντας. λθ
ἐνέστειλα γάρ φησι τὴν χεῖρά μου ἀπὸ σοῦ, καὶ ἰδοὺ
ὡς χόρτος κατεσθίει: τοῦ ἁγίου Ἰω:

τὸ γὰρ θαυμαστόν, ὅτι θηρίον οὐχ αἱμοβόρον ἐστίν· εἶτα λθ
λέγει περὶ δύο τινῶν· τοῦ μὲν χερσαίου· τοῦ δὲ ἐνύδρου
καὶ θαλαττίου· καὶ οὐκ ἀγνοοῦμεν ὅτι πολλοὶ περὶ τοῦ
διαβόλου ταῦτα εἰρῆσθαι νομίζουσι, κατὰ ἀναγωγὴν ἐκ-
λαμβάνοντες· δεῖ δὲ πρότερον τῆς ἱστορίας ἐπιμεληθῆ-
ναι, καὶ τότε ἐπὶ τὸν ἀκροατὴν ὠφελεῖν, καὶ ἐκ τῆς ἀ-
ναγωγῆς μεταβαίνειν: ἀντὶ τοῦ σαρκικῶς νε
οὐ πνευματικῶς πολιτεύονται· πάντα γὰρ σὰρξ χόρτος:

[μ] ἰδοὺ δὴ ἰσχὺς αὐτοῦ ἐπ' ὀσφύϊ· ἡ δὲ δύναμις [μα] αὐτοῦ ἐπ' ὀμ-
φαλοῦ γαστρός· [μβ] ἔστησεν οὐρὰν ὡς κυπάρισσον· τὰ δὲ νεῦρα αὐτοῦ
συμπέπλεκται. [μγ] αἱ πλευραὶ αὐτοῦ πλευραὶ χάλκειαι:
:: α' γύλου, θ' ἐστὶ τάχος· :: τάχα τὸ αὐχένιον· οἱ
γ' κέδρον: Ὀλυμπιοδώρου:

τοῦ θηρίου φησὶν ἡ δύναμις ἐν τῇ πορνείᾳ, ἐπειδὴ ἐν τῇ μ
ὀσφύϊ τὰ σπερματικὰ ἀγγεῖα. τὸ πρόσωπον δὲ σωμα-
τοποιῶν τοῦ σατανᾶ ἐκ τῶν ἐνεργειῶν αὐτοῦ παρέγραψε
τοῦτον: Ὠριγένους: αὕτη πρώτη δύνα-
μις κατὰ τοῦ ἀνδρὸς πόρνον ποιεῖν ἐντεῦθεν ἄρχεται:

Ὀλυμπιοδώρου: ἀλλὰ καὶ ἡ γαστριμαργία ἐμ- μ
φαίνεται· ἢ καὶ ἐπειδὴ ὁ ὀμφαλὸς ἐν μέσῳ κεῖται τοῦ
παντὸς σώματος· ἐν μέσῳ φησὶ πέπηκται ἡ ἰσχὺς αὐτοῦ,

καὶ ἀκλινὴ ἐστὶ πανταχόθεν· μόνου καλοῦ ὢν καὶ μηδέποτε
μα ῥέπων εἰς ἀγαθόν: Περισφίγγουσι γὰρ τὸν ὀμφαλὸν τὰ
νεῦρα τῆς ἐχέτως: Ἐλαφείου: Ὁ σεμνὸς ἐνταῦ-
-θα τὴν πορνείαν λέγει καὶ πᾶσαν αἰσχρὰν ἡδονήν:
μα Ὠειγλέους: Ἵνα τὸ θῆλυ σημάνῃ, ἵνα δείξῃ ὅτι
πεπαλαίωται· οὐ μόνον κατὰ τῶν ἐχόντων τὰ ποιήματα
πάνυ δὲ εὐπρεπέστατα· ὠνόμασεν ὀσφὺν ἐπὶ ἄρρενος,
καὶ ὀμφαλὸν γαστρὸς ἐπὶ γυναικός· μᾶλλον γὰρ ἐστὶ εὔσχημον
φθάσαι τῷ λόγῳ ἐπὶ γυναικός· ἰδοὺ δὴ ἡ ἰσχὺς αὐτοῦ ἐπ᾽ ὀ-
σφύϊ· ἡ δὲ δύναμις ἐπ᾽ ὀμφαλοῦ γαστρός:
μβ Θλυκοῖο δώρου: Οὐρὰ τὸ τέλος· κυπαρίσσου
δὲ ξύλον ἰαμόν· ἐστὶ μῦλον φησὶ μέχρι τέλους ἰαματευό-
μενος· τὰ δὲ νεῦρα αὐτοῦ, τουτέστιν ἡ πανουργία αὐτοῦ δυσ-
διάλυτος ἐστίν: Ἄλλως: Προσποιεῖται ἡ οὐρὰ
αὐτοῦ, αὐτὸ τοῦ ἡ ἐπομένη αὐτῷ δύναμις κυπαρίσσου εἶναι,
ὅτι δίκαιος· κυπαρίσσῳ δὲ εἰκάζεται ὁ δίκαιος διὰ τὸ
ἡδὺ καὶ εὐῶδες καὶ εὔτονον· μετασχηματίζονται δὲ εἰς ἀγ-
γέλους φωτὸς καὶ οἱ διάκονοι αὐτοῦ: Τοῦ αὐτοῦ:
μγ Πλευραὶ οἱ δόλοι αἱ μηχαναί, ἤτοι αἱ αἱρέσεις· ὅτι πλάγιαι
εἰσὶν αἱ πλευραί, ὥσπερ αὐτοῦ τὰ νοήματα σκολιὰ καὶ
πλάγια· χαλκαῖ δὲ ἢ διὰ τὸ ἰταμῶς αὐτὰς ἀνθίστασθαι τῇ ἀλη-
θείᾳ, ἢ ἐπειδὴ ὥσπερ στίλβων ὁ χαλκὸς μιμεῖται τὸν χρυσὸν· λέ-
γεται δὲ ὅτι καὶ αὐτὸς ὁ σατανᾶς μετασχηματί-
ζεται εἰς ἄγγελον φωτός :

Ἡ δὲ ῥάχις αὐτοῦ σίδηρος χυτός· τουτέστιν ἀρχὴ πλάσματος
κυρίου· πεποιημένος ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐ-
τοῦ· ἐπελθὼν δὲ ἐπ' ὄρος ἀκρότομον· ἐποίησε χαρμονὴν
τετράποσιν ἐν τῷ ταρτάρῳ:

:: ῥ ὡς συμβλήματα σιδηρᾶ: :: ἀκέφαλη θ ῥ
ὁ τῶν ἰσχυρῶν· ::: ποιηθὲν προσεγγισθῆναι τῇ μαχαίρᾳ
αὐτοῦ· ::: ἀκρότομον τὸ στερεόν: Ὀλυμπιοδώρου:

Τὰ ἀπορρινήματα τοῦ σιδήρου χωνευόμενα γίνεται σκεῦος
ἄχρηστον· ἀρχὴ δὲ ὁ σύνδεσμος πάντων τῶν μεγάλων·
σημαίνει τοίνυν διὰ ταύτης τὸ πρεσβυτικὸν πάντων τῶν
παθῶν ἐξῆς παρυφίστανται: Διδύμου:

Οὐ κατακαμπτομένη δὴ ὑπὸ τῆς γῆς· ἄκμων γὰρ ἀνή-
λατός ἐστιν: Ὀλυμπιοδώρου:

Ἀρχὴ εἴρηται τοῦ πλάσματος κυρίου, τουτέστι τῶν ἀνθρώπων ἢ
καὶ τῶν δαιμόνων οὐ παρὰ κυρίου· ἀλλ' ἑκόντι τοῦτο παθεῖν
ἑλομένων, καὶ ἑαυτοὺς διὰ τὰ πάθη καὶ τὰς ἡδονὰς ἐκπα-
ραφθορῶν τῶν ἐν ἐκείνῳ τοῦ διαβόλου ξένω· ἢ καὶ ὅτι
ὁ διάβολος τὴν πρώτην ἀρχὴν παρ' ἀγγέλοις εἶχε:

Τοῦ αὐτοῦ: Ἐπειδὴ γὰρ ἀπέστη θεοῦ, ἀποστάτης
γέγονεν εἰς τὸ ὑπὸ τῶν ἁγίων ἀγγέλων ἐγκαταπαίζεσθαι.
καὶ ὑπὸ τῶν ἰσαγγέλων ἀνθρώπων: Εὐσεβίου καισαρ(είας)
ἐκ τοῦ εἰς τὸν Ἡσαΐαν ὑπομνήματος:

Οἷς ἐπιλέγει· τουτέστιν ἀρχὴ πλάσματος κυρίου πεποιημένον
καταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ· καὶ πάλιν αὐτός·

ἐπεί φησι· βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν· ἐπιδέχεται δὲ καὶ ἀλ-
ληγορίαν ἐν τούτοις ὁ λόγος, διδάσκων τούτου χάριν συγκεχωρῆ-
σθαι αὐτῷ τὸ ζῆν, ἐπὶ τὸ καταδέξασθαι αὐτῶν ὑπὸ τῶν ἀγγέ-
λων τοῦ θεοῦ, ἐγγυμναζομένων τῇ πρὸς αὐτὸν πάλῃ· καὶ ποτὲ μὲν
ἀγωνίσασθαι αὐτῷ περιβαλόντων· ποτὲ δὲ φορβέαν περιθεῖναι
αὐτοῦ δὲ οἱονεὶ τῶν τοῦ θεοῦ ἀγγέλων: Ὀλυμπιοδώρου:

μζ Ὄρος ἀκρότομον τὸν ἐνανθρωπήσαντα λόγον φησίν· ὅτε γὰρ ἐπεστά-
θη αὐτῷ παρ' ἐξουσίας σταυρωθῆναι, ἐχάρησαν οἱ τοῦ ταρ-
τάρου ἄξιοι οἱ ἀνόητοι δαίμονες. καὶ Ἰουδαῖοι καὶ Ἕλληνες
ἀγνοήσαντες τὴν διὰ τοῦ σταυροῦ οἰκονομίαν· τετράποδα δὲ
εἴρηται, ὡς τῇ ἀλογίᾳ καὶ τοῖς σαρκικοῖς ἐφηδόμενοι· ἐκ
τεσσάρων γὰρ τὸ σῶμα, ἢ ὅτι διὰ τοῦ σταυροῦ κατελθόντος εἰς
ᾅδου τοῦ σωτῆρος χαρὰ γέγονε τοῖς ἐκεῖ φρουρουμένοις
ἅπασιν· ἀλλὰ καὶ τῶν ἀλογώτερον βιωτευσάντων τῆς καθόλου
ἀποναμένων· εἰ γὰρ τοιοῦτοι, πολλῷ μᾶλλον οἱ ἐνάρετοι:

Ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται· παρὰ πάπυρον καὶ κά-
λαμον καὶ βούτομον· σκιάζονται δὲ αὐτῷ δένδρα μεγάλα
σὺν ὀρθάμνοις, καὶ κλῶνες ἄγνου:
∴ οἱ γ' κατ' αὐτόν :: αἱ ἰτέαι χειμάρρους σὺν τοῖς πα-
ραφυάσιν· οἱ δὲ ἰτέαι: Ὀλυμπιοδώρου:

μη Ὑπὸ πᾶν εἶδος ἀνθρώπινον, ὅτι καὶ κατὰ δικαίων ἐπιχει-
ρεῖ· ἢ ἐπεὶ τὰ δένδρα τὰ οὐκ ἐπὶ μιᾶς ἑστηκότα γνώμης
διὰ τὴν ἀβεβαιότητα, περὶ ὧν γέγραπται δένδρα φθινο-
πωρινὰ ἄκαρπα δὶς ἀποθανόντα· κοιμᾶται δὲ αὐτὸ τῶν

αὐλίζεται, ἐπαναπαύεται: Σευήρου ἐπισκόπου
ἀντιοχείας ἀπὸ λόγου γ': Ὁ διάβολος καὶ οἱ δαί- μη
μονες τοῖς ὑγροῖς ἐμφιλοχωροῦσι τόποις· διὸ καὶ ἐπῆλθεν
εἰς τὸ ὕδωρ ὁ κύριος, ἵνα κἀκεῖ αὐτοὺς συντρίψῃ:
Ὀλυμπιοδώρου: Ταῦτα ὕλη καὶ τροφὴ πυρὸς μθ
τυγχάνει· αὐλίζεται οὖν μάλιστα παρὰ τοῖς ἀξίοις τοῦ πυ-
ρός: Ὑπὸ τὰς ὑγρὰς καὶ ἀλώνους καὶ ἀκάρπους μθ
ψυχάς, αἳ πυρός εἰσιν ὕλαι: Ὀλυμπιοδώρου:
Ἢ τοῦτο λέγει ὅτι σκιάζονται αὐτῷ καὶ μεγάλοι τινὲς δαί- ν
μονες καὶ ὑποβεβηκότες τῇ κακίᾳ· ἢ ὅτι καὶ μικροὺς καὶ
μεγάλους ἄνδρας ὑπέρχεται πάντας ὁμοίως ὑποτρέχων· ῥά-
-δαμνοι γὰρ αἱ παραφυάδες· λέγει οὖν ὅτι ὡς ὑπὸ σκιαῖς
δένδρων, καὶ παρὰ τούτοις ἐπαναπαύεται: Τοῦ αὐτοῦ:
Ἐπειδὴ πολλοὶ πολλάκις καὶ ἁγνείαν ἀσκήσαντες τῆς αὐτῆς να
μερίδος γεγόνασιν ὡς αἱ μωραὶ παρθένοι:
Εἰσὶ γὰρ ἐπ' αὐτῶν ἁγνεύοντες: νδ
Ἐὰν [νβ] γένηται πλήμμυρα οὐ μὴ αἰσθηθῇ· [νγ] πέποιθεν ὅτι προσ-
κρούσει ὁ Ἰορδάνης εἰς τὸ στόμα αὐτοῦ· [νδ] ἐν τῷ ὀφθαλμῷ
αὐτοῦ δέξεται αὐτόν· [νε] ἐνσκολιευόμενος τρήσει ῥῖνα:
∴ σ' οὐ καταπλήσεται· ∴ α' ὅταν· ∴ α' λήψε-
ται· ∴ σ' ἐν σαγήνῃ τρυπηθήσεται τὴν ῥῖνα:
Ὀλυμπιοδώρου: Ἀντὶ τοῦ ἐὰν γένηται πλῆθος νε
γνώσεως, καὶ εἰς σύμπασαν οἰκουμένην ἐπιγνῶναι τὸν θεόν,
αὐτὸς μένει ἐν τῇ πονηρίᾳ καὶ τῆς εὐαγγελικῆς διδασκαλίας δίκην πέτρας

ὑπάρχων εὐφραίνας εἰς τὴν ὑπουράνιον κατὰ τὸ καὶ ἐκπληκτικῶς ἐ-
παύλους ὡς ποταμὸς ἐπέχεις, κακῶν ἐργῶν καὶ ζωογονῶν τὴν
γῆν· αὐτὸς εἰς συναίσθησιν οὐκ ἦλθεν, οὐδὲ κύριον ἑαυτοῦ
νβ γέγονε: τοῦ αὐτοῦ: Πέποιθε φησὶ τῇ ἑαυτοῦ συ-
κοφαντίᾳ, καὶ διασύρει τὸ θεῖον χάρισμα, καὶ ἐντελίξων
αὐτὸ λόγοις χλευαστικοῖς· τοῦτο δὲ ἐστὶν ἀκούειν καὶ τῶν ὑπ' αὐ-
τοῦ ἐνεργουμένων· Ἰουδαίων τε καὶ ἑλλήνων καὶ τῶν ἀπὸ τοῦ
Μανιχαίων, οὐ προσδεχομένων τὴν διὰ τοῦ Ἰορδάνου ἀπο-
νγ λύτρωσιν: τοῦ αὐτοῦ: Ἐπειδὴ σφόδρα
κατανοεῖ τοῖς τῇ χάριτι προσεληλυθόσι, καὶ κατ' αὐτῶν
μάλιστα μέμηνεν, ἐν τῷ ὀφθαλμῷ αὐτοῦ λέγεται πολεμικ
νδ αὐτοῖς: τοῦ αὐτοῦ: Ὁρμήσας καὶ ἐγκροῦσας
εἰς τὸν σταυρὸν ἐπλήγη τὴν ῥῖνα· δρακοντοειδὴς γὰρ αὐτὸν ὁ λό-
γος ὑποτιθέμενος, ἐν τῇ κεφαλῇ πολεμοῦντα δείκνυσιν·
τῇ γὰρ ὅλῃ ἑαυτοῦ δυνάμει ἐπῆλθεν ἡμῶν τῷ σωτῆρι· καὶ ἡ ἀ-
μαχος τοῦ σταυροῦ δύναμις τὰς μύλας τῶν λεόντων συνέθλα-
σεν, αὐτοῦ δηλονότι καὶ τῶν ὑπ' αὐτῷ τεταγμένων· ὥστε ἡ ῥὶς
καὶ οἱ ὀδόντες καὶ ὅλον τὸ πρόσωπον τοῦ δράκοντος συ-
νετρίβη: ἄλλως: Τρήσει ῥῖνα, ἀντὶ τοῦ ὑπο-
τάξει ἑαυτὸν ἐν μιμήσει τῶν τρυπωμένων βοῶν τοὺς
νε μυκτῆρας καὶ διαυλῶν ἀγομένων: Εἴτε τὰς βλασ-
φημίας αὐτοῦ σημαίνειν βούλεται, διὰ τοῦ οἷον ἐνδείξειν
τὴν εἴσω: νς Ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ· νζ περιθήσεις
δὲ φορβεὰν περὶ ῥῖνα αὐτοῦ· ἢ δήσεις κρίκον ἐν τῷ μυκτῆρι

αὐτοῦ· ψελλίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ· νη λαλήσει δέ σοι δεή-
σει ἱκετηρίᾳ μαλακῶς· νθ θήσεται δὲ μετὰ σοῦ διαθήκην:

∵ α' σ' λευιαθάν. ∷ θ' καὶ χαλινῷ τρήσεις σιαγόνα αὐτοῦ.

∴ α' θ' ἀγκάλῃ. ∴ θ' μὴ διαθήσεται: Ὀλυμπιοδώρου:

Δύναται δέ φησιν ὦ Ἰὼβ ποιῆσαι ὅπερ ὁ μονογενὴς ὕστερον εἰρ- νϛ
γάσατο. ὥσπερ γὰρ τι δέλεαρ αὐτῷ τὴν οἰκείαν σάρκα
προβαλόμενος διὰ τῶν οἰκείων ἥλων ὡς ἀγκίστρων ἰχθὺν ἤ-
γρευσεν: Εὐαγρίου: Οἶμαι τὸ προειρημένον νϛ
κῆτος, καὶ τὸν ἐνταῦθα δράκοντα ἕνα καὶ τὸν αὐτὸν εἶναι·
ἐπεὶ τὸ ἑβραϊκὸν ἐν ἀμφοτέροις λευιαθὰν περιέχει· οὐχ οὕτω
τῶν ἄλλων δρακόντων παρ' ἑβραίοις ὀνομαζομένων· ἀλλ' ἐχόντων
τὸ οἰκεῖον ὄνομα τοῦ γένους αὐτῶν· τοῦ γὰρ μὴν εἰς τὸν ἄρχον-
τα τῶν ἀντικειμένων δυνάμεων ἀναφερομένου δράκον-
τος. ἰδίως ὄνομα λευιαθὰν κέκληται ὥσπερ κυρίαν ταύτην
κεκτημένου προσηγορίαν: Ὀλυμπιοδώρου:

Ψελλίῳ, ἀντὶ τοῦ περιοχῇ· ὥσπερ οὖν ψελλίῳ καὶ περιοχῇ νξ
συνέρραψεν αὐτοῦ τὰ χείλη Χριστὸς ἐφ' ᾧ κινῆσαι τι κατ' αὐτοῦ.
καὶ τὸν μυκτῆρα αὐτοῦ κημῷ ἔδησε· καθάπερ τις ταῦρον δα-
μάζων, καὶ φορβεὰν αὐτῷ περιέθηκε καταπέξασθαι
παρερχόμενος: Τὸ ψέλιον κόσμος ἐστὶ τῆς νξ
χειρὸς τὸ ἔργον τὸ ἀγαθόν· ὁ οὖν ἔχων τὸ τοιοῦτον ψέλλιον,
τρυπήσει τὸ χεῖλος τοῦ δράκοντος τοῦ ἐξ ἐναντίας τοῦ διαβό-
λου ἐνθρεπτομένου μὴ ἔχοντος τί λαλῆσαι κατ' αὐτοῦ:

Μεθοδίου: Ἵνα μὴ συρίξῃ ὁ δράκων: ξ

ιη Ὀλυμπιοδώρου: Τοῦτό φησι διὰ τὸ παραδοθῆναι ὑπὸ τῶν δαιμόνων, καὶ βαλεῖν αὐτοὺς εἰς τὴν ἄβυσσον:

ιθ Τοῦ αὐτοῦ: Ἢ τοῦτο λέγει διὰ τὸ ἐπιτηδεῦσαι αὐτὸν τῷ κῳ· ταῦτα σοι δώσω πάντα. ἢ ὅτι μὴ δυνάσαι οὕτως ὑποτάξαι αὐτόν, ὡς αἱρεῖσθαι μηκέτι σοι πολεμεῖν:

> λήψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον· παίξῃ δὲ ἐν αὐτῷ ὥσπερ ὀρ-
> νέῳ· ἢ δήσεις αὐτὸν ὥσπερ στρουθίον παιδίῳ· ἐνσιτοῦνται δὲ
> ἐν αὐτῷ ἔθνη· μεριτεύονται δὲ αὐτὸν φοινίκων ἔθνη:

∴ ἢ καὶ ἐμπαίξεις: ∴ μὴ δὲ ἐκλέψαι δυνάμενον:

ξ Ὀλυμπιοδώρου: Ὁ δοῦλος ἢ προαιρετικῶς γίνεται δοῦλος, ὡς ὁ δουλεύειν θεῷ αἱρούμενος· ἢ ἀναγκαστικῶς αἰχμαλωτιζόμενος καὶ καταδυναστευόμενος. ὅτι δέδοται ὁ διάβολος:

ξα Τοῦ αὐτοῦ: Δήσας τὸν ἐχθρὸν ὁ κς ἡμῶν, δέδωκε τοῖς ἁγίοις ἐμπαίζειν αὐτοῦ ὥσπερ εἰς στρουθίον τοῖς γεγραφθεῖσι καὶ γινομένοις ὡς τὰ παιδία:

στ Ὠριγένους: Μεγάλης καὶ ἐρρωμένης καὶ τελείας ψυχῆς τέταρται τὸ τέλος, ἵνα ὥσπερ στρουθίον παιδίῳ παραδῶται· μὴ δὲ ἐκλέψαι τὸ παιδίον δυνάμενον, ὅτε καὶ δεδεμένον αὐτὸ ἄγει ὅπου βούλεται τὸ παιδίον καὶ περιφέρει· οὕτω τῇ χάριτι τοῦ παντοκράτορος θῦ ὡς στρουθίον ὑποχείριον δεδεμένον γεγένηται τοῖς νηπίοις καὶ θηλαζομένοις, ὧν ἐκ στόματος κατηρτίσατο αἶνον ὁ θς:

ξβ Ὀλυμπιοδώρου: Ὥσπερ τῶν πιστῶν βρῶμα ὁ κς οὕτως αὐτὸς τῶν ἀπίστων, ἔδωκας βρῶμα τοῖς αἰθιό-

-ψὶν πτωχοῖς φησὶν ὁ ψαλμῳδός· τουτέστι τοῖς υἱοῖς τοῦ σκότους καὶ τοῖς
ἐν ἀγνωσίᾳ: Τοῦ αὐτοῦ: Πάντως καὶ ἕκαστον
λόγον ὃν παραδεχόμεθα, ἤτοι ἀπὸ τοῦ δράκοντος ἐσθίομεν
ἐὰν παραδεξώμεθα ἀκοὴν ματαίαν, ἢ ἀπὸ τοῦ Χριστοῦ ἐσθίο-
μεν, ἐὰν παραδεξώμεθα λόγον οἰκοδομοῦντα καὶ ὠφε-
λοῦντα: Τοῦ ἁγίου Ἰω(άννου): Τουτέστι τοσοῦτος- ξε
ὁ τοῦ σώματος ὄγκος ἐστὶν ὡς δειπνισθῆναι ὁλοκλήρῳ ἔθνει
ἀρκέσαι· οὐ γὰρ δὴ ὡς τούτου μέλλοντος γίνεσθαι ταῦτά φη-
σι καὶ Φοινίκων ἐμνήσθη διὰ τὴν ἐμπορείαν: Ὀλυμπιοδώρου:
Ἡ Φοινίκη, Χαναναία τὸ πρότερον ἐκαλεῖτο· διὸ γὰρ σύρεσαι ξϛ
Φοινίκισσαν Χαναναίαν καλοῦσι τὰ εὐαγγέλια· οἱ δὲ Χα-
ναναῖοι εἰδωλολάτραι· λέγει οὖν ὅτι μερίζονται τὸν δράκοντα
οἱ εἰδωλολάτραι· καὶ ἄλλως δὲ φοίνικες καλοῦνται, οἱ θύ-
οντες, ὡς φοινισσόμενοι τοῖς ἐπιβωμίοις αἵμασι· με-
ρίζονται δὲ τὸν δράκοντα, ἅτε ἀεὶ ἀθέσμων μετιὼν
πράξεων: Φωτεινοῦ: Ἐπεὶ ἐμπορείᾳ μεγά- ξϛ
λῃ διαβάζονται Χαναναῖοι καὶ Φοίνικες, διὰ τοῦτό φησι
μερίζονται δὲ αὐτὸν Φοινίκων ἔθνη· ἕκαστος ἢ μέρος λαμ-
βάνει ἀπὸ τοῦ δράκοντος, ἐὰν ᾖ τὸ γένος Χαναναῖος καὶ
Φοίνιξ: [ξα] Πᾶν δὲ πλωτὸν συνελθὸν, οὐ μὴ ἐνέγκω-
σι βύρσαν μίαν οὐρᾶς αὐτοῦ· [ξε] καὶ ἐν πλοίοις ἁλιέων κεφα-
λὴν αὐτοῦ· [ξϛ] ἐπιθήσεις δὲ αὐτῷ χεῖρα, μνησθεὶς πόλεμον
τὸν γινόμενον ἐν σώματι αὐτοῦ: Ὀλυμπιοδώρου:
Βύρσα, ἡ φολὶς ἢ λεπίς· φησὶν οὖν ὅτι πάντες ἄνδρες καθ' αὐτὸν ξζ

δυνάμενοι, οἱ τὸν δὲ τὸν βίον θάλατταν καλούμενον
πλεῖον πλέοντες, οὐδὲ μικράν τινα αὐτοῦ ἐπήρειαν τῶν
ἐσχάτων δυναμένων, δυνάμενοι τὸ καθ' ἑαυτοὺς ἐνεγκεῖν.
ὁ δὲ κύριος ἡμῶν αὐτὰς συνέθλασε τὰς κεφαλὰς τοῦ δράκοντος:
ξδ Θεολόγου: Τὰ τελευταῖα τοῦ δράκοντος καὶ
τὰ ἔσχατα οὐ δύνανται νεκρῶσαι πάντα ἅμα πλωτά. οἱ
ἅγιοι οἱ πλοίοις χρώμενοι τοῖς σώμασιν, οὐ δύνανται ἐνεγ-
κεῖν βύρσαν μίαν οὐρᾶς αὐτοῦ. αὐτοὶ καθ' ἑαυτοὺς οὐ δύ-
νανται· θείας δὲ δυνάμεως ἐπισκοπούσης δυνάμεθα μό-
νον βύρσαν μίαν οὐρᾶς αὐτοῦ· ἀλλὰ καὶ ὅλον αὐτὸν κομματίσαι,
καὶ ὅλον αὐτὸν νεκρῶσαι· νεκροῦμεν δὲ ἕκαστος τὸ ὅσον ἐφ' ἑ-
αυτοῦ τὸν διάβολον κατὰ τὸ εἰρημένον παρὰ τῷ ἀποστόλῳ.
ὁ δὲ κύριος συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν
ξε τάχει: Ὀλυμπιοδώρου: Ἁλιεῖς οἱ τῆς ἐκκλη-
σίας προεστῶτες διδάσκαλοι. πλοῖα δὲ αἱ ἐκκλησίαι. κεφα-
λὴν δὲ αὐτοῦ τὴν ὑπερηφανίαν λέγει· ἤτοι τὰς ἀρχὰς καὶ
ὑποθέσεις τῶν ἁμαρτημάτων, ὡς φόνου τυχὸν τὴν ἄκριτον
ὀργήν. φησὶ γὰρ ὅτι ὑπερηφανεύετο καὶ κατὰ διδασκάλων
καὶ κατὰ ἐκκλησιῶν διωγμοὺς δηλονότι κινῶν. καὶ ἄλλως δὲ
ποικίλως αὔξῃ τὴν πορείαν τῶν ἁλιέων ἀποστόλων, βουλόμενος
ἐμποδίσαι τῷ κηρύγματι· εἰ καὶ ὁμοῦ τοῖς ἐγχειρήμασι
ξς συνετρίβη: Τοῦ αὐτοῦ: Δύναται δὲ αὐτὸν φη-
σὶ τῇ σῇ δυνάμει καθίσαι, ἢ ὅλος μυηθῆναι καὶ συνοῆσαι
τὸν μέλλοντα γλυκαίνεσθαι ἐν τῷ σώματι αὐτοῦ πόλεμον ἥλικος.

σῶμα δὲ αὐτοῦ τοὺς δαίμονας λέγει, ὡς αὐτοῦ κεφαλῆς ὄντος· τοῦτον δὲ τὸν πόλεμον ἐνίκησεν τὰ τοῦ τετραμόρφου σταυροῦ ὁ χ(ριστό)ς· τὸ δὲ μηκέτι γινέσθω· ἐπειδήπερ ἅπαξ γέγονε σταυρός· ὃ γὰρ ἀπέθανε φησὶ τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ.

τοῦ ἁγίου Ἰω(άννου): Πόλεμον ἐνταῦθα λέγει τὴν ταραχὴν τὴν ἀξιόθεα μετὰ τὸ ζωγρῆσαι αὐτὸ φῶς γίνεται φησί· τοιοῦτο φησὶ τὸ θηρίον, ἄγριον καὶ δυσάλωτον καὶ ἀκαταπόλεμητον: ξς

Καὶ μηκέτι γινέσθω· οὐχ ἑώρακας αὐτόν· οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμακας. οὐ δέδοικας ὅτι ἡτοίμασταί μοι· τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντιστάς· ἢ τίς ἀντιστήσεταί μοι καὶ ὑπομενεῖ· εἰ πᾶσα ἡ ὑπ' οὐρανὸν ἐμή ἐστιν:

θ ἰδοὺ ἡ ἀρχὴ αὐτοῦ διέψευσται: ἐπ' ἅμα καὶ ὁ θεὸς τὴν ἰδέαν αὐτοῦ καταβαλεῖ: ι θ οὐδὲ μὴ ἀποσπλαγχνίσω ὅταν ἐξεγείρω αὐτόν: Ὀλυμπιοδώρου:

Οὐχ ἑώρακας φησὶν ἀλλὰ προφήτην. οὐκ οἶδε τοῖς νοητοῖς ὀφθαλμοῖς τοῦτον τὸν πόλεμον, οὐ θαυμάζεις δὲ ἐπὶ τοῖς λεγομένοις περὶ αὐτοῦ· καὶ δηλονότι φήσειεν ἂν ὁ Ἰώβ, διὸ καὶ καταρχὰς ἔλεγε, λέγων τὸ μέγα κῆτος χειρώσασθαι: ξς

τοῦ αὐτοῦ: Κατὰ τοῦτο τάξιν προσοιστέον τὸ ναὶ καλλωπιστόν γὰρ ἐστὶν ἡ ἀπόγνωσις· ἢ καὶ τοῦτο λέγει· ὅτι οὐκέτι αὐτὸν φοβηθήσῃ· ἡτοίμασται γάρ μοι εἰς τὸ ὑπ' ἐμοῦ πεσεῖν, καὶ ... τῶν ἁγίων μου ἐγκαταπαίζεσθαι: ξη

τοῦ αὐτοῦ: Ἐπειδὴ γάρ φησι δημιουργ ξθ

ἐμὲ παίδων καὶ δεσπότης, οὐ σιωπήσομαι διὰ τὸν σκυλεύ-
σαντα τὸν ὑπουργικόν, ἀλλ' ἐπεξελεύσομαι καὶ ἀμυνοῦμαι αὐ-
τὸν τῷ λόγῳ τῆς ἐμῆς δυνάμεως χρώμενος, ὥστε παύσας ἐλεεῖν
καὶ τὸν ἧττον αὐτῷ τουτέστιν τὸν ἥσσω τῷ διαβόλῳ γεγονότα
τῇ ἀποστασίᾳ. λέγει δὲ τὸν ἀντίχριστον ἐφ' οἷς καὶ αὐτὸς
πείσεται: ὁ ὑπὸ σιωπήσομαι δι' αὐτόν. καὶ λόγῳ
δυνάμεως ἐλεήσει τὸν ἴσον αὐτῷ. τίς ἀποκαλύψει πρό-
σωπον ἐνδύσεως αὐτοῦ:

※ ἐν τοῖς β. περὶ αὐτοῦ. :: ※ :: ς

2 πωρήσεται λέξει αὐτοῦ: ὁ θεὸς τὸν φίλον ἑαυτοῦ
εὐλόγως ἐλεήσει. τὸν δὲ ἐχθρὸν ταπεινώσει: ὁ λύμεστος:
σ ἀντὶ τοῦ οὐδεὶς ἀλλ' ἢ ἐμοῦ πρόσωπον δὲ ἐνδύσεως λέγει,
τὸ ἀπό τε ἄλλον πρόσωπον, ὃ μετεδύετο ὑποκρινόμενος:
σ ὑπείληφας: διὰ τοῦτο οἰκείωσιν τίς γὰρ ἀποκαλύψει πρό-
σωπον αὐτοῦ. τί ποιεῖ ἐνθάδε καὶ ἡ ἔνδυσις τίς ἀποκαλύψει
φησὶ πρόσωπον ἐνδύσεως αὐτοῦ. ἵνα δὲ νοηθῇ τὸ λεγόμενον,
παραδείγματι χρησόμεθα τῶν περιτιθεμένων προσω-
πείων καὶ μὴ φαινομένων τοῦτο ὅ ἐστιν. ἀλλὰ γελοῖοι δοκεῖν
ἀναλαμβάνουσι γὰρ προσωπεῖα φέρε εἰπεῖν οἱ ἐν ταῖς θυ-
μέλαις ὑποκριταί. ποτὲ μὲν ἡγουμένων. ποτὲ δὲ ἄλλως βα-
σιλέων. ποτὲ δὲ γυναικῶν. καὶ τὸ μὲν ἴδιον αὐτῶν πρόσω-
πον ἀποκέκρυπται καὶ ὡς αὐτὴ οὐ φαίνονται. ὁ δὲ δοκοῦ-
σιν οὐ βλέπονται. τοιοῦτος ἐστὶν ὁ δράκων. οὐδὲ τὸ πρόσωπον
αὐτοῦ δείκνυσιν. ἀλλὰ εἰ πρόσωπον λαβών, εἰς ἀπάτην

τοῦ ἀνθρώπου ἐκείνῳ χρῆται· καὶ ἔχει γὰρ ὁ ἐχθρὸς οὗτος πολλὰ
προσωπεῖα καὶ καθ' ἑκάστην κακίαν πρόσωπον λαμβάνει ἐπ'
ἀγέλης: Καὶ μετ' ὀλίγα: Τὸ πρόσωπον ὁ ἐνδε-
δεμένος τίς ἱκανὸς ἐλέγξαι· τίς ἱκανὸς ἀποκαλύψαι, δεῖξαι· ὅτι
ἔνδον δράκων ἐστί· τοιοῦτοι εἰσὶ τινὲς καὶ ἄλλοι μαθηταὶ αὐ-
τοῦ, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων·
ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες: Σευήρου ἐπι-
σκόπου ἀντιοχείας ἐκ τῆς πρὸς τοὺς ἐπισκόπους ἐπιστολῆς:
Ἐκ τῶν δεδηλωμένων παρὰ τῆς ὑμετέρας ὁσιότητος: Καὶ
μετ' ὀλίγα: Πρὸς τὴν μνήμην ἀνέδραμον τῶν ἱερῶν
γραμμάτων τῶν ἐν τῇ θεοπνεύστῳ βίβλῳ τοῦ Ἰὼβ ἐγκειμένων,
καὶ ὡς ἐν σωματικῇ διαπλάσει τὸ λίαν ἀναιδὲς καὶ ποικίλον
κεκριμμένων τῶν ἐπινοιῶν, καὶ τῆς τῶν ἔξωθεν προσωπείων
ὑπηγῆς ὑπογράφων τὸν τοῦ διαβόλου καὶ δαίμονος ἀρχε-
κάκου καὶ πονηροῦ· φησὶ γάρ· τίς ἀποκαλύψει πρόσωπον ἐν-
δύσεως αὐτοῦ· καὶ ὥσπερ αἱ ῥίζαι τῆς ἔξωθεν φαινομένης
ταύτης ποικιλίας ὡς ἔκ τινος βάθους τῆς ἀφανοῦς κακίας
ἀνίσχουσιν ἐπεγήγερνται τοῖς εἰρημένοις καὶ ταῦτα, τὸ
λοιπὸν καὶ εἰς τὸ ἑξῆς: ~

οα Εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι· οβ πύλας προσώ-
που αὐτοῦ τίς ἀνοίξει· στ κύκλῳ ὀδόντων αὐτοῦ φόβος:
ε εἰς ὑποδίπλωσιν φιλίδος αὐτοῦ τίς ὑπολύσει·
οἱ δὲ θύρας · θ περὶ τοὺς ὀδόντας: Φ εἰρηνέως:

Θώραξ οὗτος ὀνομάζεται καὶ στῆθος καὶ θώραξ ὅπου ἐστὶ

τὰ

τοπεριουνηκων· ὥσπερ ἄπλοιον ἐστὶν ὁ θώραξ τοῦ οὐδὲν ἔχει ἁπαλόν·
στερεός ἐστιν ἐπτυγμένος ἐστίν· εἰς οὖν πτύξιν αὐτοῦ καὶ θώρακος
τίς ἂν εἰσέλθοι· ἄλλος δὲ ἐλέγχων αὐτὸν πειρᾶται καὶ δεῖξαι
ὅτι ἐκπέπτυκται αὐτοῦ ὁ θώραξ· τῷ δὲ ἁγίῳ οὐκ ἐπτύκται:

οα Ὀλυμπιοδώρου: Οὐκ ἔστι τίς ἱκανὸς εἰσελθεῖν εἰς τὰ
νοήματα τῆς καρδίας αὐτοῦ, πόσῳ γε ἐπτυγμένα τυγχά-
νουσιν· ἀλλ' οἱ ἐν Χριστῷ ἅγιοι· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν:

Σευήρου ἐπισκόπου ἐκ τῶν λοιπῶν τῆς πρὸς ἐπισκόπους
οα ἐπιστολῆς: Εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰ-
σέλθοι· πύλας στόματος αὐτοῦ τίς ἀνοίξει· καὶ γὰρ οὐ μία
πύλη τοῦ στόματος· ἀλλὰ πολλαὶ τῶν ἀναιδῶς ψευδομένων
εἰσί· καὶ δοκοῦσι μὲν διὰ μιᾶς διαλέγεσθαι πύλης· τὰς δὲ 61
πλείους ἔχουσι κεκλεισμένας ἐν ἑαυτοῖς· ἵνα πρὸς τὴν χρείαν
τῆς κακοτεχνίας τῶν ἐν τῷ [illegible] διανοημάτων· ἢ βούλονται
κατάλληλος ἀνοίγωσιν ἐπὶ τὸ ῥηθῆναι τινὰ πρὸς ὄλεθρον
καὶ ἀπώλειαν· καὶ τὸ ἀνένδοτον δὲ καὶ ἀμετάθετον τῆς
πονηρίας τοῦ δαίμονος καὶ ταύτης φυομένης ἀνενδεκτα
ὡς πλατίνων χρωμάτων δηλοῖ πῶς ἀνεξάλειπτός ἐστιν ἡ καρ-
δία αὐτοῦ, πέπηγεν ὥσπερ λίθος· ἕστηκε δὲ ὥσπερ ἄκμων
οβ ἀνήλατος: Ὀλυμπιοδώρου: Τὰς ἐπιγνώσεις
πάσης τῶν νοημάτων αὐτοῦ, τίς φανεροποιήσει· πανοῦργος
ὢν καὶ ἀγαθὰς διδοὺς προφάσεις κακοποιεῖ· οὕτω διὰ
μέσου μετανοίας εἰς ἔλεγχον βόθρον τὸν Ἰούδαν ἐνέβαλεν
ἀπὸ τῆς προδοσίας ἐπὶ τὴν ἀγχόνην ἀγαγών· τίς οὖν ἀνοίξει.

τὰς πύλας τοῦ προσώπου αὐτοῦ. τίς οὗτος ἐστὶν ὥστε ἐλευθερῶσαι καὶ
δεῖξαι ὅσον δόλον, ὅσον ἰόν, ὅσα κακὰ ἔχει ἀποκείμενα:

ὀλυμπιοδώρου: τὰ ἔγκατα τὰ πονηρά, οἱ ψευ- ογ
δοπροφῆται καὶ ψευδοδιδάσκαλοι καὶ διακονοῦντες ὅλῳ τῷ
σώματι. ἔστι δὲ καὶ ἄλλως καὶ φοβερῶς τοῖς αὐτῶν ἀγνοοῦσιν
ἔμφοβον καὶ ἀπειλῶν, ἃ ποιεῖν οὐ δύναται μὴ συγχωροῦντος
τοῦ θεοῦ: ὠριγένους: περὶ ὧν λέγεται, ογ
ὀδόντας ἁμαρτωλῶν συνέτριψας, καὶ κύριος συνέτριψε τὰς μύλας
τῶν λεόντων, σημαίνει οὗτος ὁ φόβος τοῦ θεοῦ. ἀλλ' ὁ φόβος
ὁ κύκλῳ τῶν ὀδόντων αὐτοῦ. ἀλλ' ἐὰν ἔχῃς τὸν χριστὸν ἐν ἑαυτῷ
μὴ φροντίσῃς τούτου τοῦ φόβου. κύριον γὰρ τὸν θεόν σου φοβηθή-
-σῃ, καὶ δράκοντα αὐτοῦ μὴ φοβοῦ ἄλλον:

οϛ τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χάλκειαι· οε σύνδεσμος δὲ αὐτοῦ
ὥσπερ λίθος σμιρίτης· εἷς τοῦ ἑνὸς κολλῶνται· ος πνεῦμα δὲ
οὐ μὴ διέλθῃ αὐτόν· οξ ἀνὴρ τῷ ἀδελφῷ αὐτοῦ προσκολλη-
θήσεται: :: α' σῶμα αὐτοῦ ὑπερασπισμοὶ
θυρεῶν: :: σ' ὑπερφερὲς προσεχόμενος ἐν ἑαυτ-
οῖς: ::: θ' ※ ::: α' ἀναπνοή: ὀλυμπιοδώρου:

Τοῦτό φησιν οἱ διαλογισμοὶ αὐτοῦ τοὺς ἀνθρώπους εἰσὶν οδ
οὐχ ἁπαλοί τινες, ἀλλ' ἰταμοὶ καὶ σκληροί: ὠριγένους:

τὰ ὀπίσθια τὰ κοιλιακὰ [illegible] ὑμμένα [illegible], οδ
ἀσπίδων ἐστὶ ταῦτα τὰ ἔνδον αὐτοῦ· καὶ ἀσπίδες εἰσὶν οὐ
χάλκεαι τινές, ἀλλὰ σιδηρεῖ· ἀσπίδες γὰρ [illegible]:

ὀλυμπιοδώρου: σύνδεσμος ὅλον τὸ σῶμα αὐτοῦ· αἱ οε

γὰρ κακίαι αἵτινες σύνδεσμοι εἰσὶν αὐτοῦ μία τῆς μιᾶς ἤρ-
τηνται, καθὸ καὶ κακίαι καὶ ἐναντίαι που δοκῶσι. τοιαύτη δὲ
καὶ ἡ τοῦ σημείου φύσις. εἷς γὰρ τοῦ ἑνὸς κεκόλληνται. λέγεται
δὲ οὗτος ὁ λίθος καὶ τιμιώτατος εἶναι ἐγγὺς τοῦ ἀδάμαντος,
καὶ σίδηρον ἀρπάξειν. καὶ βεβαιότατος δὲ ὡς καὶ τὴν ὕελον
τρύφειν. ἱκαναὶ δὲ καὶ αἱ κακίαι διαβολικαί, καὶ τοὺς στερεοὺς
ἴσως εἰς ἑαυτοὺς ἕλκειν: Τοῦ αὐτοῦ:

οϛ Ἀντὶ τοῦ οὐδεμία ψυχὴ λανθάνει αὐτῶν, ἀλλὰ πάσας τηρεῖ, καὶ
πάσαις ἐπιβουλεύειν σπεύδει: Ὠριγένους:

οϛ Τὸ δὲ ἐλθεῖν οὐχ ὅτι ἔρχεται καὶ παρέρχεται· ἀλλ' ὅτι οὐδὲν αὐτὸν λανθά-
νει· πάντας δεῖ δι' αὐτοῦ διελθεῖν· ἑαυτοὺς οὖν παρασκευά-
σωμεν τοῦ μὴ κατασχεθῆναι ὑπ' αὐτοῦ: Ὀλυμπιοδώρου:

οξ Κἂν σφόδρα τινὲς ὁμονοήσωσιν ὡς μὴ διασπᾶσθαι, καὶ τού-
τοις ἐπιτίθεται. ὅρα δὲ μὴ περὶ τῶν κακιῶν καὶ τῶν ἐνεργούν-
των αὐτὰς δαιμόνων τοῦτο λέγει. ὥσπερ γὰρ ἄνθρωπος ἀνθρώ-
πῳ διὰ τὸ ὁμοφυὲς κολλᾶται, οὕτω καὶ οἱ δαίμονες ἀλλή-
λων ἔχονται. κἂν κατὰ τὰς ἐνεργείας αὐτοῖς ἐναντιοῦνται.
ὁ μὲν εἰς πορνείαν τυχόν· ὁ δὲ εἰς ὑπερηφάνειαν ὠθῶν.
εἷς γὰρ αὐτοῖς ὁ σκοπὸς ἡ τοῦ ἀνθρώπου ἀπώλεια:

Συνέχονται καὶ οὐ μὴ ἀποσπασθῶσιν. ἐν πταρμῷ αὐτοῦ
ἐπιφαύσκεται φέγγος: οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος ἑωσ-
φόρου. ἐκ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες
καιόμεναι. καὶ διαρριπτοῦνται ἐσχάραι πυρός: ⁘

⁘ ※ ⁘ φέγγος πυρός: ⁘ οἱ γ̅ ὡς: ⁘ αἱ
δαλοί:

σταλοί : ὁ λυχνιοφόρου : π τεκμὸς καθαρτικὸς οη

ἐγκεφάλου· ἐπεὶ οὗτος καὶ αὐτὸς μετασχηματίζεται εἰς φῶς

προσποιεῖται καὶ δύνασθαι καθαίρειν : τοῦ αὐτοῦ :

ἀλλὰ ἀπάτην· οὐ γὰρ ἔχουσι τὸ ἀληθινὸν φῶς· ὀφθαλμοὶ δὲ οη

νοοῦνται τοῦ δράκοντος, ἄνθρωποί τινες δοκοῦντες εἶναι γνωστικώ-

τεροι ὡς ἀπὸ τῶν αἱρέσεων : τοῦ αὐτοῦ :

αἱ βλασφημίαι καὶ οἱ λόγοι τῶν ἀσεβῶν καὶ ἀθέων διδα- π

σκάλων : ὡς εἰγλώσους : οἱ ὀφθαλμοὶ γὰρ αὐ- οθ

τοῦ σημεῖον ἑωσφόροι, ἀπ' εἶδος ἑωσφόρου· μετασχημα-

τίζεται γὰρ εἰς ἄγγελον φωτός· προσποιεῖται εἶναι οὐράνιος

ἀστήρ· προσποιεῖται εἶναι σύμβολον ἡμέρας :

τοῦ αὐτοῦ : οἶμαι μὲν καὶ πάντας τοὺς ἀσε- π

βεῖς ἀθέων δογμάτων εἰσηγητάς. κυρίως ἂν εἶναι μέλη

τοῦ δράκοντος, καὶ τῶν μελῶν τοῦ δράκοντος ὀνόματα

εἰ θέλεις ἀκοῦσαι ποῖοι εἰσὶν οὗτοι τὸ στόμα τοῦ δράκον-

τος εἴη δ' ἄν τι καὶ τεχνικῶς νοούμενον καὶ παράδοξον· ὅθεν

οἱ λόγοι οἱ ἀπολλύντες· καὶ στόματος παρ' αὐτοῦ λαμπάδες

ἀπολύονται πυρός· ὅτι ἐκ τοῦ στόματος αὐτοῦ ἐσχάραι ἀπο-

λύονται πυρός· ἢ ὅτε ἤκουσα τοῦ κατηγοροῦντος λόγου προ-

φάσει χριστιανισμοῦ κατηγοροῦντος τοῦ δημιουργοῦ· φέ-

ρε εἰπεῖν πρεσβεύοντος τὰ μαρκίωνος· πρεσβεύοντος τὰ

οὐαλεντίνου καὶ τὰ βασιλείδου· ὅταν κακῶς λέγωσι τὸν ποι-

ητὴν οὐρανοῦ καὶ γῆς· ὅταν λέγωσιν αὐτὸν μὴ εἶναι μὴ

δὲ δικαίως ὅσια φησὶν οὗτοι· ὄψει ὅτι ἐκ τοῦ στόματος

τῶν τοιούτων ἐξέρχονται λαμπάδες καιόμεναι· καὶ διαρριπτοῦν-
-ται ἐσχάραι πυρός· διὰ τοῦτο ἡμεῖς εἰδότες, τηρῶμεν ἑαυτοὺς
μήποτε ἐξέλθωσι αἱ λαμπάδες ἡμᾶς καύσωσιν· μήποτε ἐσχά-
ραι τοῦ πυρὸς ὑμῶν ἅψωνται:
Ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καιομένης
πυρὶ ἀνθράκων· ἡ ψυχὴ αὐτοῦ ἄνθρακες· φλὸξ δὲ ἐκ στό-
ματος αὐτοῦ ἐκπορεύεται· ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλί-
ζεται δύναμις· ἔμπροσθεν αὐτοῦ τρέχει ἀπώλεια:
πα Ὀλυμπιοδώρου: Ὁ καπνὸς ὀφθαλμῶν βλαπτικός.
ἡ δὲ ἁμαρτία καὶ ψευδηγορεία, σκοτίζει τοὺς νοητοὺς ὀφθαλμοὺς
τῆς ψυχῆς· ἐπεὶ οὖν τὰ σπλάγχνα τοῦ νοηθέντος δράκοντος κά-
μινος ἐστίν, οὐ καθαρὰν ἔχει τὴν ἀναπνοήν· νοήσεις δὲ σαγηνεύ-
~~ἁλιέας~~ αὐτοῦ τοὺς ἀπὸ τῶν αἱρέσεων: Τοῦ αὐτοῦ:
πβ Ψυχὴν ἔοικεν αὐτοῦ λέγειν τὴν ἐσχάτην ὑπερηφανίαν· τὰ
δὲ ὑπερήφανα ῥήματα, ἐκ στόματος αὐτοῦ ἐκπορευόμενα
οὐδὲν ἕτερον εἰσίν, εἰ μὴ φλὸξ καταναίουσα τοὺς χρωμένους
πβ αὐτοῖς: Εὐαγρίου: Ἀφ' ἧς ἐξέρχονται τὰ πε-
πγ πυρωμένα βέλη: Τραχήλῳ ποιεῖσθαι αὐλίζεσθαι
δὲ ὅπου οὐ παύεται, ἀλλ' ἀεὶ ἐνοπλεῖ τυραννεῖ: Ὠριγένους:
πδ Ἔστι τις δύναμις πονηρά· ἀλλὰ ἡ ἀσθένεια ἣν ἀνέλαβε δι' ἐμὲ
ὁ σωτήρ μου καὶ καθ' ἣν λέγεται ἀσθένεια θεοῦ, ἐνίκησεν ἐ-
κείνου τὴν δύναμιν· τὸ γὰρ ἀσθενὲς τοῦ θεοῦ, ὁ μὲν ἀπόστολος
λέγει ἰσχυρότερον τῶν ἀνθρώπων· ἐγὼ δὲ ἐρῶ ὅτι ποιεῖ τι ἰσχυρό-
τερον τῆς δυνάμεως τοῦ δράκοντος: Ὀλυμπιοδώρου:

Π όσων γὰρ τὶς εἰσδέχεται τὰς φθαρτικὰς ἡδονὰς καὶ κακίας· πϛ
αἵτινες αὐτοῦ προτρέχουσι· καὶ οὕτως αὐτὸν εἰσοικίζεται τὸν
διάβολον: ὠριγένους: Πρόδρομος αὐτοῦ πϛ
ἀπώλειά ἐστι, ὅπου ἐὰν ἔρχεται, προτρέχει ἡ ἀπώλεια
αὐτοῦ· εὐθέως αὐτὸς εἰσέρχεται· ἐὰν προέλθῃ παρὰ τὸ ἐ-
ξῆλθεν τὶς τὴν ἀπώλειαν, οὐ παραδέχεται τὸν δράκοντα: ὅταν
γὰρ ἁμαρτήσῃ τίς, τότε πυνθόμενος τῶν ἀκαιρῶν, διδασκάλους
ζητεῖ ἀπολλύμενος· καὶ ζητῶν διδασκάλους, μετὰ τὸ ἀπολέ-
σθαι, εὑρίσκει τὸν δράκοντα, καὶ παρέχεται τὸν δράκοντα
τοσούτων κακῶν πεπληρωμένον εἰς τὴν ἑαυτοῦ ψυχήν:

Σ άρκες δὲ σώματος αὐτοῦ κεκόλληνται· καταχέεις ἐπ' αὐτὸν
οὐ σαλευθήσεται· ἡ καρδία αὐτοῦ πέπηγεν ὥσπερ λίθος· ἕ-
στηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος· στραφέντος δὲ αὐτοῦ φόβος
θηρίοις τετράποσιν ἐπὶ γῆς ἁλλομένοις:

∴ ε περικεχυμέναι αὐτῷ ἀκλινεῖς ∴ ἐκ τῆς
κινήσεως αὐτοῦ εὐλαβηθήσονται ἰσχύειν: Ὀλυμπιοδώρου:

Τ ὰ πάθη ὑπ' αὐτοῦ ἑνὸς κεκόλληται· σῶμα δὲ αὐτοῦ οἱ ἁμαρτω- πζ
λοί, ὥσπερ τοῦ κυ ἡ ἐκκλησία· συνεῖσι δὲ ἥνωνται ἅμα
κεκόλληνται· τὸ γὰρ σὺ οὐκέτι παρ' ἐκείνῳ: ἄλλως:

Ἡ ἐκκλησία αὐτοῦ· κεκόλληται δὲ ἡ ἰσχὺς αὐτοῦ, καὶ συνήνωται.
καὶ πρὸς ἑαυτὴν γὰρ διαφέρεται: ὠριγένους:

Ἰδίως αὖ ἐπεκτείνας σάρκες σώματος δὲ ἥνωνται· ὁ δὲ συνεῖσ(ι) πζ
οὐ γὰρ ἥνωνται συνεχῶς· τὸ ἓν παρ' ἐκείνῳ πολλά ἐστιν· κενοδο-
ξοῦντες κεκόλληνται· διὰ τοῦτο λέγονται σάρκες σώματος

αὐτοῦ κεκόλληνται, οὐ σαλευθήσεται: Ὀλυμπιοδώρου:

ταῖς γὰρ αὐτῆς σαρξὶ καὶ καταπυκνώσεσιν αὐτοῦ χρῆται, καὶ ἔτι τῆς αὐτῆς αὐτῷ προσθήκης· ἀναλγής ἐστι καὶ ἀθεράπευτος· διὸ καὶ εἴρηκε περὶ σαρκὸς αὐτοῦ τὸ ἀποσκληρὸν καὶ ἐπὶ κακίαν ἀνένδοτον: Ὠριγένους:

υτυ ὁ ἐξελαυνόμενος, οὐκ ἀκολουθῶν λόγῳ, οὐχ εἰκότως δὲ σκληρός ἐστιν ἀνίατος, ἀνένδοτος, καὶ ἔτι ἀπὸ τοῦ διαβόλου ἀπέσπασε δύναμιν· καὶ τούτου τοῦ δράκοντος αὐτὸς ἔχει τὴν καρδίαν ἀνήλατον καὶ οὐκ ἐξελαυνομένην· εἰ δέ τις χριστὸς ἐστιν ἀκολουθῶν τῷ λόγῳ χριστοειδὴς αὐτός· ἐπεὶ ἕως ἂν γένηται δέλτον χριστοῦ καὶ δέξηται τοὺς τύπους τῶν γραμμάτων τοῦ θεοῦ ἐν χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας

πξ ἀμήν: Ὀλυμπιοδώρου: Ὅταν δὲ ἐπαρθῇ καὶ κατὰ τῶν αὐτῷ συνθεμένων τῶν θεοσεβῶν καὶ δίκην τετραπόδων ἀνοήτων τὰ γήϊνα φρονούντων, ἄγονται καὶ τρέχουσιν ἐκδημαγωγούμενοι παρ' αὐτοῦ:

› ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐθὲν οὐ μὴ ποιήσωσιν·

› δόρυ ἐπηρμένον καὶ θώρακα· ἥγηται μὲν γὰρ σίδηρον ἄχυρα·

› χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν· οὐ μὴ τρώσει αὐτὸν τόξον

› χάλκειον· ἥγηται μὲν πετροβόλον χόρτον· ὡς καλάμη ἐλογίσθησαν σφῦραι: ·:· σ καταβαλοῦσα αὐτὸν μάχαιρα οὐχ ὑποστήσεται: ·:· ※ σ οὐδὲ λόγχης ἄρσεις καὶ θώρακος: ·:· ※ α θ εἰς σ ὡς ·:· ※

·:· ※ σ οὐ φυγαδεύσει αὐτὸν ἀνὴρ τοξότης· ·:· οἱ ο'

λίθους σφενδόνης· ::::: ἀθ´ ※ ὀλυμπιοδώρου:

Διὰ τούτων φησὶ τὸ ἰταμὸν ἐδήλωσε τοῦ θηρίου· καὶ ὅτι ὅσα πη
ἂν οἱ ἅγιοι διὰ τῶν πνευματικῶν λόγων καταβάλωσιν αὐτὸν
οὐκ ἀπαθάνεται· ἄλλα φησὶν ὁ αὐτός ἐστιν· πετροβόλον δέ
ἐστιν ἡ σφενδόνη: εὐαγρίου:

Οὐδὲ μὴ τιτρώσκει τὸν σατανᾶ· ἐγκατάλειμμα δὲ καὶ ἀγάπη
ἀναιρεῖ αὐτόν: αἱ βολαὶ τουτέστι τῶν πληγῶν:

πθ
> Καταγελᾷ δὲ σεισμοῦ πυρφόρου· ἡ στρωμνὴ αὐτοῦ ὀβελίσκοι
> ὀξεῖς· πᾶς δὲ χρυσὸς θαλάσσης ὑπ' αὐτὸν ὥσπερ πηλὸς ἀ-
> μύθητος· ἀναζεῖ τὴν ἄβυσσον ὥσπερ χαλκεῖον· ἥγηται δὲ
> τὴν θάλασσαν ὥσπερ ἐξάλειπτρον:

∵ σειομένου θυρεοῦ· :: σ´ σιδήρεια τέκτονος·
::: οὐδὲ γὰρ ἐστὶ τούτου ἐπιδεής· ::: ἀ´ πηλάριον·
::: ἀ´ μυρεψητήριον· σ´ ὡς ἀναβρασσομένην ἄλειπτον:

ὀλυμπιοδώρου: Πυρφόρος ὁ θεοφιλὴς βίος, ὡς πθ
ζέων τῷ πνι· φησὶν οὖν ὅτι καὶ ἐὰν τῷ ἁγίῳ πνευματικῷ βίῳ
συσσείσῃς αὐτόν, οὐδὲν ἧττον καταφρονεῖ: τοῦ αὐτοῦ:

Ἐπὶ γὰρ τοῖς ὀδυνηροῖς καὶ ἀνωμάλοις πράγμασιν ἐπανα- ϟ
παύεται: Θαλάσσης λέγει τοῦ δὲ τοῦ κόσμου· τοῦ δὲ ϟα
τοῦ λέγοντος ἐμόν ἐστι τὸ χρυσίον καὶ ἐμὸν τὸ ἀργύριον· οὗτος
ψευδολογῶν ἐπαγγέλλεται ἴδια αὐτοῦ εἶναι ταῦτα· διὸ
καὶ ἔλεγε τῷ κυρίῳ· ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν
προσκυνήσῃς με: τοῦ αὐτοῦ: Ἐπειδὴ ἡ ϟβ
ψυχὴ αὐτοῦ πῦρ ἐστι, πάντα τὸν βίον αὐτοῦ τὸν ἐκβεβρασμένον

ἀνακινοῦντι καὶ ἐκταράττων· τοῦ αὐτοῦ:

ϛγ Ταῦτα μάλιστα μεγαλαυχῶν, ἐνόμιζε δύνασθαι τήν τε θάλασσαν
ἐξαφανίζειν, καὶ τοῦ ταρτάρου ἐγκρατὴς εἶναι καθὰ καὶ ἡσαΐ-
ας ἐκ προσώπου αὐτοῦ φησί· τὴν οἰκουμένην ὅλην κατα-
λήψομαι ὡς νοσσιάν· πάντων δὲ ἐξώσθη τῶν τόπων ὧν
κρατήσειν ὁ μάταιος ᾤετο· καὶ οὐρανοῦ μὲν καταρραχθείς·
γῆς δὲ καὶ αὐτοῦ ἀπὸ διὰ τῆς τοῦ χριστοῦ ἐνανθρωπήσεως,
οὐδένα οὐκ ἔχει ὑπολελειμμένον τόπον εἰ μὴ τὸ σκότος τὸ ἐξώ-
τερον τὸ ἡτοιμασμένον αὐτῷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ:

Ἐξάλειπτον ζουλλίον μύρου· αἱ γὰρ ταραχαὶ τοῦ δὲ τοῦ βίου καὶ
αἱ ἀνωμαλίαι, αὐτῷ εἰσὶν εὐωδία καὶ ἡδονή, ἢ ἐξάλειπτον
ἀντὶ τοῦ ἔντελες:

> Τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον· ἐλογίσατο ἄ-
> βυσσον εἰς περίπατον· οὐκ ἔστιν οὐδὲν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ·
> πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων μου· πᾶν
> ὑψηλὸν ὁρᾷ· αὐτὸς δὲ βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν:

:: θ ※ :: ε οὐκ ἔστιν ἐπὶ χοὸς ἐξουσία αὐτοῦ.

::: θ ※ ::: θ πάντα ὑπερήφανον ἐμβλέψεται·

::: θ υἱῶν βαναυσίας· ε παντὸς δρομόποδος:

ϛδ Ὀλυμπιοδώρου: Κῆτος ἦσεν ἐπειδὴ τῶν οὐρανίων
ἐπὶ τῆς γῆς ἀφ' ὕψους ἐκβέβληται· τὸ δὲ ὅμοιον ἢ κατὰ τὴν ἰσχὺν

ϛε ἢ κατὰ τὴν κακίαν: τοῦ αὐτοῦ: Ἀλλ' ὅμως φη-
σὶν ὁ τοιοῦτος καὶ τηλικοῦτος ὑπὸ τῶν ἁγίων ἀγγέλων καὶ
τῶν ἀρχαγγέλων ἄνωθεν ἐγκαταπαίζεται: τοῦ αὐτοῦ:

Ὅλος γάρ ἐστιν ὑπερηφανία μηδὲν ταπεινὸν λογιζόμενος: 55

τοῦ αὐτοῦ: Τῶν τὸν ὑψηλὸν καὶ διαγγέλοντα καὶ ἠθα- 5ξ
γικὸν μελετώντων βίον· πόσας ἡμεῖς εὐξώμεθα πρὸς τὸν ἡμῶν
δεσπότην, μὴ βασιλεύσειν ἡμῶν τὴν ἁμαρτίαν· ἐπειδὴ διὰ
τοῦτο διεζώγραψεν ὁ λόγος ὡς ἐν σωματοποιΐα τοῦ δαίμονος
καὶ ἰταμότητα· ἵνα τῷ δέει τοῦ θηρίου βαλλόμενοι, πρὸς
τὸν αὐτῷ χειρωσάμενον καταφύγωμεν· καὶ ταῦτα μὲν εἰς
αὐτῷ· πρὸς δὲ τοὺς λέγοντας κῆτος αἰσθητὸν εἶναι τὸν ὑπὸ
τοῦ λόγου διαζωγραφέντα δράκοντα, τοσοῦτον ἐροῦμεν· εἰ μὲν
οὗτος ἐστί τι τοιοῦτον κῆτος μανθάνετε ὡς ἐξομοιώσεως
τῶν θηρίων· πολλάκις θεωροῦμεν καὶ αὐτὸν τὸν διάβο-
-λον καὶ τῶν ἀνθρώπων τοὺς πονηρούς· καὶ περὶ μὲν τῶν δαιμόνων
εἶπεν ὁ κύριος, ἰδοὺ δέδωκα ὑμῖν πατεῖν ἐπάνω ὄφεων καὶ
σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· πρὸς δὲ τὸν
ἡρώδην εὐσήμως ἔλεγεν· εἴπατε τῇ ἀλώπεκι ταύτῃ, τὸ
δολερὸν τοῦ ἤθους αὐτοῦ καὶ ἐπίκλοπον αἰνιττόμενος· ὥστε
τύπον τινὰ τοῦ διαβόλου τὰ θηρία ἔχουσι, καθὰ καὶ
τῶν πονηρῶν ἀνθρώπων· εἰ δὲ μὴ ἐστί τι τοιοῦτον θηρίον οἰκεῖ τι
ἐξομοιώσεως, ἀλλ᾽ αὐτοπροσώπως περὶ τοῦ διαβόλου
νοεῖται τὰ εἰρημένα: +

+

+

+ πε θεωρία κεφαλαίου πθ'

+

Ἠπορήσαμεν ἀνωτέρω τοῦ Ἰὼβ λέγοντος ἅπαξ λελάληκα, ἐπὶ
δὲ τῷ δευτέρῳ οὐ προσθήσω ζητῆσαι, τοιγαροῦν ἄξιόν πως
πάλιν φθέγγεται, ὁ μηκέτι λαλεῖν ἐπηγγελμένος, παρὰ
πόσα δὲ ἡ λύσις ἐστίν· ἐπειδὴ γὰρ σιωπήσειν ὑποσχόμενος
ἐπήκοος τοῦ θεοῦ λέγοντος, μὴ ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ
τὴν ὀσφύν σου· ἄμεινον ἡγεῖται τὸ θεῖον πρόσταγμα
τῆς οἰκείας ὑποσχέσεως, καὶ πάλιν διαλέγεται ὥστε καλ-
λίον τοῖς θείοις ἐπιθέσθαι νόμοις, ἢ τὰς οἰκείας πληροῦν
ἐπαγγελίας· ὅταν τὸ δεσποτικὸν αὐτὴν παρέλθῃ βούλημα· διὸ
καὶ Ἡρώδης καλῶς ἂν ἐποίει τοὺς οἰκείους ἀθετήσας ὅρκους,
καὶ μὴ τοῦ προδρόμου τὴν κεφαλὴν ἀφελόμενος, πλὴν
τῷ παντὶ κάλλιον μὴ ῥᾳδίως ἐπαγγέλλεσθαι· καὶ ὁ ἅγιος οὗτος
Ἰὼβ καλῶς μὲν ὑπέσχετο μὴ λαλήσειν, τιμῶν τὴν θείαν ὑπε-
ροχήν· καλῶς δὲ καὶ αὖθις φθέγγεται λύοντος αὐτῷ τοῦ θεοῦ
τῆς σιωπῆς τὴν ὑπόσχεσιν : +

+

## + κεφάλαιον κθ :

+

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει τῷ κυρίῳ· οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν· τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν, φειδόμενος δὲ ῥημάτων καὶ σὲ οἴεται κρύπτειν· τίς δὲ ἀναγγελεῖ μοι ἃ οὐκ ᾔδειν· μεγάλα καὶ θαυμαστά, ἃ οὐκ ἠπιστάμην :: καὶ οὐκ ἀφαιρεθήσεται ἀπὸ σοῦ ἐνθύμημα· :: ÷

Ὀλυμπιοδώρου:

Ζητῆσαι ἄξιον πῶς πάλιν φθέγγεται ὁ Ἰώβ, μηκέτι λαλεῖν ἐπαγγειλάμενος. σαφὴς δὲ ἡ λύσις· ἐπειδὴ γὰρ σιωπήσειν ὑποσχόμενος ἤκουε τοῦ θεοῦ λέγοντος, μὴ ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου, ἄμεινον τίθεται τὸ θεῖον πρόσταγμα τῆς οἰκείας ὑποσχέσεως: καὶ ὅτι γε κόσμος μὲν ὑπέσχετο μὴ λαλήσειν, τιμᾷ δὲ τὴν θείαν ὑπεροχήν· καλῶς δὲ καὶ αὖθις φθέγγεται λύσαντος αὐτῷ τοῦ θεοῦ τῆς σιωπῆς τὴν ὑπόσχεσιν: ξη

Τοῦ αὐτοῦ:

Νῦν ταῦτα μεμαθηκέναι λέγει, ὅτι ἐπέγνω τὴν ἄμαχον τοῦ θεοῦ δύναμιν. καὶ ὅτι ταῖς βουλαῖς ἐμβαθύνει καὶ πάντων τὰς ἐννοίας ἐπίσταται· καὶ ὡς οὐδεὶς ἐπίσταται ὡς διαλαθεῖν αὐτοῦ δύναται τὸν παντεπόπτην ὀφθαλμόν: ξθ

Τοῦ αὐτοῦ:

Ἀντὶ τοῦ οὐδεὶς πλήν σου τοῦ καὶ ξ

τὴν αἰτίαν τῆς κατ᾽ ἐμὲ ὑποθέσεως φανερώσαντός μοι, καὶ
τοῦ διαβόλου τὴν ἄπειρον κακίαν καὶ ἰταμότητα· ἔτι γε μὴν
καὶ τῆς κατὰ σαυτὸν θείας οἰκονομίας πλείονά μοι τὴν γνῶ-
σιν ἐλλάμψαντος :

› Ἄκουσον δή μου κύριε ἵνα κἀγὼ λαλήσω· ἐρωτήσω δέ σε σὺ δέ
› με δίδαξον· ἀκοὴν μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον· νῦν
› δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε· διὸ ἐφαύλισα ἐμαυτὸν
› καὶ ἐτάκην· ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν :

α Ὀλυμπιοδώρου : Ζητήσειεν ἄν τις πῶς ἐρωτήσειν
ὑποσχόμενος οὐδὲ οὔτε ἐπηρώτησε τὸν θεόν, οὔτε τινὰ ἀ-
πόκρισιν ἐδέξατο φαίνεται· τοιγαροῦν τοιοῦτόν τινα νοῶ
ἔχειν τὰ προκείμενα· ἐπειδὴ γάρ φησιν ἐδίδαξάς με ἃ οὐ-
κ ἐπιστάμην, ἐπάκουσόν μου κύριε· καὶ ἐάν τι τῶν ἀγνοουμένων
μαθεῖν βουλόμενος ἐρωτήσω σε· διδάσκειν με καταξίωσον,
ἵνα δυνηθῶ κἀγὼ λαλῆσαι καὶ ἑτέροις γενέσθαι τῶν ἀγνοου-
β μένων διδάσκαλος : Τοῦ αὐτοῦ : Πλείονα
φησὶ προσείληφα τὴν περὶ σοῦ γνῶσιν· ὅσον ὀφθαλμοὶ πλέ-
ον ἀκοῆς ἔχουσιν· ἢ καὶ τοῦτο λέγει, διὰ τὸ τῆς ἐνανθρω-
πήσεως τοῦ μονογενοῦς μυστήριον· ἀμυδρῶς γὰρ αὐτὸ
πρότερον πληροφορούμενος, τὴν τελειοτέραν περὶ αὐτοῦ
ϛ προσείληφε γνῶσιν : Πρώην προφητείαις ἐ-
παιδευόμην· νῦν δὲ αὐτοψίᾳ τὸν μονογενῆ ἐθεασάμην :
ἐκ τῶν ποιημάτων ἀκριβέστερον τοὺς λόγους τῶν γεγο-
νότων μεμάθηκε : Τοῦ ἁγίου Ἰω :

ὃ κ᾽ ἐπειδὴ ὀφθαλμοῖς ἴδεν· ἀλλ᾽ ἐπειδὴ σαφέστερον ἤκουσεν: υθ

ὀλυμπιοδώρου: ἐφαύλισα φησὶν ἐμαυτὸν ὡς F̄
οἰηθέντα εἰδέναι τι, νῦν δὲ μαθόντα ὑπὲρ ἐμαυτόν· καὶ
τῆς εὐτελείας τῆς ἐμῆς φύσεως τὸ σμικροπρεπὲς καὶ ἐ-
γνόντα· θεωρῶ δὲ τοὺς ἄλλους ἄνδρας πῶς ὅτι μεῖζον
ἀξιοῦνται, πλείονα κλῶνται ταπεινοφροσύνην:

τοῦ ἁγίου ἰω(άννου): ἀπολογία ὑπὲρ τῶν προτέρων ῥ̄
ἀπάντων· οὐδὲ γὰρ ἀπαιτεῖ εἰς τοῦ ἀπειροκάλου ταῦτα
φησίν· ἀλλ᾽ ὅτι ἐν τοῖς δεινοῖς τὴν ταπείνωσιν ἦσε.
οὐδὲν ἐμαυτὸν ἡγησάμην φησίν, ἀπολογίαν ὑπὲρ τῶν προ-
τέρων ἐρωτημάτων τούτων ἀνάξιος εἰμὶ ἐγώ· τί οὖν ὁ θεός;
ἐπειδὴ ἑαυτὸν κατεδίκασε τότε ἐδικαίωσεν αὐτόν: +

+

+

+ προθεωρία κεφαλαίου λ :

+

Μεγάλως ὁ θεὸς τοὺς δικαίους τιμᾷ θεράποντας· ὅπου γε καὶ τῆς τιμωρίας ἀξίων φανέντων τῶν ἀμφὶ τὸν Ἐλιφὰζ διὰ τοῦ τῷ δικαίῳ καταψηφίσασθαι, ἀνῆκε τὴν ἀπειλὴν ὁ θεὸς καὶ τὴν τιμωρίαν συνεχώρησεν· αὐτῷ τῷ δικαίῳ τὴν συγχώρησιν χαριζόμενος. Εἰ δέ τις ἐρεῖ φιλομαθῶς κινούμενος, διατί τὴν Μαρίαν ἐλέπρωσεν ὁ θεὸς κατὰ Μωϋσέως λαλήσασαν· εἰ καὶ ὕστερον ἀπεκαθάρθη ἔπαθε τῷ σώματι, μὴ [illegible] πρὸς τὸν ἑαυτοῦ θεράποντα· τοῖς δὲ ἀμφὶ τὸν Ἐλιφὰζ, εὐθὺς τὴν συγχώρησιν δέδωκε, μὴ ἑαυτοὺς προεγγισάμενος φαμέν· ὅτι τὴν Μαρίαν μὲν διὰ τῆς εἰς Μωσέα λοιδορίας καὶ κατὰ θεοῦ τὴν βλασφημίαν ἔφερε, τοῦ δοξάσαντος τοῦ ἱεροφάντου 61 πρόσωπον· οἱ δὲ φίλοι τοῦ Ἰὼβ τὴν ὑπὲρ θεοῦ συνηγορίαν ἀναδεξάμενοι, εἰς μόνον τὸν δίκαιον ἐξαμαρτάνοντα, ἀδίκως αὐτοῦ τὴν ἀσέβειαν καταλέγοντες· εἰ δὲ καὶ ζημιώσειας, ἀξιοῖ δὲ διατί μηδὲν ὑπέστη δεινόν· φαμὲν ὅτι τοῦ θεοῦ τείνοντος τὴν ἱκεσίαν· διὸ οὖν ἐντεῦθεν μανθάνομεν ὅτι καὶ ἁμαρτίαις ἔνοχον τὸ τῶν δικαίων κατηγορεῖν, καὶ ὅτι θεὸς ἐξιλεωθεὶς πρὸς αὐτοὺς συγχωρεῖ τὰ ἁμαρτήματα : +

## + κεφάλαιον λ' +

Ἐγένετο δὲ μετὰ τὸ λαλῆσαι τὸν κύριον πάντα τὰ ῥήματα ταῦτα τῷ Ἰώβ· εἶπεν ὁ κύριος Ἐλιφὰζ τῷ Θαιμανίτῃ· ἥμαρτες σὺ καὶ οἱ δύο φίλοι σου· οὐ γὰρ ἐλαλήσατε ἐνώπιόν μου ἀληθὲς οὐδὲν, ὥσπερ ὁ θεράπων μου ὁ Ἰώβ:

:: θ' ἐθυμώθη ἡ ὀργή μου ἐν σοὶ καὶ ἐν τοῖς δυσὶ φίλοις σου· :: + ἐν ἄλλοις· ::: ἐ ὀρθῶς:

Ὀλυμπιοδώρου: Ἔοικεν ὁ Ἐλιφὰζ αἰδεσιμώτερος τῶν ἄλλων τυγχάνειν. διὸ καὶ πρῶτος τῆς πρὸς τὸν Ἰὼβ ἄρχεται διαλέξεως, καὶ νῦν ὁ κύριος πρὸς αὐτὸν διαλέγεται· καὶ ταῦτα τῶν λόγων τοῖς λοιποῖς ἁρμοζόντων φίλοις. θεωρεῖ δὲ ὡς ὑπήκοον ἁπάντων ὁ θεὸς ἐκάλει ὡς ἂν δὲ πάντας ἡ τοῦ Ἰὼβ ἀρετὴ διὰ τῆς θείας μαρτυρίας κατάδηλος γίνεται: δ

τοῦ αὐτοῦ: Διατί μὲν Μαριὰμ λελέπρωται καταλαλοῦσα τοῦ Μωσέως· οἱ δὲ φίλοι τοῦ Ἰὼβ οὐδὲν πεπόνθασιν· ὅτι ἐκείνη καὶ θεοῦ κατελάλησε τοῦ δόξαντος τὸ πρόσωπον Μωϋσέως: οὗτοι δὲ θεῷ προλογοῦντες, μόνον ἐλοιδόρουν τὸν ἄνθρωπον: ε

τοῦ αὐτοῦ:

Κατανοεῖ τῆς θείας κρίσεως τὴν ἀκρίβειαν. ὅσον μὲν γὰρ παρὰ τοῖς πολλοῖς καλῶς ἐποίουν οἱ φίλοι θεῷ συνηγοροῦντες, οὐ καλῶς δὲ ὁ Ἰὼβ ἐποίει πρὸς θεὸν δικάζεσθαι· ς

ὅπου γε τινὲς μέχρι καὶ νῦν προσκόπτουσι τοῖς αὐτῶν ἐξήμα-
σιν τῇ τῶν λέξεων προφορᾷ μόνῃ προσέχοντες· παρὰ δὲ τῷ θεῷ
καὶ ἀπροσωπολήπτῳ κρίσει τῶν ἐναντίον ἐφάνη· διὸ καὶ εἶ-
πεν ἐνώπιόν μου· παρ' ἐμοὶ γὰρ φησὶ κριτῇ· ὑμεῖς μὲν ἀ-
ληθεῖς ἐλαμβάνετε, ἀδίκως κατὰ τοῦ δικαίου τὰς ψήφους ἐκ-
φέροντες· ὁ δὲ ἐμὸς θεράπων ἰὼβ μετὰ τῆς φίλης ἀληθείας
πάντα ἐφθέγξατο· οὐ γὰρ δι' ἁμαρτίας ἔπασχεν, ἀλλ' ἵνα ἀ-
ναφανῇ δίκαιος: τοῦ αὐτοῦ: Συνεχῶς αὐτὸν
καλεῖ θεράποντα αὐτοῖς δεικνὺς ὅτι τὰ περὶ ἑαυτοῦ
ἀνήρετε· ὥστε ἀληθῆ ἐπλήρωσεν ὁ ἰὼβ λέγων τὰ ἑαυτοῦ κα-
τορθώματα· ὑμεῖς δὲ ἑαυτὸν καταδικάσαντες οὐ καλῶς
εἰρήκατε: νῦν δὲ λάβετε ἑπτὰ μόσχους
καὶ ἑπτὰ κριοὺς καὶ πορεύθητε πρὸς τὸν θεράποντά μου
ἰώβ· καὶ ποιήσει κάρπωσιν περὶ ὑμῶν· ἰὼβ δὲ ὁ θεράπων
μου εὔξεται περὶ ὑμῶν :

: δ φ ὁλοκαύτωσιν· ἢ ἀναφοράν· :: ἀπὸ χ ὕδες

Ὀλυμπιοδώρου: Ὁ ἑπτὰ παρὰ τῇ γραφῇ τίμιος καὶ τέλειος
ἀριθμός· τέλεια τοιγαροῦν θύματα κελεύονται προσφέρειν
ὡς μεγάλα ἐξημαρτηκότες· αὐτὸν δὲ τὸν ἰὼβ ἱερέα κελεύε-
ται γενέσθαι, καὶ τὰς ὁλοκαρπώσεις ἀναφέρειν· οὕτω γὰρ φη-
σὶ δίκαιος ὡς καὶ ὑπὲρ ἑτέρων πρεσβεύειν· πρὸ δὲ τοῦ νόμου
οἱ ἅγιοι τὰς θυσίας προσέφερον· ὥσπερ καὶ ὁ ἄβελ, καὶ ὁ νῶε
καὶ ὁ ἀβραάμ: τοῦ ἁγίου ἰω: Οὐκ ἂν τοῦτο
προσέταξεν εἰ νόμος ἦν· ἀλλ' αὐτὸς ἱερεὺς γίνεται ἐκείνων

προσφερόντων τὰς θυσίας, προσήνεγκεν ὑπὲρ τῶν παίδων· προσ-
φέρει ὑπὲρ τῶν φίλων· ὅθεν πῶς τὸ ἀμνησίκακον αὐτοῦ δεί-
κνυσι, μᾶλλον δὲ αὐτοὺς ποιεῖ γνῶναι τῆς ἀρετῆς τοῦ ἀνδρός·
καὶ δείκνυσι τῆς ἁμαρτίας τὸ μέγεθος καὶ διὰ τῆς ὑπερβο-
λῆς, τῆς κατὰ τὴν προσφοράν· οὐ γὰρ ἂν τοσοῦτον ἐδεήθησαν
ἱερέων καὶ μεγάλων ὄντων τῶν ὀφειλόντων λυθῆναι ἁμαρτη-
μάτων· καὶ δείκνυσιν ὅτι οὐδὲ θυσία ἱκανὴ ἦν· εἰ μὴ γάρ
φησι δι' αὐτόν, οὐκ ἂν ἔπαυσα τὴν ἁμαρτίαν ὑμῶν, διὰ τοῦτο
δείκνυσιν· ὅτι καὶ ἑαυτοὺς ἔκρινεν: ὁ μὲν πρότερον
αὐτὸς οἰκείᾳ γνώμῃ ἱερεὺς τοῦ θεοῦ γεγένηται, προσφέ-
ρων καὶ ὑπὲρ τῶν υἱῶν αὐτοῦ· ἐπειδὴ δὲ μετὰ τὴν πληγήν,
οὐκέτι οἷός τε ἦν θαρρεῖν προσφέρειν θυσίας, διὰ τὸ συμβε-
βηκὸς πάθος· εἰκότως πρὸς τοῦ θεοῦ χειροτονεῖται ἱερεύς:
Ὅτι εἰ μὴ πρόσωπον αὐτοῦ λήψομαι· εἰ μὴ γὰρ δι' αὐτόν, ἀ-
πώλεσα ἂν ὑμᾶς· οὐ γὰρ ἐλαλήσατε ἀληθὲς κατὰ τοῦ θερά-
ποντός μου Ἰώβ :

∴ πρόσωπον αὐτοῦ παραδέξομαι· ∷ θ καθὼς
ὁ δοῦλός μου· ἐπ' ἐμοῦ: Ὅρα ὅτι καίτοι ζῆλον λέ-
γοντες· ἠλέγχοντο μηδὲν ἀληθὲς εἰπόντες· μᾶλλον δὲ οὐκ ἔλε-
γον ζῆλον τὸ κατὰ θεόν· ἐπεὶ γὰρ ἂν συνεγνώσθησαν, ὥστε δι-
καίως αὐτοῖς Ἰὼβ ἐγκαλεῖ· ἐκ τούτου μανθάνομεν
ὅτι ὁ καταγορῶν τῶν δικαίων οὐ μικρὰν ἁμαρτίαν τολμᾷ:

+

\+

+ προθεωρία κεφαλαίου λα:

\+

Ἤρξαντο μὲν ἀφ' οὗ ὁ θεὸς ἐξεφώνησε πρὸς αὐτὸν τὰ ἔπαθλα τῶν δικαίων δίδοσθαι· αὐτῷ γὰρ τῷ καταξιωθῆναι θείας ὁμιλίας καὶ ἐπισκοπίας καὶ μαρτυρίας πρῶτον ἐδέξατο στέφανον, νῦν βεβαιότερα δέχεται διότι τὸ ὑπὲρ τῶν φίλων εὔχεσθαι, καὶ τῶν ἀγώνων δέχεσθαι πέρα τὴν ἀνταπόδοσιν σύμπασαν : +

\+

\+ κεφάλαιον λβ:

\+

Ἐπορεύθη δὲ Ἐλιφὰζ ὁ θαιμανίτης· καὶ βαλδὰδ ὁ σαυχίτης καὶ σωφὰρ ὁ μιναῖος· καὶ ἐποίησαν καθὼς συνέταξεν αὐτοῖς ὁ κύριος· καὶ ἔλυσε τὴν ἁμαρτίαν αὐτοῖς διὰ ἰώβ· ὁ δὲ κύριος ηὔξησε τὸν ἰώβ· εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων αὐτοῦ : :: θ ὁ σουίτης· ε ὁ σουΐ· :: θ νωμαθίτης· ε ναμαθίτης· ::: ε καὶ προσήκατο ὁ θεὸς τὸ πρόσωπον ἰώβ· ::: εθ ἐν τῷ προσεύξα-

σθαι αὐτόν: Ἰουλιανοῦ

Ζημία γὰρ τῷ Ἰὼβ εἰ οἱ περὶ παραμυθίαν ἐλθόντες αὐ- ἡ
τῷ φίλοι τιμωρίαν ἔτισαν θανάτου: Πάντως εἰ- γ
πόντος κ(υρίο)υ μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην:

Ὀλυμπιοδώρου: Ὄντως ἱκανὴ τιμὴ καὶ περιφάνεια, τὸ εὐχῇ δυσωπηθῆναι θεόν, ἐφ᾽ ᾧ λῦσαι τὴν ἁμαρτίαν. διὸ πρὶν εἰπεῖν τὰ διπλᾶ τῆς περιουσίας εἶπεν. ὁ δὲ κ(ύριο)ς ηὔξησε τὸν ἰὸν καὶ ὁ εἱλκωμένος καὶ πένης καὶ ἀπερριμμένος, ὑπὲρ τῶν ὑγιαινόντων καὶ πλουσίων ηὔχετο. θεώρει δὲ ἐνταῦθα τοῦ Ἰὼβ τὸ ἀμνησίκακον: +

Ἀφῆκε αὐτοῖς τὴν ἁμαρτίαν· ἔδωκε δὲ ὁ κ(ύριο)ς διπλᾶ ὅσα ἦν ἔμπροσθεν Ἰὼβ εἰς διπλασιασμόν:

Ἐν τούτῳ γινώσκομεν ὅτι προσευχὴ δικαίου περιεῖλεν ἁμαρτ(ίαν): β

Ὁ γενναῖος ἀθλητὴς καὶ πάντα πειρασμὸν ὑποστὰς ἀνδρείως ὁ Ἰώβ, ἆθλα λαμβάνει τῆς ὑπομονῆς αὐτοῦ ὡς ἡ γραφή φησί, πάντα διπλᾶ παρὰ τὰ πρότερα. ὁ δὲ κ(ύριο)ς Ἰ(ησοῦ)ς Χ(ριστὸ)ς ἆθλα δίδωσιν οὐχὶ διπλασίονα, ἀλλ᾽ ἑκατονταπλασίονα· φησὶ γάρ· ὃς ἐὰν καταλείψῃ π(ατέ)ρα ἢ μ(ητέ)ρα, ἢ οἰκίαν, ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἕνεκεν ἐμοῦ, ἢ ἕνεκεν τοῦ εὐαγγελίου, ὡς ἐν τῷ κατὰ Μάρκον γέγραπται, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν τὴν αἰώνιον κληρονομήσει: Τοῦ ἁγίου Βασιλείου ἀπὸ λόγου περὶ πλεονεξίας: Παράδειγμα δὲ τοῦ μὲν προτέρου εἴδους τῶν πειρασμῶν ὁ μέγας Ἰὼβ ὁ ἀκαταγώνιστος ἀθλητής, ὃς πᾶσαν τοῦ διαβόλου τὴν βίαν ὥσπερ εἰ

χειμάρρους ῥέων ἀπείρῳ καρδίᾳ καὶ λογισμοῖς ἀλγεινῶς
ὑποδεξάμενος, τοσούτῳ μείζων ἐν τῷ πειρασμῷ ἀνεφάνη
ὡς ὁ μαργαρίτης αὐτῷ καὶ ἀνεπέκλυπτα ἔδωκε τὰ παρὰ τοῦ ἐχθροῦ
συμβεβλημένα παγαίσμασιν : τοῦ ἁγίου Ἰώβ :
δ ὁ καὶ διπλάσια τῶν πολέμων ἔλαβεν, εἰ μὴ διπλασίονα
τὴν ἀρετὴν ἐπεδείξατο :. +

+

+

\+ προσθήκη κεφαλαίου λβ:

+

ω Ὥσπερ ἐν τῷ πειρασμῷ τοσαύτῃ τῆς αὐτοῦ γέγονεν ἐγκαταλείψεως
ὥστε καὶ τὴν βασιλίδα τὴν αὐτοῦ γυναῖκα καταλείπειν ἐπὶ
μισθῷ· οὕτω τῆς θείας ἐπιφοιτησάσης χάριτος, πάντα τοῖ-
σοῦ ἐπωδύνῃ τῷ ἁγίῳ Ἰώβ, καὶ συντρέχουσι πρὸς αὐτὸν συγ-
γενεῖς, φίλοι, δωροφοροῦσιν· ἔχων καὶ πάντα αὐτῷ λοιπὸν
ὑπῆρχε εὐθυμίας ἀνάμεστα : +

+

\+

κεφάλαιον λβʹ :

\+

Ἤκουσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ,
πάντα τὰ συμβεβηκότα αὐτῷ καὶ ἦλθον πρὸς αὐτόν· καὶ
πάντες ὅσοι ᾔδεισαν αὐτὸν ἐκ πρώτου· φαγόντες δὲ καὶ
πιόντες παρ' αὐτῷ παρεκάλεσαν αὐτὸν καὶ ἐθαύμασαν
ἐπὶ πᾶσιν οἷς ἐποίησεν αὐτῷ ὁ κ(ύριο)ς κοινόν Ὀλυμπιοδώρου :

Τεκμήριον καὶ σημεῖον τῆς μεταβολῆς· τὸν γὰρ ὑπὸ τοῦ θεοῦ
τιμηθέντα, καθάπερ ὑπὸ βασιλέως τιμηθέντα, οἱ φίλοι ἅπαντες·
καὶ πάντα αὐτῷ μεταβέβλητο καὶ ἐπὶ τὰ βελτίω :

Τοῦ αὐτοῦ : Ἀδελφοὺς καὶ ἀδελφὰς πάντας τοὺς
συγγενεῖς εἴωθεν ἡ θεία γραφὴ προσαγορεύειν· τὸ δὲ ἤκου-
-σαν πάντα τὰ συμβεβηκότα αὐτῷ, οὐχ ὅτι ἠγνόουν τὰ τῆς
συμφορᾶς· ἀλλ' ὅτι ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ ἅπαντα
ἔλεγε· τάτε τοῦ πειρασμοῦ καὶ τῆς θείας ἐπισκέψεως·
καὶ ἡδὺ πᾶσι καὶ ὠφελὲς διήγημα ὁ Ἰώβ :· +

\+

+

## + προθεωρία κεφαλαίου λγ':

Ἐντεῦθεν καταριθμεῖται τῆς περιουσίας τοῦ διπλασιασμοῦ, καὶ θείαν εὐλογίαν εἶναι λέγει τοῦ περισσοῦ τὰ σωματικὰ ἀγαθά· ἐπηγγέλλετο δὲ τοῖς παλαιοτέροις εἰς εὐλογίας μοῖραν ἥτε παιδογονία καὶ ἡ τῶν ὑπαρχόντων αὔξησις· ὥσπερ καὶ τοὐναντίον αὐτῶν εἰς κατάραν αὐτῶν καταλογίζεται· ἐπειδὴ τοίνυν πρὸ νόμου τῶν πράξεων νομικῶς ὁ μακάριος καὶ εὐαγγελικῶς ἐπολιτεύσατο· εἴληφε μὲν τὰς κατὰ νόμον εὐλογίας· ἀπόκειται δὲ αὐτῷ καὶ τὰ τοῖς ἁγίοις ἐπηγγελμένα ἐν τῷ μέλλοντι αἰῶνι, ἃ ὑπὲρ λόγον καὶ ὑπὲρ ἀνθρώπων ἔννοιαν. ἀπὸ δὲ τοῦ γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι ἕως τέλους. φασὶ μέν τινες μὴ εἶναι τῆς ἱερᾶς ταύτης γραφῆς, ἀλλὰ παρεγγεγράφθαι τῷ βιβλίῳ τὰ ἔπικαλα· ἡμεῖς δὲ ἐν πᾶσι τοῖς ἑλληνικοῖς ἀντιγράφοις οὕτως εὑρηκότες γεγραμμένον τὸ βιβλίον. πάντα τὰ ἐγγεγραμμένα οὕτω δεχόμεθα, ὡς παρὰ τῶν πρῶν παρειλήφαμεν: +

+

## + κεφάλαιον λγ':

+

ια Ἔδωκε δὲ ἕκαστος αὐτῷ ἀμνάδα μίαν· καὶ τετράδραχμον χρυσοῦ ἄσημον.

σοῦ ἄσημον. ιβ ὁ δὲ κς εὐλόγησε τὰ ἔσχατα ἰὼβ ἢ τὰ ἔμπρο-
σθεν. ἦν δὲ τὰ κτήνη αὐτοῦ πρόβατα μύρια τετρακισχίλια·
κάμηλοι δὲ ἑξακισχίλιαι. ζεύγη βοῶν χίλια:

:: ἀλλ(ως)· σχόλιον χρυσοῦ· ἐ ἐπίσημον :: ἐ ὑπὲρ

Ὀλυμπιοδώρου: Τὰς μὲν ἀμνάδας φέρουσιν, ὡς ἐπ' εὐω- ια
χίαν ἴσως παραγενόμενοι· τὸ δὲ τετράδραχμον τοῦ χρυσοῦ, δεὶς
τιμὴν τῷ ἰὼβ ὅπερ ἐπὶ νόμισμα ἦν. οὕτω γὰρ καὶ ἕτερος τῶν ἑρμη-
νευτῶν ἔδωκεν. ἄσημον δὲ αὐτὸ τὸ ἀτύπωτον σταθμὸν καὶ ἀχαρα-
κτήριστον. δέχεται δὲ ἀμνησικάκως, καίτοι μὴ δεόμενος οὐκ ἐλ-
λαχὼν ἐφ' οἷς πρώην κατέλιπον αὐτόν. Τοῦ αὐτοῦ:

Τὰ μὲν πρότερα οὐκ ἆθλα τῆς ἀρετῆς ἐπεπόνθει ὁ ἰὼβ· ἀλλ' ἵνα ἐαυτ ιβ
ἐγγυμνασθῇ· καὶ ἵνα ὁ πλοῦτος αὐτῷ τῶν ἀγωνισμάτων ὑπόθεσις.
ἐπειδὴ δὲ ἠγωνίσατο καὶ διπλάσιος ἅπασι γέγονεν, ὅπως ἂν
προσήκει τῷ πλούτῳ χρήσασθαι. εἶτα καὶ ἀφαιρεθεὶς τῶν ὑπαρ-
χόντων ἐν τοῖς τῆς πενίας νομίμως ἠγωνίσατο σκάμμασιν:

Τέρας τῆς ἀρετῆς τὸν διπλασιασμὸν τῶν ὑπαρχόντων ὁ μέγας ἀγωνο-
θέτης αὐτῷ δίδωσι· τοῖς γὰρ παλαιοτέροις ἐν εὐλογίας μέρει κα-
τεπηγγέλλετο· ἥτε παιδογονία καὶ ἡ τῶν ὑπαρχόντων αὔξησις.
ὥσπερ καὶ τοὐναντίον ἡ τούτων στέρησις, εἰς κατάρας ἂν αὐτοῖς ἐ-
λογίζετο. ἐπειδὴ τοίνυν πρὸ νόμου τυγχάνων ὁ ἰὼβ, νομίμως
ὁμοῦ καὶ εὐαγγελικῶς ἐπολιτεύσατο· εἴληφε μὲν τὰς κατὰ νόμου
εὐλογίας· ἀπόκειται δὲ αὐτῷ καὶ τὰ τοῖς ἁγίοις ἐπηγγελμένα:

Ἐκεῖνα μὲν δοκιμασίας ὑπόθεσις· ταῦτα δὲ νίκης ὑπόθεσις:

Ὄνοι θήλειαι νομάδες χίλιαι· ιγ γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ

ιϛ

θυγατέρες τρεῖς· καὶ ἐκάλεσε τὴν μὲν πρώτην ἡμέραν· τὴν δὲ
δευτέραν κασίαν· τὴν δὲ τρίτην ἀμαλθείας κέρας, καὶ οὐχ εὑρέ-
θησαν κατὰ τὰς θυγατέρας ἰὼβ : [illegible]
ὑμίμα : παραφραστοῦ : Ὀλυμπιοδώρου :

ιε Τὰ μὲν τῶν ἀλόγων ὡς ἀπολόμενα διπλᾶ δέδοται· ἐπειδὴ δὲ οἱ παῖ-
δες οἱ τεθνηκότες οὐκ ἀπόλονται, ἀλλὰ ζῶσι τῷ θεῷ. αὐτὰ τοῖς προ-
τέροις ἴσα ἀριθμοῖς δέδοται· ὡς ἂν καὶ παῖδας ἀπολάβοι διπλοῦς·
ζώντων μὲν τῶν προαπελθόντων· τῶν δὲ δευτέρων ἐπιγενομένων:

ιϛ Τοῦ αὐτοῦ : Ἔοικεν ὁ μακάριος ἰὼβ εἰς ἔνδειξιν τῶν
τρόπων αὐτῷ ἐπιθέντων ἀγαθῶν ταῖς θυγατράσι τεθηκέναι
τὰς προσηγορίας· τὴν μὲν οὖν πρώτην ἡμέραν ἐκάλεσεν ὡς
ἀπόλυτος βαθείας νυκτός, τῶν περιστάντων αὐτῷ δεινῶν
ἡμέρας αὐτῷ φωτεινῆς ἐπιλαμψάσης. τὴν δὲ δευτέραν κασίαν,
ὡς ἤδη λοιπὸν ἐν εὐωχίᾳ τινὶ καὶ ἀπολαύσει τῶν ἀγαθῶν
γενόμενος. τὴν δὲ τρίτην ἀμαλθείας κέρας, ὡς ἅπασι λοιπὸν
πανταχόθεν τοῖς ἀγαθοῖς περιρρεόμενος. ἀμαλθείας κέρας
γὰρ οἱ παλαιοὶ τὴν τῶν ἀγαθῶν ἀφθονίαν ἐκάλουν λέγοντες,
ὡς τῷ ἀπόλλωνι αἲξ ἀμαλθείας καλουμένη, ἧς ὀρύξασα
τὸ κέρατι θησαυρὸν ἀνέδειξε τὸν ἀπόλλωνα. λέγεις δὲ καὶ αἱ
ἀξίαι τοῦ ἰὼβ, ἐν πλούτῳ, ἐν πενίᾳ, ἐν ἀνακαινίσμῳ:
αὗται αἱ ὡραῖαι αὐτοῦ θυγατέρες· εἰ δὲ δεῖ τι καὶ ἑνικῶς
ἐν τούτῳ θεωρῆσαι. ὅταν ὁ φωσφόρος τοῦ κυρίου λόγος ἐν ταῖς καρ-
δίαις ἡμῶν ἀνατέλλη, ἡ ἡμέρα ἡμῶν ἐπιλάμπει· προκόπ-
τοντες δὲ χριστοῦ εὐωδία γινόμενοι. αὐξανομένοις δὲ καὶ ἐπὶ

τελειώσασιν ἐρχομένοις τότε καὶ ἡ τῶν πνευματικῶν χαρισμάτων πλείων ἀφθονία προσγίνεται:

[ιε] Βελτίους αὐτῶν ἐν τῇ ὑπ' οὐρανῷ· [ιϛ] ἔδωκε δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν τοῖς ἀδελφοῖς· ἔζησε δὲ Ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα· τὰ δὲ πάντα ἔτη ἃ ἔζησεν ἔτη διακόσια τεσσαράκοντα: ∴ οὐ κεῖται παρὰ τοῖς λοιποῖς:

Ὀλυμπιοδώρου: ἵνα τῇ θέᾳ τούτων παντάπασιν ιε
ἡ τοῦ πάθους μνήμη ἀπαλειφθῇ: τοῦ αὐτοῦ:
ἀντὶ τοῦ ἅμα τοῖς ἀδελφοῖς ἵνα εἰδῇ ὅτι πᾶσι τοῖς πᾶσιν ἐξ ιϛ
ἰσοτιμίας τὰ ὄντα ἐπληροδότησεν: τοῦ αὐτοῦ:

Ἔοικεν ὁ μέγας Ἰὼβ, ὁ τῆς ὑπομονῆς ἀνδριάς, ἐφ' ὅλοις ἑβδομήκοντα ἔτεσιν ὑποσχεῖν τὴν πληγήν· ἡ γὰρ πάντα διπλᾶ λαμβάνει μετὰ τὴν πεῖραν παρὰ θεοῦ· δῆλον ὅτι καὶ τοὺς τῆς ζωῆς χρόνους ἐδέξατο· ἔζησε δὲ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα· εὑρίσκεται ἄρα τὰ τούτων [illegible] διεξεληλυθώς· τουτέστιν ἔτη ὀγδοήκοντα πέντε· σύναψον ταῦτα ἐκείνοις καὶ εὑρήσεις ἔτη διακόσια πεντήκοντα πέντε· ὤφειλε τὰ τοῦ γράμματος ἔτη διακόσια τεσσαράκοντα ὀκτώ· ταῦτα γὰρ ἔφησεν εἶναι τὰ πάντα ἃ ἔζησε· καὶ λοιπὸν ἑπτὰ πανταχεῖ πεντε. ἀφ' ἧς οἶμαι οὐ συναριθμεῖται αὐτῷ μὴ κατερχόμενα ἐν τῇ ζωῇ τοῦ Ἰὼβ διὰ τὴν ἐν τοῦ πάθους οἱονεὶ νέκρωσιν:

Καὶ εἶδεν Ἰὼβ τοὺς υἱοὺς αὐτοῦ· καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ τετάρτην γενεάν· [ιζ] καὶ ἐτελεύτησεν Ἰὼβ πρεσβύτερος καὶ πλήρης ἡμερῶν· [ιη] γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι, μεθ' ὧν

ὁ κ(ύριο)ς ἀνίστησιν· οὗτος (ιθ) ἑρμηνεύεται ἐκ τῆς συριακῆς βίβλου,

ἐν μὲν γῇ κατοικῶν τῇ αὐσίτιδι : ∴ ※

∴ ※ ∴ ※ ≡ ∴ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· μεθ' ὧν ἡμῶν

ὅτι ἀναστήσει· πίστις : Ὀλυμπιοδώρου :

ιξ Μετ' ἐκεῖ τοῦ πρεσβύτερος καὶ πλήρης ἡμερῶν ἀκύλας καὶ σύμμα-

χος ἐλθόντες, ζωγραφήσαντες τὸ βιβλίον, ὡς ἀπὸ τῶν ἑβραϊκῶν

ἀντιγράφου μεταφράζοντες· ὅθεν θεοδοτίων συμπαρεμβάλλεται τοῖς ἑβδομήκοντα :

ιξ Ἰουλιανοῦ : Οὐδὲν ἔχων ἐλλεῖπον οὐ χείρονος βίον :

ιη Ὀλυμπιοδώρου : Τῶν δικαίων ἐπὶ τὸ αἰὲν ἀσεβεῖς κατ'

οὐ καταγνώσονται ἐν κρίσει· οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.

καὶ ταῦτα δὲ τὰ ἔγκαλα δεχόμεθα· καὶ ἐπὶ μέρος τοῦ παντὸς

ὕφους ὄντα· ἀλλ' ὡς τινος τῶν ἀγίων ταῦτα συναφῦναι τῇ

τῇ βίβλῳ· πλὴν ὅμως ταῦτα δεχόμεθα προσήκως ὅπερ

τὸ βιβλίον παρειληφότες : Ἰουλιανοῦ :

Μετὰ τὴν ἐκ τοῦ πάθους ἀνάστασιν : Ὀλυμπιοδώρου

ιθ Συριακὴν νῦν τὴν ἑβραΐαν διάλεκτον καλεῖ· ἐπειδὴ καὶ σύροι

τοὺς ἰουδαίους, καὶ σύρους οἱ πολλοὶ τοὺς παλαιστίνους ὀνομάζουσι·

καὶ ἡρόδοτος ὁ ἱστοριογράφος φησί· περιτέμνονται ἰνδοὶ καὶ αἰ-

γύπτιοι καὶ ἄραβες καὶ οἱ ἐν παλαιστίνῃ τοὺς ἰουδαίους καλ(ῶν) ἔ-

ιθ λεγον : Συριακὴν βίβλον καλεῖ, διὰ τὸ καὶ γειτνιάζειν

τὴν διάλεκτον τῶν σύρων τῇ ἑβραΐδι· καὶ εἰκοσιδύο στοιχεῖα

κ ἔχει καθάπερ οἱ ἑβραῖοι : Ἐπειδὴ δῆλον ὡς

ἡ αὐσῖτις γῆ, ἐν μεθορίῳ κεῖται τῆς ἰδουμαίας καὶ ἀραβί(ας) :

Ἐπὶ τοῖς ὁρίοις τῆς ἰδουμαίας καὶ ἀραβίας· προϋπῆρχε δὲ αὐτῷ

\> ὄνομα ἰωβάβ· λαβὼν δὲ γυναῖκα ἀράβισσαν γεννᾷ
\> υἱόν, ᾧ ὄνομα ἐννών· ἦν δὲ αὐτὸς πατρὸς μὲν ζαρέθ:

ὀλυμπιοδώρου: Μέχρι σήμερον ἐν τῇ ἀραβίᾳ καὶ τὸ μνημεῖον τοῦ ἀθλητοῦ ἰὼβ φαίνεται, καὶ ἡ τῆς κοπρίας παλαίστρα, ἐν ᾗ τοὺς λαμπροὺς ἀνεδήσατο στεφάνους· καὶ τὰς πρεπούσας αὐτῷ τιμὰς ἀπονέμουσιν οἱ ἐπιχώριοι, ὡς ἐντεῦθεν ἡμῖν ἀφικόμενοί τινες τῶν ἀδελφῶν ἐξηγήσαντο. τὴν δὲ αὐσῖτιδα χώραν, οἱ μὲν τὴν τοῦ σηών εἶναι ἔφασαν, οἱ δὲ τὴν ἰδουμαίαν· ἄλλοι δὲ ἐν μέσῳ τινὰ κειμένην τῆς ἰδουμαίας καὶ ἀραβίας· ἕτεροι δὲ αὐτὴν τὴν ἀραβίαν, ἐν ᾗ καὶ τὸ μνημεῖον τοῦ δικαίου κεῖται· ἀλλ' ὅτι μὲν ἰδουμαῖος ἦν εὔδηλον ἐκ τῶν πρὸς τῷ τέλει τοῦ βιβλίου γεγραμμένων. ποῦ δὲ κατῴκει καὶ ποῦ ἠγωνίζετο, πρόδηλον ἐκ τῶν μέχρι νῦν ὁρωμένων:

τοῦ αὐτοῦ: Τὰς μετονομασίας ἐπὶ τῶν ἁγίων εὑρίσκομεν γινομένας ὡς τὸν ἀβραὰμ καὶ τὸν σίμωνα πέτρον, καὶ τὸν σαῦλον παῦλον· ἐπειδὴ δὲ τῆς παλαιᾶς τοῦ ἰὼβ ὀνομασίας ἐμνήσθη, καλῶς καὶ τῆς αὐτοῦ γυναικὸς ἐμνημόνευσε τῆς ἀραβίσσης, ἐξ ἧς γέγονεν αὐτῷ ὁ ἐννών· εἴτε εἷς τῶν προτέρων παίδων, εἴτε καὶ τῶν δευτέρων:

σευήρου ἐπισκόπου ἀντιοχείας ἐκ τῆς πρὸς ἀναστάσιον διάκονον ἐπιστολῆς: Οὐδὲ γὰρ ἦν εἰκὸς οὐδὲ δίκαιον ἐκείνην μετασχεῖν τῶν ἀγαθῶν, ἣν ἐν τῷ καιρῷ τῶν ἄθλων ὀλιγωρήσασαν, καὶ κατενεγκεῖν ἐκ τῆς ὑψηλοτάτης κορυφῆς τῆς καρτερίας πειρωμένην τὸν ἀθλητήν: δ

+

Ἰουλιανοῦ : Χαρὰξ πόλις τῆς Ἰδουμαίας καὶ ὄρος
τῆς Ἀραβίας ἡ νῦν καλουμένη Βόσρα· ἐστὶ νῦν μὲν δὲ αὐτῇ τῶν
χρημάτων τὸν θησαυρὸν Ἰὼβ :

Ἦν δὲ αὐτὸς πρὶν μὲν Ζαρέ, τῶν Ἠσαῦ υἱῶν υἱός· μητρὸς δὲ Βοσό-
ρας· ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ. καὶ οὗτοι οἱ βα-
σιλεῖς οἱ βασιλεύσαντες ἐν Ἐδώμ : Ὀλυμπιοδώρου:

κβ Ἡ ἐθνικὴ γενεαλογία σοι παραλελειμμένως· ἀπὸ γὰρ Ἀβρα-
αμ ὁ Ἰσαάκ· ἐκ δὲ τούτου Ἠσαῦ, ἐξ οὗ Ῥαγουήλ· ἀπὸ δὲ τοῦ
Ζαρὰ ὁ τοῦ Ἰὼβ πατήρ· πέμπτος οὖν ἀπὸ Ἀβραὰμ ὁ Ἰὼβ, καὶ
συναριθμουμένου δηλονότι τοῦ Ἀβραάμ· ὅθεν καὶ λέγο-
μεν αὐτὸν ὅτι πρὸ νόμου διέπρεψεν· ὁ γὰρ Μωϋσῆς ἕβδομος ἀπὸ
Ἀβραὰμ προέσχηκεν οὕτως· Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, Λευί,
Καάθ, Ἀβραὰμ ὁ Μωϋσέως πατήρ· ὁ οὖν Μωϋσέως προέσχηκεν
γενεὰν μίαν προλαμβάνων· εἰ καὶ δῶμεν αὐτὸν συμπεσεῖν
τῷ Μωϋσῇ, οὔπω καὶ νόμου γέγονε μαθητής :

ν τοῦ ἁγίου Ἰω[illegible] Ὅτι ἐν Αἰγύπτῳ ἦσαν οἱ Ἰουδαῖοι ἔ-
μελλον ἀνιέναι λοιπόν [illegible] ἐβούλοντο οὐ μικρὰν καὶ τό-
πον εὐπόρευμα εὐσεβείας· οὐ γὰρ εἰκὸς ἦν λαθεῖν· εἰ γὰρ
ἔτι καὶ νῦν δείκνυται τὰ λείψανα, πολλῷ μᾶλλον τότε ἐδείκνυτο
ἀνακραζόντων ὅλων τῶν πεπραγμένων καὶ τὸ μέγεθος τῶν συ-
μβεβηκότων καὶ οἱ ἐν τῇ Ἀραβίᾳ ἅπαντες ἀνεγίνωσκον

καὶ μετ' ὀλίγα Ἕκαστος τοίνυν τῶν ἀναγινωσκόντων,
ὥσπερ εἰς ἀρχέτυπόν τινα εἰκόνα ὁρῶν τὸν ἀθλητὴν τοῦτον τὸν
γενναῖον, μιμείσθω τὴν ἀνδρείαν ζηλούτω τὴν ὑπομονήν, ἵνα

τὴν αὐτῷ βάσιμον ὁδόν, καὶ περὶ ἀπάτας τοῦ διαβόλου τὰς μη-
χανὰς γενναίως παραξάμενος τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀ-
γαπῶσι τὸν θεὸν ἐπιτυχεῖν ἀξιωθείη· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυ
ἡμῶν ἰυ χυ· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνι δόξα κράτος τιμή.
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν: ὀλυμπιοδώ(ρου):

Οὕτω περὶ ἐν παραλλασσομέναις εὑρήσεις· ὥστε ὅταν λέγει περὶ κυ.
ἑαυτοῦ ὅτι ἤμην ἐν μέσῳ αὐτῶν ὡς βασιλεὺς ἐν μονοζώνοις.
ἢ ὅτι καὶ περὶ τῆς βασιλείας διὰ τὴν ἀρετὴν ὡς βασιλεὺς ἐ-
τιμᾶτο. ἤτοι ὡς οὐχ ὁμοιωματικῶς εἴρηται, ἀλλ' ἐπ' αὐτῆς
τῆς ἀληθείας ὅτι βασιλεὺς ἐτύγχανεν:

Ἦν καὶ αὐτὸς ἦρξε χώρας· πρῶτος βαλὰκ ὁ τοῦ βεώρ. καὶ ὄνο-
μα τῇ πόλει αὐτοῦ δενναβά· μετὰ δὲ καὶ βαλὰκ ἰωβάβ, ὁ καλού-
μενος ἰώβ· μετὰ δὲ τοῦτον ἀσόμ, ὁ ὑπάρχων ἡγεμών, ἐκ τῆς
θαιμανίτιδος χώρας· μετὰ δὲ τοῦτον ἀδὰρ υἱὸς βαράδ, ὁ
ἐκκόψας μαδιὰμ ἐν τῷ πεδίῳ μωάβ· καὶ ὄνομα τῇ πόλει αὐτοῦ
γεθαίμ: :: ταῦτα καὶ ἐν τῇ γενέσει λέγει
:: φοινίκων πόλις: ὀλυμπιοδώ(ρου):

Διατεξάμενος δὲ τὸν βα... εἰς τὴν βασιλείαν οὐκ ἐξήλωσε κυ
αὐτὸν τῆς ἀσεβείας, ἀλλὰ τὸν ἀβραὰμ τῆς πόλεως: τοῦ αὐτοῦ: + : πίστεως
Καὶ εἰ μὲν ... ὅτι οὐκ ἔστιν οὗτος βαλαὰμ ὁ ἐκ τῆς πορνείας τοῦ
ἐν τῷ βεελφεγώρ· ἐκεῖνος μὲν ὁ τοῦ σεπφὼρ εἴρηται, ὡς
ἐν τοῖς ἀριθμοῖς εὑρήσεις· οὗτος δὲ ὁ τοῦ βεὼρ ὡς καὶ ἐν τῇ γε-
νέσει κεῖται. καὶ ἐκεῖνος μὲν τῆς μωὰβ βασιλεύς· οὗτος δὲ τῆς
ἐδώμ: + + + + +

BIBLIOTECA UNIVERSITARIA
SALAMANCA